LIBRARY OF CONGRESS
1800

Ἡ ΚΑΙΝΗ

ΔΙΑΘΗΚΗ.

NOVUM

TESTAMENTUM,

CUM VERSIONE LATINA

ARIÆ MONTANI,

IN QUO TUM SELECTI VERSICULI 1900, QUIBUS OMNES NOVI TESTAMENTI VOCES CONTINENTUR, ASTERICIS NOTANTUR;

Tum omnes et singulæ voces, semel vel sæpius occurrentes, peculiari nota distinguuntur.

AUCTORE

JOHANNE LEUSDEN,

PROFESSORE

PHILADELPHIA:

J. B. LIPPINCOTT & CO.

1867.

BS 1965
1867

ΤΟ ΚΑΤΑ

ΜΑΤΘΑΙΟΝ

ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφ. ἄ. 1.

1 ΒΙΒΛΟΣ γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ.

2 Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ.

3 Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ· Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ.

4 Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ· Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών· Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών.

5 Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ· Βοὸζ δὲ ἐγέννησε τὸν Ὼβὴδ ἐκ τῆς Ῥούθ· Ὼβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί.

6 Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ τὸν βασιλέα· Δαβὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου.

7 Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά.

8 Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν.

9 Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ· Ἰωάθαμ δὲ ἐγέννησε τὸν

EUANGELIUM

SECUNDUM

MATTHÆUM.

CAPUT I.

1 LIBER generationis Jesu Christi, filii David, filii Abraham.

2 Abraham genuit Isaac Isaac autem genuit Jacob. Jacob autem genuit Judam et fratres ejus.

3 Judas autem genuit Phares et Zaram ex Thamar. Phares autem genuit Esrom. Esrom autem genuit Aram.

4 Aram autem genuit Aminadab. Aminadab autem genuit Naason. Naason autem genuit Salmon.

5 Salmon autem genuit Booz ex Rachab. Booz autem genuit Obed ex Ruth. Obed autem genuit Jesse.

6 Jesse autem genuit David regem. David autem rex genuit Solomonem ex Uriæ.

7 Solomon autem genuit Roboam. Roboam autem genuit Abiam. Abia autem genuit Asa.

8 Asa autem genuit Josaphat. Josaphat autem genuit Joram. Joram autem genuit Oziam.

9 Ozias autem genuit Joatham. Joatham autem genuit

Ἀχαζ· Ἀχαζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν

10 Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ· Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν.

11 Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.

12 Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ· Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ.

13 Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ· Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ.

14 Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ· Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ· Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ.

15 Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν· Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ.

16 Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός.

17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβίδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες.

18 Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου.

19 Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν

Achaz. Achaz autem genuit Ezeciam.

10 Ezecias autem genuit Manassen. Manasses autem genuit Amon. Amon autem genuit Josiam.

11 Josias autem genuit Jechoniam et fratres ejus, in transmigratione Babylonis.

12 Post autem transmigrationem Babylonis, Jechonias genuit Salathiel. Salathiel autem genuit Zorobabel.

13 Zorobabel autem genuit Abiud. Abiud autem genuit Eliacim. Eliacim autem genuit Azor.

14 Azor autem genuit Sadoc. Sadoc autem genuit Achim. Achim autem genuit Eliud.

15 Eliud autem genuit Eleazar. Eleazar autem genuit Matthan. Matthan autem genuit Jacob.

16 Jacob autem genuit Joseph virum Mariæ, de qua natus est Jesus, dictus Christus.

17 Omnes itaque generationes ab Abraham usque ad David, generationes quatuordecim: et à David usque ad transmigrationem Babylonis, generationes quatuordecim: et à transmigratione Babylonis usque ad Christum generationes quatuordecim.

18 At Jesu Christi nativitas sic erat: Desponsata enim matre ejus Maria Joseph, ante convenire ipsos, inventa est in utero habens de Spiritu sancto.

19 Joseph autem vir ejus, justus existens, et non volens

παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν.

20 Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ, ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων· Ἰωσὴφ υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.

21 Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥ̃Ν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

22 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος·

" 23 Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ ΕΜΜΑΝΟΥΉΛ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός."

24 Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ.

25 Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥ̃Ν.

Κεφ β' 2.

1 Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ, μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες·

2 Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.

3 Ἀκούσας δὲ Ἡρῴδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ.

eam exemplum facere, voluit occultè dimittere eam.

20 Hæc autem eo cogitante, ecce Angelus Domini per somnium apparuit ei, dicens : Joseph fili David, ne timeas accipere Mariam conjugem tuam nam in ea genitum, de Spiritu est sancto.

21 Pariet autem filium, et vocabis nomen ejus JESUM : Ipse enim salvabit populum suum a peccatis eorum.

22 (Hoc autem totum factum est ut adimpleretur dictum à Domino per Prophetam, dicentem :

23 Ecce virgo in utero habebit, et paret filium, et vocabunt nomen ejus Emmanuël : quod est interpretatum, Nobiscum Deus.)

24 Excitatus autem Joseph è somno, fecit sicut præcepit ei angelus Domini, et accepit conjugem suam.

25 Et non cognoscebat eam, donec peperit filium suum primogenitum, et vocavit nomen ejus Jesum.

CAPUT II.

1 AT Jesu nato in Bethlehem Judææ, in diebus Herodis regis, ecce Magi ab Orientibus accesserunt in Hierosolymam, dicentes :

2 Ubi est natus rex Judæorum ? vidimus enim ejus stellam in Oriente, et venimus adorare eum.

3 Audiens autem Herodes rex, turbatus est, et omnis Hierosolyma cum illo.

4 Καὶ συναγαγῶν πάντας τοὺς Ἀρχιερεῖς καὶ Γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται.

4 Et congregans omnes principes Sacerdotum et Scribas populi, sciscitabatur ab eis ubi Christus nasceretur.

5 Οἱ δὲ εἶπον αὐτῷ· Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου·

5 At illi dixerunt ei : In Bethlehem Judææ : sic enim scriptum est per Prophetam :

" 6 Καὶ σὺ Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ."

6 Et tu Bethlehem terra Juda, nequaquam minima es in ducibus Juda : ex te enim exibit dux, qui regat populum meum Israël.

7 Τότε Ἡρώδης λάθρα καλέσας τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος.

7 Tunc Herodes clam vocans Magos, perquisivit ab eis tempus apparentis stellæ.

8 Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ, εἶπε· Πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.

8 Et mittens eos in Bethlehem, dixit : Euntes diligenter explorate de puero : cum autem inveneritis, renunciate mihi ut et ego veniens adorem eum.

9 Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως, ἐπορεύθησαν· καὶ ἰδοὺ, ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον.

9 Illi autem audientes regem, profecti sunt, et ecce stella quam viderant in Oriente, antecedebat eos, usque dum veniens staret suprà ubi erat puer.

10 Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα.

10 Videntes autem stellam, gavisi sunt gaudium magnum valde.

11 Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν.

11 Et venientes in domum, invenerunt puerum cum Maria matre ejus. Et procidentes adoraverunt eum, et aperientes thesauros suos, obtulerunt ei munera, aurum, et thus et myrrham.

12 Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

12 Et responsi secundùm somnium, non reflectere ad Herodem, per aliam viam recesserunt in regionem suam.

13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ, ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ, λέγων, Ἐγερθεὶς παράλαβε τὸ παιδίον

13 Recessis autem ipsis, ecce angelus Domini apparet per somnium Joseph, dicens : Excitatus accipe puerum et

καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό.

14 Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον.

15 Καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος, "Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου."

16 Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπάιχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.

17 Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου, λέγοντος,

18 "Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί."

19 Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου, ἰδοὺ, ἄγγελος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ,

20 Λέγων, Ἐγερθεὶς παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.

21 Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ.

22 Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισ-

matrem ejus, et fuge in Ægyptum : et esto ibi usque dum dicam tibi. Futurus est enim Herodes quærere puerum ad perdendum eum.

14 Is autem excitatus accepit puerum et matrem ejus nocte, et secessit in Ægyptum :

15 Et erat ibi usque ad obitum Herodis : ut adimpleretur dictum à Domino per Prophetam, dicentem : Ex Egypto vocavi filium meum.

16 Tunc Herodes videns quoniam illusus esset à Magis, iratus est valde : et mittens occidit omnes pueros qui in Bethlehem, et omnibus finibus ejus, à bimatu et infra, secundum tempus quod perquisivit à Magis.

17 Tunc adimpletum est dictum per Jeremiam prophetam, dicentem :

18 Vox in Rama audita est, ploratus et ululatus et ejulatus multus : Rachel plorans natos suos, et noluit consolari, quia non sunt.

19 Desinente autem Herode, ecce angelus Domini secundùm somnium apparet Joseph in Ægypto,

20 Dicens : Excitatus accipe puerum, et matrem ejus, et vade in terram Israël : mortui sunt enim quærentes animam pueri.

21 Ille autem excitatus accepit puerum et matrem ejus et venit in terram Israël.

22 Audiens autem quod Archelaus regnaret in Judæa pro Herode patre suo, timuit illò ire. Responsus autem secun-

θεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας·

23 Καὶ ἐλθὼν κατώκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

dùm somnium, secessit in partes Galilææ.

23 Et veniens commigravit in civitatem dictam Nazaret: ut impleretur dictum per Prophetas, Quòd Nazoræus vocabitur.

Κεφ. γ'. 3.

CAPUT III.

1 Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας,

2 Καὶ λέγων, Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

3 Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου, λέγοντος, " Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ."

4 Αὐτὸς δὲ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφῦν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον.

5 Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου,

6 Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

7 Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς, Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;

8 Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας.

9 Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται

1 IN autem diebus illis accedit Joannes Baptista, prædicans in deserto Judææ,

2 Et dicens: Pœnitemini, appropinquavit enim regnum cælorum.

3 Hic enim est pronunciatus ab Esaia Propheta, dicente: Vox clamantis in deserto: Expedite viam Domini, rectas facite semitas ejus.

4 Ipse autem Joannes habebat indumentum suum è pilis cameli, et zonam pelliceam circa lumbum suum: esca autem ejus erat locustæ et mel silvestre.

5 Tunc exibat ad eum Hierosolyma, et omnis Judæa, et omnis circum vicinia Jordanis.

6 Et baptizabantur in Jordane ab eo, consitentes peccata sua.

7 Videns autem multos Pharisæorum et Sadducæorum venientes ad baptismum suum, dixit eis: Genimina viperarum, quis demonstravit vobis fugere à futura ira?

8 Facite ergo fructus dignos pœnitentiæ.

9 Et ne arbitremini dicere in vobis ipsis: Patrem habemus Abraham; dico enim vo

ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

10 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

11 Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί·

12 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ

13 Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ.

14 Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με ;

15 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτὸν· Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην· τότε ἀφίησιν αὐτόν.

16 Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος, καὶ ἰδοὺ, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν.

17 Καὶ ἰδοὺ, φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

bis, quoniam potest Deus de lapidibus istis suscitare natos Abrahæ.

10 Jam vero et securis ad radicem arborum adjacet. Omnis ergo arbor non faciens fructum bonum, exciditur, et in ignem jacitur.

11 Ego quidem baptizo vos in aqua in pœnitentiam, qui autem post me veniens, fortior me est : cujus non sum idoneus calceamenta portare, ipse vos baptizabit in Spiritu sancto et igni.

12 Cujus ventilabrum in manu sua, et permundabit aream suam, et congregabit triticum suum in horreum : at paleam comburet igni inextinguibili.

13 Tunc accedit Jesus à Galilæa ad Jordanem ad Joannem, baptizari ab eo.

14 At Joannes prohibebat eum, dicens : Ego usum habeo à te baptizari, et tu venis ad me ?

15 Respondens autem Jesus dixit ad eum, Sine interim : sic enim decens est nobis implere omnem justificationem. Tunc dimittit eum.

16 Et baptizatus Jesus, ascendit statim de aqua : E ecce aperti sunt ei cæli, e. vidit Spiritum Dei descendentum sicut columbam, et venientem super eum.

17 Et ecce vox de cælis, dicens : Hic est filius meus dilectus, in quo complacui.

Κεφ. δ'. 4.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

2 Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε.

3 Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

4 Ὁ δὲ ἀποκριθεὶς εἶπε· Γέγραπται· Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.

5 Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ.

6 Καὶ λέγει αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ, "Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου."

7 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Πάλιν γέγραπται, "Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου."

8 Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν.

9 Καὶ λέγει αὐτῷ· Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι.

10 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε, ὀπίσω μου σατανᾶ. Γέγραπται γάρ, "Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις."

11 Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος· καὶ ἰδοὺ, ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ.

CAPUT IV

1 TUNC Jesus actus est in desertum à Spiritu, tentari à diabolo.

2 Et jejunans dies quadraginta, et noctes quadraginta, postremum esuriit.

3 Et accidens ei tentator, dixit: Si filius es Dei, dic ut lapides isti panes fiant.

4 Ille autem respondens dixit: Scriptum est, Non in pane solo vivet homo, sed in omni verbo exeunte per os Dei.

5 Tunc assumit eum diabolus in sanctam civitatem, et statuit eum super pinnaculum templi.

6 Et dicit ei: Si filius es Dei, dejice teipsum deorsum. Scriptum est enim, Quia angelis suis mandabit de te, et in manibus tollent te, ne forte impingas ad lapidem pedem tuum.

7 Ait illi Jesus: Rursum scriptum est: Non tentabis Dominum Deum tuum.

8 Iterum assumit eum diabolus in montem excelsum valde, et ostendit ei omnia regna mundi, et gloriam eorum:

9 Et dicit ei: Hæc omnia tibi dabo, si cadens adoraveris me.

10 Tunc dicit ei Jesus: Abi Satana; scriptum est enim, Dominum Deum tuum adorabis, et illi soli servies.

11 Tunc dimittit eum diabolus: et ecce angeli accesserunt, et ministrabant ei

12 Ἀκούσας δὲ ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.

13 Καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ.

14 Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαίου τοῦ προφήτου, λέγοντος,

15 "Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν,

16 Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς."

17 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν, Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

18 Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς·

19 Καὶ λέγει αὐτοῖς, Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.

20 Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ.

21 Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς,

22 Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

23 Καὶ περιῆγεν ὅλην τὴν

12 Audiens autem Jesus quod Joannes traditus esset, secessit in Galilæam :

13 Et relinquens Nazaret veniens commigravit in Capernaum maritimam : in finibus Zabulon et Nephthalim.

14 Ut adimpleretur pronunciatum per Isaiam Prophetam, dicentem :

15 Terra Zabulon, et terra Nephthali, viam maris ultra Jordanem, Galilæa gentium :

16 Populus sedens in tenebris, videns lucem magnam, et sedentibus in regione et umbra mortis, lux orta est eis.

17 Ex tunc cœpit Jesus prædicare, et dicere : Pœnitemini : appropinquavit enim regnum cælorum.

18 Circumambulans autem Jesus juxta mare Galilææ, vidit duos fratres, Simonem dictum Petrum, et Andream fratrem ejus, mittentes verriculum in mare ; (erant enim piscatores.)

19 Et ait illis : Venite post me, et faciam vos piscatores hominum.

20 Illi autem continuò dimittentes retia, secuti sunt eum.

21 Et procedens inde, vidit alios duos fratres, Jacobum Zebedæi, et Joannem fratrem ejus in navi cum Zebedæo patre eorum, resarcientes retia sua : et vocavit eos.

22 Illi autem statim dimittentes naviculam et patrem suum, secuti sunt eum.

23 Et circuibat totum Gal.

Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

24 Καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ σεληνιαζομένους, καὶ παραλυτικούς· καὶ ἐθεράπευσεν αὐτούς,

25 Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας, καὶ πέραν τοῦ Ἰορδάνου.

Κεφ. ε' 5.

1 Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,

2 Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων,

3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

4 Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

5 Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

6 Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

7 Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

8 Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

9 Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

10 Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν

læam Jesus, docens in synagogis eorum, et prædicans euangelium regni, et sanans omnem morbum, et omnem infirmitatem in populo.

24 Et abiit auditio eius in totam Syriam, et obtulerunt ei omnes malè habentes, variis morbis, et torminibus comprehenfos, et dæmoniacos. et lunaticos, et paralyticos : et curavit eos.

25 Et secutæ sunt eum turbæ multæ de Galilæa, et Decapoli, et Hierosolymis, et Judæa, et trans Jordanem.

CAPUT V

1 VIDENS autem turbas, ascendit in montem : et sedente eo, advenerunt ini discipuli ejus

2 Et aperiens os suum, docebat eos, dicens :

3 Beati pauperes spiritu, quoniam ipsorum est regnum cælorum.

4 Beati lugentes, quia ipsi consolabuntur.

5 Beati mites, quoniam ipsi hæreditabunt terram.

6 Beati esurientes et sitientes justitiam, quoniam ipsi faturabuntur.

7 Beati misericordes, quoniam ipsi misericordia afficientur.

8 Beati mundi corde, quoniam ipsi Deum videbunt.

9 Beati pacifici, quoniam ipsi filii Dei vocabuntur.

10 Beati persecutione affecti propter justitiam, quoniam ipsorum est regnum cælorum

11 Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ,

11 Beati estis quum maledixerint vos, et persequuti fuerint, et dixerint omne malum verbum adversum vos mentientes, propter me.

12 Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

12 Gaudete et exultate, quoniam merces vestra multa in cælis, sic enim persequuti sunt Prophetas qui ante vos.

13 Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

13 Vos estis sal terræ; si autem sal infatuatum sit, in quo salietur? ad nihilum valet ultra, si non ejici foras, et conculcari ab hominibus.

14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη·

14 Vos estis lux mundi. non potest civitas abscondi supra montem posita.

15 Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

15 Neque accendunt lucernam, et ponunt eam sub modio, sed super candelabrum, et lucet omnibus in domo.

16 Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

16 Sic luceat lux vestra coram hominibus, ut videant vestra pulchra opera, et glorificent Patrem vestrum qui in cælis.

17 Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλα πληρῶσαι.

17 Ne putetis quod veni dissolvere legem, aut Prophetas, non veni dissolvere, sed adimplere.

18 Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθη ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἕν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.

18 Amen quippe dico vobis, donec prætereat cælum et terra, jota unum, aut unus apex non prætèribit à lege, donec omnia fiant.

19 Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

19 Qui ergo solverit unum mandatorum istorum minimorum, et docuerit sic homines, minimus vocabitur in regno cælorum: qui autem fecerit et docuerit, hic magnus vocabitur in regno cælorum.

20 Λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρι-

20 Dico enim vobis, quòd si non abundaverit justitia vestra plus Scribarum et Phari

σαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

21 Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει.

22 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός.

23 Ἐὰν οὖν προσφέρῃς τῷ δῶρόν σε ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σε ἔχει τι κατὰ σοῦ,

24 Ἄφες ἐκεῖ τὸ δῶρόν σου, ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.

25 Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ.

26 Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξελθῃς ἐκεῖθεν ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην.

27 Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐ μοιχεύσεις·

28 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.

29 Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν

sæorum, non intrabitis in regnum cælorum.

21 Audistis quia pronunciatum est antiquis : Non occides · qui autem occiderit, obnoxius erit judicio.

22 Ego autem dico vobis, quia omnis irascens fratri suo immeritò, obnoxius erit judicio : qui autem dixerit fratri suo Raca, obnoxius erit consessui : qui autem dixerit fatue, obnoxius erit in gehennam ignis.

23 Si ergo offers munus tuum ad altare, et ibi recordatus fueris, quia frater tuus habet aliquid adversum te,

24 Relinque ibi munus tuum ante altare, et vade, prius reconciliare fratri tuo, et tunc veniens offer munus tuum.

25 Esto benesentiens adversario tuo cito, dum es in via cum eo : ne forte te tradat adversarius judici, et judex te tradat ministro, et in custodiam conjiciaris.

26 Amen dico tibi, non exios inde, donec reddas novissimum quadrantem.

27 Audistis quia pronunciatum est antiquis : Non mœchaberis.

28 Ego autem dico vobis, quia omnis conspiciens mulierem ad concupiscendum eam, jam mœchatus est eam in corde suo.

29 Si autem oculus tuus dexter scandalizat te, erue eum, et projice abs te ; confert enim tibi ut pereat unum

σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν.

30 Καὶ εἰ ἡ δεξιά σε χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν, καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γαρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν.

30 Et si dextera tua manus scandalizat te, abscinde eam, et projice abs te : confert enim tibi ut pereat unum membrorum tuorum, et non totum corpus tuum conjiciatur in gehennam.

31 Ἐῤῥέθη δὲ ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον·

31 Pronunciatum est autem, quod quicumque absolverit uxorem suam, det ei repudium.

32 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται.

32 Ego autem dico vobis, quia quicunque absolverit uxorem suam, exceptâ ratione fornicationis, facit eam mœchari : et qui absolutam duxerit, adulterat.

33 Πάλιν ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου·

33 Iterum audistis quia pronunciatum est antiquis : Non perjurabis : reddes autem Domino juramenta tua.

34 Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ·

34 Ego autem dico vobis, non jurare omninò, neque in cælo, quia thronus est Dei :

35 Μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως·

35 Neque in terra, quia scabellum est pedum ejus : neque in Hierosolyma, quia civitas est magni regis :

36 Μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι.

36 Neque in capite tuo juraveris, quia non potes unum capillum album aut nigrum facere.

37 Ἔστω δὲ ὁ λόγος ὑμῶν, Ναὶ, ναὶ· Οὒ, οὔ· τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστιν.

37 Sit autem sermo vester, Etiam, etiam, Non, non : quod autem abundans his, à malo est.

38 Ἠκούσατε ὅτι ἐῤῥέθη, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος·

38 Audistis quia pronunciatum est : Oculum pro oculo, et dentem pro dente.

39 Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε

39 Ego autem dico vobis, non obsistere malo : sed qui-

ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην·

40 Καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον.

41 Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο.

42 Τῷ αἰτοῦντί σε δίδου· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.

43 Ἠκούσατε ὅτι ἐῤῥέθη, Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου·

44 Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς·

45 Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

46. Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι;

47 Καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν;

48 Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.

cumque te percusserit in dexteram tuam maxillam, verte illi et aliam.

40 Et volenti tibi judicium parari, et tunicam tuam tollere, dimitte ei et pallium.

41 Et quicunque te angariaverit milliare unum, vade cum illo duo.

42 Petenti te, da: et volentem à te mutuare, ne avertaris.

43 Audistis quia pronunciatum est, Diliges proximum tuum, et odio habebis inimicum tuum.

44 Ego autem dico vobis, Diligite inimicos vestros, benedicite maledicentes vos: benefacite odientibus vos, et orate pro infestantibus vos, et insectantibus vos.

45 Ut sitis filii Patris vestri qui in cælis, quia solem suum producit super malos et bonos, et pluit super justos et injustos.

46 Si enim dilexeritis diligentes vos, quam mercedem habetis? nonne et publicani idem faciunt?

47 Et si salutaveritis fratres vestros tantum, quid abundans facitis? nonne et publicani sic faciunt?

48 Estote ergo vos perfecti, sicut Pater vester qui in cælis, perfectus est.

Κεφ. ς'. 6.

1 Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε

CAPUT VI

1 ATTENDITE misericordiam vestram non facere ante homines, ad spectari eis: si autem non, mercedem non

παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.

2 Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

3 Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου·

4 Ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ.

5 Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

6 Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

7 Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται.

8 Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου·

10 Ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν ουρανῷ, καὶ ἐπὶ τῆς γῆς.

11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

habetis apud Patrem vestrum qui in cælis.

2 Cum ergo facis eleëmosynam, ne tuba clanxeris ante te, sicut hypocritæ faciunt in synagogis et in vicis, ut glorificentur ab hominibus: amen dico vobis, excipiunt mercedem suam.

3 Te autem faciente eleëmosynam, nesciat sinistra tua quid faciat dextera tua.

4 Ut sit tua eleëmosyna in secreto: et Pater tuus videns in secreto, ipse reddet tibi in manifesto.

5 Et quum ores, non eris sicut hypocritæ: quia amant in synagogis, et in angulis platearum stantes orare, ut appareant hominibus. amen dico vobis, quod excipiunt mercedem suam.

6 Tu autem cum ores, intra in cubiculum tuum, et claudens ostium tuum, ora Patrem tuum qui in secreto: et Pater tuus conspiciens in secreto, reddet tibi in apparenti.

7 Orantes autem ne inania loquamini, sicut ethnici, arbitrantur enim quod in multiloquio suo exaudientur.

8 Ne igitur assimilemini eis: novit enim Pater vester quorum usum habetis, ante vos petere eum.

9 Sic ergo orate vos: Pater noster qui in cælis, sanctificetur nomen tuum.

10 Adveniat regnum tuum Fiat voluntas tua, sicut in cælo et in terra.

11 Panem nostrum super substantialem da nobis hodie

12 Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

13 Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας· ἀμήν.

14 Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος·

15 Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

16 Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτων, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

17 Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι·

18 Ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

19 Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι, καὶ κλέπτουσι·

20 Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν.

21 Ὅπου γὰρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται·

12 Et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris.

13 Et ne inferas nos in tentationem, sed libera nos à malo. Quoniam tuum est regnum, et potentia, et gloria in secula Amen.

14 Si enim dimiseritis hominibus lapsus eorum, dimittet et vobis Pater vester cælestis.

15 Si autem non dimiseritis hominibus lapsus ipsorum, nec Pater vester dimittet lapsus vestros.

16 Quum autem jejunatis, ne fiatis sicut hypocritæ, obtristati ; obscurant enim facies suas ; ut appareant hominibus jejunantes. amen dico vobis, quia recipiunt mercedem suam.

17 Tu autem jejunans, unge tuum caput, et faciem tuam lava :

18 Ut ne appareas hominibus jejunans, sed Patri tuo qui in secreto : et Pater tuus videns in secreto, reddet tibi in manifesto.

19 Ne thesaurizate vobis thesauros in terra, ubi ærugo et tinea exterminat, et ubi fures perfodiunt, et furantur.

20 Thesaurizate autem vobis thesauros in cælo, ubi neque ærugo, neque tinea exterminat, et ubi fures non effodiunt, nec furantur.

21 Ubi enim est thesaurus vester, ibi erit et cor vestrum

22 Lucerna corporis est oculus : si igitur oculus tuus simplex fuerit, totum corpus tuum lucidum erit.

23 Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστὶ, τὸ σκότος πόσον ;

23 Si autem oculus tuus malus fuerit, totum corpus tuum tenebrosum erit. si ergo lumen quod in te, tenebræ sunt, tenebræ quantæ ?

24 Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.

24 Nemo potest duobus dominis servire : aut enim unum oderit, et alterum diliget : aut unum amplexabitur, et alterum despiciet. non potestis Deo servire et mammonæ.

25 Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος ;

25 Propter hoc dico vobis, ne anxiemini animæ vestræ, quid manducetis, et quid bibatis : neque corpori vestro, quid induamini. nonne anima plus est esca, et corpus indumento ?

26 Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν ;

26 Inspicite in volatilia cæli, quoniam non seminant, neque metunt, neque congregant in horrea, et Pater vester cælestis pascit illa. nonne vos magis excellitis illis ?

27 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα ;

27 Quis autem ex vobis anxiatus potest adjicere ad staturam suam cubitum unum ?

28 Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε ; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει.

28 Et circa vestimentum quid anxiamini ? Observate lilia agri quomodo augentur : non fatigantur, neque nent.

29 Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων·

29 Dico autem vobis, quoniam nec Salomon in omni gloria sua amictus est sicut unum istorum.

30 Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι ;

30 Si autem fœnum agri hodie existens, et cras in clibanum injectum, Deus sic circumornat, non multò magis vos, exiguæ fidei ?

31 Μὴ οὖν μεριμνήσητε, λέγοντες, Τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα ;

31 Ne igitur anxiemini, dicentes : Quid manducabimus, aut quid bibemus, aut quid circumamiciemur ?

32 Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν

32 Omnia enim hæc gentes inquirunt. Novit enim Pater

ὁ οὐράνιος, ὅτι χρήζετε τούτων ἁπάντων.

33 Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

34 Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

vester cælestis quod opus habetis norum omnium.

33 Quærite autem primum regnum Dei, et justitiam ejus, et hæc omnia adponentur vobis

34 Ne igitur anxiemini in cras : nam cras curabit suaipsius : sufficiens diei malitia sua.

Κεφ. ζ'. 7.

1 Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε.

2 Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

3 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς ;

4 Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου ; καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου·

5 Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

6 Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

7 Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

8 Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

9 Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρω-

CAPUT VII.

1 NE judicate, ut non judicemini.

2 In quo enim judicio judicaveritis, judicabimini : et in qua mensura mensi fueritis, remetietur vobis.

3 Quid autem intueris festucam quæ in oculo fratris tui, at in tuo oculo trabem non animadvertis ?

4 Aut quomodo dices fratri tuo : Sine ejiciam festucam de oculo tuo, et ecce trabs in oculo tuo ?

5 Hypocritâ, ejice primùm trabem de oculo tuo, et tunc intueberis ejicere festucam de oculo fratris tui.

6 Ne detis sanctum canibus, neque mittatis margaritas vestras ante porcos, ne forte conculcent eas in pedibus suis, et conversi dirumpant vos.

7 Petite, et dabitur vobis : quærite, et invenietis : pulsate, et aperietur vobis.

8 Omnis enim petens accipit. et quærens invenit, et pulsanti aperietur.

9 Aut quis est ex vobis ho

πος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ ;

10 Καὶ ἐὰν ἰχθῦν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ ;

11 Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν ;

12 Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

13 Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

14 Ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

15 Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

16 Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα ;

17 Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ.

18 Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.

19 Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

20 Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

21 Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασι-

mo, quem si petierit filius suus panem, nunquid lapidem dabit ei ?

10 Et si piscem petierit, nunquid serpentem dabit ei ?

11 Si ergo vos mali existentes, nôstis data bona dare filiis vestris, quanto magis Pater vester qui in cælis, dabit bona petentibus se ?

12 Omnia ergo quæcumque vultis ut faciant vobis homines, ita et vos facite illis. Hæc enim est Lex et Prophetæ.

13 Intrate per angustam portam, quia lata porta et spatiosa via ducens ad perditionem, et multi sunt ingredientes per eam.

14 Quia angusta porta, et stricta via ducens ad vitam, et pauci sunt invenientes eam.

15 Attendite verò à falsis prophetis, qui veniunt ad vos in indumentis ovium, intrinsecus autem sunt lupi rapaces.

16 A fructibus eorum agnoscetis eos. Nunquid colligunt à spinis uvam, aut de tribulis ficum ?

17 Sic omnis arbor bona fructus bonos facit : at cariosa arbor fructus malos facit.

18 Non potest arbor bona fructus malos facere, neque arbor cariosa fructus pulchros facere.

19 Omnis arbor non faciens fructum pulchrum, exciditur, et in ignem injicitur.

20 Itaque ex fructibus eorum agnoscetis eos.

21 Non omnis dicens mihi, Domine, Domine, intrabit in

λείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

22 Πολλοί ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν ;

23 Καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

24 Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν·

25 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

26 Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον·

27 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.

28 Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ·

29 Ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

regnum cælorum : sed faciens voluntatem Patris mei, qui in cælis.

22 Multi dicent mihi in illa die : Domine, Domine, nonne tuo nomine prophetavimus, et tuo nomine dæmonia ejecimus, et tuo nomine efficientias multas fecimus ?

23 Et tunc confitebor illis. Quòd nunquam novi vos ; abscedite à me omnes operantes iniquitatem.

24 Omnis ergo quicunque audit mea verba hæc, et facit ea, assimilabo illum viro prudenti, qui ædificavit domum suam super petram.

25 Et descendit pluvia et venerunt flumina, et flaverunt venti, et procubuerunt domui illi, et non cecidit : fundata erat enim super petram.

26 Et omnis audiens mea verba hæc, et non faciens ea, assimilabitur viro stulto, qui ædificavit domum suam super arenam :

27 Et descendit pluvia, et venerunt flumina, et flaverunt venti, et proruerunt domui illi, et cecidit, et fuit casus illius magnus.

28 Et factum est, quum consummasset Jesus sermones hos, stupebant illum turbæ super doctrina ejus.

29 Erat enim docens eos ut auctoritatem habens, et non sicut Scribæ.

Κεφ. η'. 8.

1 Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.

CAPUT VIII.

1 DESCENDENTE autem eo de monte, secutæ sunt eum turbæ multæ

2 Καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

2 Et ecce leprosus veniens, adorabat eum, dicens : Domine, si velis, efficax es me mundare.

3 Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων· Θέλω, καθαρίσθητι· Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.

3 Et extendens manum, tetigit eum Jesus, dicens : Volo, mundare. Et confestim munda est ejus lepra.

4 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅρα μηδενὶ εἴπῃς· ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὁ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

4 Et ait illi Jesus : Vide, nemini dixeris : sed abi, teipsum ostende sacerdoti, et offer munus quod præcepit Moyses, in testimonium illis.

5 Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναοὺμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν,

5 Introeunte autem Jesu in Capernaum, accessit ad eum Centurio, appellans eum,

6 Καὶ λέγων, Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος.

6 Et dicens : Domine, puer meus jacet in domo paralyticus vehementer discruciatus.

7 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν.

7 Et ait illi Jesus : Ego veniens curabo eum.

8 Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου.

8 Et respondens Centurio ait : Domine, non sum idoneus ut meum sub tectum intres : sed tantùm dic verbum, et sanabitur puer meus.

9 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ.

9 Etenim ego homo sum sub auctoritatem, habens sub meipsum milites : et dico huic, Vade, et vadit : et alii, Veni, et venit : et servo meo, Fac hoc, et facit.

10 Ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

10 Audiens autem Jesus, miratus est : et ait sequentibus : Amen dico vobis, neque in Israël tantam fidem inveni.

11 Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·

11 Dico autem vobis, quod multi ab orientibus et occidentibus venient, et recumbent cum Abraham, et Isaac, et Jacob in regno cælorum.

12 Οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων

12 Filii autem regni ejicientur in tenebras exteriores : ibi erit fletus, et fremitus dentium

13 Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

13 Et dixit Jesus Centurioni. Abi, et sicut credidisti, fiat tibi. Et sanatus est puer ejus in hora illa.

14 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν·

14 Et ingressus Jesus in domum Petri, vidit socrum ejus jacentem et febricitantem :

15 Καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει αὐτῷ.

15 Et tetigit manum ejus, et dimisit eam febris : et surrexit, et ministrabat eis.

16 Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλοὺς· καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν.

16 Vespere autem facto, obtulerunt ei dæmoniacos multos, et ejiciebat spiritus verbo et omnes malè habentes sanabat :

17 Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· " Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν."

17 Ut adimpleretur dictum per Isaiam Prophetam, dicentem : Ipse infirmitates nostras accepit, et ægrotationes portavit.

18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.

18 Videns autem Jesus multas turbas circum se, jussit abire in ulterius.

19 Καὶ προσελθὼν εἷς Γραμματεὺς, εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ.

19 Et accedens unus Scriba, ait illi : Magister, sequar te quocumque ieris.

20 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

20 Et dicit ei Jesus : Vulpes foveas habent, et volucres cæli umbracula : Filius autem hominis non habet ubi caput recli net.

21 Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου.

21 Alius autem discipulorum ejus ait illi : Domine, permitte mihi primùm abire, et sepelire patrem meum.

22 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.

22 At Jesus ait illi : Sequere me, et dimitte mortuos sepelire suos mortuos.

23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

23 Et ascendente eo in naviculam, secuti sunt eum discipuli ejus.

24 Καὶ ἰδοὺ, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ

24 Et ecce motus magnus factus est in mari, ita ut navi-

πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε.

25 Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν αὐτὸν, λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.

26 Καὶ λέγει αὐτοῖς· Τί δειλοί ἐστε, ὀλιγόπιστοι; Τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ ἐγένετο γαλήνη μεγάλη.

27 Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

28 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης.

29 Καὶ ἰδοὺ ἔκραξαν, λέγοντες· Τί ἡμῖν κάι σοι, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

30 Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη.

31 Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων.

32 Καὶ εἶπεν αὐτοῖς· Ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ ἰδοὺ, ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν.

33 Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων.

34 Καὶ ἰδοὺ, πᾶσα ἡ πόλις

culam operiri sub fluctibus. ipse verò dormiebat.

25 Et accedentes discipuli ejus, suscitaverunt eum, dicentes: Domine, salva nos, perimus.

26 Et dicit eis: Quid timidi estis, exiguæ fidei? Tunc surgens imperavit ventis et mari, et facta est tranquillitas magna.

27 At homines mirati sunt, dicentes: Qualis est hic, quia et venti et mare obediunt ei?

28 Et venienti ipsi in ulterius in regionem Gergeseno rum, occurrerunt ei duo dæmoniaci de monumentis exeuntes, sævi nimis, ita ut non valere quenquam transire per viam illam.

29 Et ecce clamaverunt, dicentes: Quid nobis et tibi, Jesu fili Dei? Venisti huc ante tempus torquere nos?

30 Erat autem longè ab illis grex porcorum multorum pascens.

31 Verum dæmones appellabant eum, dicentes: Si ejicis nos, permitte nobis abire in gregem porcorum.

32 Et ait illis, Abite. Illi autem exeuntes abierunt in gregem porcorum. Et ecce irruit totus grex porcorum per præceps in mare, et mortui sunt in aquis.

33 Pastores autem fugerunt, et venientes in civitatem, nunciaverunt omnia, et illa quæ dæmoniacorum.

34 Et ecce tota civitas exiit

ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Κεφ. θ' 9.

1 Καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

2 Καὶ ἰδοὺ, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· Θάρσει τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

3 Καὶ ἰδοὺ, τινὲς τῶν Γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ.

4 Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· Ἱναττί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν ;

5 Τί γάρ ἐστιν εὐκοπώτερον, εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἢ εἰπεῖν· Ἔγειραι καὶ περιπάτει ;

6 Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· τότε λέγει τῷ παραλυτικῷ· Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

7 Καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

8 Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

9 Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον· καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ.

10 Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες,

in occursum Jesu. Et videntes eum, rogabant ut transiret à finibus eorum.

CAPUT IX.

1 Et ascendens in naviculam, trajecit, et venit in propriam civitatem.

2 Et ecce offerebant ei paralyticum in lecto jacentem : et videns Jesus fidem illorum, dixit paralytico : Confide fili, remittuntur tibi peccata tua.

3 Et ecce quidam Scribarum dixerunt in seipsis : Hic blasphemat.

4 Et videns Jesus cogitationes eorum, dixit, Ut quid vos cogitatis mala in cordibus vestris ?

5 Quid enim est facilius, dicere : Dimittuntur tibi peccata : an dicere, Erigere, et ambula ?

6 Ut autem sciatis quòd auctoritatem habet Filius hominis in terra remittere peccata : tunc ait paralytico : Erectus tolle tuum lectum, et abi in domum tuam.

7 Et erectus abiit in domum suam.

8 Videntes autem turbæ, timuerunt, et glorificaverunt Deum, dantem auctoritatem talem hominibus.

9 Et præteriens Jesus inde, vidit hominem sedentem in telonio, Matthæum dictum : et ait illi : Sequere me : et surgens sequutus est eum.

10 Et factum est eo discumbente in domo, et ecce multi publicani et peccatores venien-

συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ.

11 Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν ;

12 Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

13 Πορευθέντες δὲ μάθετε τί ἐστιν· Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες· Διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλὰ, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι ;

15 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος ; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.

16 Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται.

17 Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοὶ, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινοὺς, καὶ ἀμφότερα συντηροῦνται.

18 Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ, ἄρχων ἐλθὼν προσεκύνει αὐτῷ, λέγων· Ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν, ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὴν, καὶ ζήσεται.

tes, discumbebant cum Jesu, et discipulis ejus.

11 Et videntes Pharisæi dicebant discipulis ejus : Quare cum publicanis et peccatoribus manducat Magister vester ?

12 At Jesus audiens, ait illis : Non usum habent valentes medico, sed malè habentes.

13 Euntes autem discite quid est, Misericordiam volo, et non sacrificium. Non enim veni vocare justos, sed peccatores ad pœnitentiam.

14 Tunc adeunt eum discipuli Joannis, dicentes : Quare nos et Pharisæi jejunamus frequenter, discipuli autem tui non jejunant ?

15 Et ait illis Jesus, Nunquid possunt filii sponsi lugere quamdiu cum illis est sponsus ? Venient autem dies, quum auferetur ab eis sponsus, et tunc jejunabunt.

16 Nemo autem injicit injectionem panni rudis in vestimentum vetus : aufert enim plenitudinem ejus à vestimento, et pejor scissura fit.

17 Neque mittunt vinum novum in utres veteres : si autem minus, rumpuntur utres, et vinum effluit, et utres pereunt : sed mittunt vinum novum in utres novos, et ambo conservantur.

18 Hæc illo loquente eis, ecce princeps veniens, adorabat eum dicens : Quòd filia mea modò defuncta est : sed veniens impone manum tuam super eam et vivet

19 Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.

20 Καὶ ἰδοὺ, γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ·

21 Ἔλεγε γὰρ ἐν ἑαυτῇ· Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.

22 Ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν, εἶπε· Θάρσει θύγατερ· ἡ πίστις σου σέσωκέ σε. Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.

23 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς, καὶ τὸν ὄχλον θορυβούμενον,

24 Λέγει αὐτοῖς· Ἀναχωρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ.

25 Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον.

26 Καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ, κράζοντες, καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, υἱὲ Δαβίδ.

28 Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοὶ, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; Λέγουσιν αὐτῷ, Ναὶ Κύριε.

29 Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν.

30 Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Ὁρᾶτε μηδεὶς γινωσκέτω.

31 Οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

19 Et surgens Jesus sequebatur eum, et discipuli ejus.

20 Et ecce mulier sanguiflua duodecim annis, accedens retro, tetigit fimbriam vestimenti ejus.

21 Dicebat enim in seipsa. Si tantùm tetigero vestimentum ejus, servabor.

22 At Jesus conversus, et videns eam, dixit: Confide filia, fides tua servavit te. Et servata est mulier ab hora illa.

23 Et veniens Jesus in domum Principis, et videns tibicines et turbam tumultuantem,

24 Dicit illis: Recedite non enim mortua est puella, sed dormit. Et deridebant eum.

25 Quum verò ejecta esset turba, ingressus apprehendit manum ejus, et surrexit puella.

26 Et exiit fama hæc in universam terram illam.

27 Et transeunte inde Jesu, sequuti sunt eum duo cæci, clamantes, et dicentes: Miserere nostri fili David.

28 Venienti autem in domum, accesserunt ad eum cæci. Et dicit eis Jesus: Creditis quòd possum hoc facere? Dicunt ei: Utique Domine.

29 Tunc tetigit oculos eorum, dicens: Secundùm fidem vestram fiat vobis.

30 Et aperti sunt eorum oculi: et comminatus est illis Jesus, dicens: Videte ne quis sciat:

31 Illi autem exeuntes diffamaverunt eum in tota terra illa

32 Αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον·

33 Καὶ ἐκληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες· Ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ.

34 Οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

35 Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

36 Ἰδὼν δὲ τοὺς ὄχλους, ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμένοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα.

37 Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι·

38 Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

32 Illis autem egressis, ecce obtulerunt ei hominem mutum dæmoniacum.

33 Et ejecto dæmonio, locutus est mutus, et miratæ sunt turbæ, dicentes, Nunquam apparuit sic in Israël.

34 Pharisæi autem dicebant: In principe dæmoniorum ejicit dæmones.

35 Et circumibat Jesus civitates omnes, et castella, docens in synagogis eorum, et prædicans euangelium regni, et curans omnem languorem, et omnem infirmitatem in populo.

36 Videns autem turbas, misertus est de eis, quia erant vexati, et dispersi sicut oves non habentes pastorem.

37 Tunc dicit discipulis suis: Messis quidem multa, operarii autem pauci.

38 Supplicate ergo domino messis, ut emittat operarios in messem suam.

Κεφ. ι'. 10.

1 Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

2 Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ·

3 Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης·

CAPUT X.

1 ET advocans duodecim discipulos suos, dedit illis potestatem spirituum immundorum, ut ejicere eos, et curare omnem languorem, et omnem infirmitatem.

2 Duodecim autem Apostolorum nomina sunt hæc: Primus, Simon dictus Petrus, et Andreas frater ejus, Jacobus Zebedæi, et Joannes frater ejus.

3 Philippus et Bartholomæus: Thomas et Matthæus pub-

Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος·

licanus : Jacobus Alphæi, et Lebbæus cognominatus Thaddæus :

4 Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν.

4 Simon Chananites, et Judas Iscariotes, qui et tradens eum.

5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε·

5 Hos duodecim legavit Jesus, denuncians eis, dicens : In viam gentium ne abieritis, et in civitatem Samaritanorum me intraveritis.

6 Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

6 Ite autem magis ad oves perditas domus Israël.

7 Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.

7 Euntes autem prædicate, dicentes : Quia appropinquavit regnum cælorum.

8 Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

8 Infirmos curate, leprosos mundate, mortuos suscitate dæmones ejicite. gratis accepistis, gratis date.

9 Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν·

9 Ne possideatis aurum, neque argentum, neque æs in zonis vestris :

10 Μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδους· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.

10 Non peram in viam, neque duas tunicas, neque calceamenta, neque virgam : dignus enim operarius alimento suo est.

11 Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι· κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε.

11 In quamcunque autem civitatem aut castellum intraveritis, interrogate quis in ea dignus sit : et ibi manete donec exeatis.

12 Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν.

12 Intrantes autem in domum, salutate eam.

13 Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω.

13 Et si quidem fuerit domus, digna, ingrediatur pax vestra super eam : si autem non fuerit digna, pax vestra ad vos convertatur.

14 Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν ἐξερχόμενοι ἔξω τῆς οἰκίας ἢ τῆς

14 Et qui non receperit vos neque audierit sermones vestros, exeuntes domo vel civi-

πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.

15 Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

16 Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

17 Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς.

18 Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν.

19 Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε.

20 Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν.

21 Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς.

22 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

23 Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην· ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

24 Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ.

25 Ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ· εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν,

tate illa, excutite pulverem pedum vestrorum.

15 Amen dico vobis, Tolerabilius erit terræ Sodomorum et Gomorrhæorum in die judicii, quam civitati illi.

16 Ecce ego mitto vos sicut oves in medio luporum. Estote ergo prudentes sicut serpentes, et simplices sicut columbæ.

17 Cavete autem ab hominibus: Tradent enim vos in confessus, et in synagogis suis flagellabunt vos.

18 Et ad præsides autem et reges agemini propter me, in testimonium illis, et gentibus.

19 Quum autem tradent vos, ne anxiemini quomodo, aut quid loquamini: dabitur enim vobis in illa hora quid loquemini.

20 Non enim vos estis loquentes, sed spiritus Patris vestri loquens in vobis.

21 Tradet autem frater fratrem in mortem, et pater filium: et insurgent nati in parentes, et morte afficient eos.

22 Et eritis in visi ab omnibus propter nomen meum: Verum permanens in finem, hic servabitur.

23 Quum autem insequentur vos in civitate ista, fugite in aliam. Amen enim dico vobis, non finietis civitates Israël, donec veniat Filius hominis.

24 Non est discipulus super magistrum, nec servus super dominum suum.

25 Sufficit discipulo ut sit sicut magister ejus, et servus sicut dominus ejus. Si patremfamilias Beelzebul voca-

πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ ;

26 Μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

27 Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

28 Καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

29 Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ πατρὸς ὑμῶν ;

30 Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί.

31 Μὴ οὖν φοβηθῆτε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς.

32 Πᾶς ἓν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

33 Ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

34 Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.

35 Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς.

36 Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ.

37 Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ

verunt, quanto magis domesticos ejus ?

26 Ne ergo timueritis eos. Nihil enim est occultum, quod non revelabitur, et abditum, quod non scietur.

27 Quod dico vobis in tenebris, dicite in lumine : et quod in aurem auditis, prædicate super domos.

28 Et ne timeatis ab occidentibus corpus, et animam non valentibus occidere : timete autem magis potentem et animam et corpus perdere in gehenna.

29 Nonne duo passeres asse væneunt ? et unus ex illis non cadet super terram, sine Patre vestro.

30 Vestri autem et capilli capitis omnes numerati sunt.

31 Ne ergo timeatis : multis passeribus præstatis vos.

32 Omnis ergo qui confitebitur in me coram hominibus, confitebor et ego in eo coram Patre meo qui in cælis.

33 Qui autem negaverit me coram hominibus, negabo eum et ego coram Patre meo qui in cælis.

34 Ne arbitremini quòd veni jacere pacem in terram : non veni jacere pacem, sed gladium.

35 Veni enim dividere hominem adversus patrem suum, et filiam adversus matrem suam, et nurum adversus socrum suam :

36 Et inimici hominis, domestici ejus :

37 Diligens patrem aut matrem super me non est me dig

φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.

38 Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.

39 Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

40 Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με.

41 Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται.

42 Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

nus : et amans filium aut filiam super me, non est me dignus.

38 Et qui non capit crucem suam, et sequitur post me, non est me dignus

39 Inveniens animam suam, perdet illam : et perdens animam suam propter me, inveni et eam.

40 Suscipiens vos, me suscipit : et me suscipiens, suscipit mittentem me.

41 Recipiens Prophetam in nomen Prophetæ, mercedem Prophetæ capiet : et recipiens justum in nomen justi, mercedem justi capiet.

42 Et quicumque potaverit unum minimorum istorum poculum frigidæ tantum in nomen discipuli, Amen dico vobis, non perdet mercedem suam.

Κεφ. ια'. 11.

1 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

2 Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ,

3 Εἶπεν αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν ;

4 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἀκούετε καὶ βλέπετε.

5 Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται.

6 Καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

CAPUT XI.

1 Et factum est quum finisset Jesus constituens duodecim discipulis suis, transiit inde docere et prædicare in civitatibus eorum.

2 At Joannes audiens in carcere opera Christi, mittens duos discipulorum suorum,

3 Ait illi : Tu es veniens an alium exspectamus ?

4 Et respondens Jesus ait illis : Euntes renunciate Joanni quæ auditis et videtis :

5 Cæci vident, et claudi circumambulant, leprosi mundantur, et surdi audiunt, mortui resurgunt, et pauperes euangelizantur.

6 Et beatus est qui non fuerit scandalizatus in me

7 Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

8 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν.

9 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναὶ, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου.

10 Οὗτος γάρ ἐστι, περὶ ὃ γέγραπται· "Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σε, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου."

11 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν.

12 Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

13 Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν.

14 Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι.

15 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκούετω.

16 Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶ παιδίοις ἐν ἀγοραῖς καθημένοις, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν,

17 Καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε.

18 Ἦλθε γὰρ Ἰωάννης μήτε

7 His autem euntibus, cœpit Jesus dicere turbis de Joanne Quid existis in desertum spectare? arundinem à vento agitatam?

8 Sed quid existis videre? hominem in mollibus vestimentis circumamictum? Ecce mollia ferentes in domibus regum sunt.

9 Sed quid existis videre? Prophetam? Utique, dico vobis, et abundantius Propheta.

10 Hic enim est de quo scriptum est: Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te.

11 Amen dico vobis, non excitatus est in natis mulierum major Joanne Baptista. Verum minor in regno cælorum, major illo est.

12 A verò diebus Joannis Baptistæ usque nunc, regnum cælorum vim patitur, et vio lenti rapiunt illud.

13 Omnes enim Prophetæ et Lex usque ad Joannem pro phetaverunt.

14 Et si vultis recipere, ipse est Elias futurus venire.

15 Habens aures audire, audiat.

16 Cui autem assimulabe generationem istam? Similis est pueris in foris sedentibus, et acclamantibus sociis suis,

17 Et dicentibus, Tibia sonuimus vobis, et non saltastis: lamentavimus vobis, et non planxistis.

18 Venit enim Joannes ne-

ἐσθίων, μήτε πίνων· καὶ λέγουσι· Δαιμόνιον ἔχει.

19 Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγουσιν· Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν· καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς.

20 Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν.

21 Οὐαί σοι Χοραζὶν, οὐαί σοι Βηθσαϊδὰ· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν.

22 Πλὴν λέγω ὑμῖν· Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν.

23 Καὶ σὺ Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον.

24 Πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί.

25 Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ, καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.

26 Ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

27 Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τὶς ἐπιγινώσκει, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

28 Δεῦτε πρός με πάντες οἱ

que manducans, neque bibens : et dicunt, Dæmonium habet.

19 Venit filius hominis manducans et bibens, et dicunt, Ecce homo edax et vinipotator, publicanorum amicus et peccatorum. et justificata est sapientia à filiis ipsius.

20 Tunc cœpit exprobrare civitates, in quibus factæ sunt plurimæ efficacitates ejus, quia non pœnituissent.

21 Væ tibi Chorazin, væ tibi Bethsaida, quia si in Tyro et Sidone factæ essent efficacitates factæ in vobis, olim in sacco et cinere pœnituissent.

22 Cæterùm dico vobis, Tyro et Sidoni remissus erit in die judicii, quàm vobis.

23 Et tu Capernaum, quæ usque cælum alte posita, usque infernum dimitteris. quia si in Sodomis factæ fuissent efficacitates factæ in te, mansissent usque hodie.

24 Cæterùm dico vobis, quòd terræ Sodomorum remissius erit in die judicii, quàm tibi.

25 In illo tempore respondens Jesus, dixit : Confiteor tibi, Pater, Domine cæli et terræ, quia abscondisti hæc à sapientibus et intelligentibus, et revelasti ea imbecillis.

26 Ita Pater, quoniam sic fuit placitum ante te.

27 Omnia mihi tradita sunt à Patre meo. Et nemo agnoscit Filium, nisi Pater : neque Patrem quis agnoscit, nisi Filius, et cui voluerit Filius revelare.

28 Venite ad me omnes la

κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

29 Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ· ὅτι πραΰς εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

30 Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

borantes, et onerati, et ego recreabo vos.

29 Tollite jugum meum super vos, et discite à me, quia mitis sum, et humilis corde : et invenietis requiem animabus vestris.

30 Nam jugum meum blandum, et onus meum leve est.

Κεφ. ιβ. 12.

1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας, καὶ ἐσθίειν.

2 Οἱ δὲ φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ· Ἰδοὺ, οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ.

3 Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβὶδ, ὅτε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ' αὐτοῦ ;

4 Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξὸν ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις ;

5 Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι ;

6 Λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε.

7 Εἰ δὲ ἐγνώκειτε τί ἐστιν· Ἔλεον θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους.

8 Κύριος γάρ ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.

9 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν.

10 Καὶ ἰδοὺ, ἄνθρωπος ἦν τὴν χεῖρα ἔχων ξηρὰν· καὶ ἐπηρώτησαν

1 In illo tempore abiit Jesus Sabbatis per sata : at discipuli ejus esurierunt, et cœperunt vellere spicas, et manducare.

2 Verum Pharisæi videntes, dixerunt ei : Ecce discipuli tui faciunt quod non licet facere in Sabbato.

3 Ille verò dixit eis : Non legistis quid fecerit David, quando esuriit ipse et qui cum eo ?

4 Quomodo intravit in domum Dei, et panes propositionis comedit, quos non licitum erat ei edere, neque his qui cum eo, nisi Sacerdotibus solis ?

5 Aut non legistis in lege, quia Sabbatis Sacerdotes in sacro Sabbatum violant, et inculpati sunt ?

6 Dico autem vobis, quod sacro major est hic.

7 Si autem sciretis quid est, Misericordiam volo, et non sacrificium, non condemnassetis inculpatos.

8 Dominus enim est et Sabbati Filius hominis.

9 Et transiens inde, venit in synagogam eorum.

10 Et ecce homo erat manum habens aridam et interro-

αὐτὸν, λέγοντες· Εἰ ἔξεστι τοῖς σάββασι θεραπεύειν, ἵνα κατηγορήσωσιν αὐτοῦ.

11 Ὁ δὲ εἶπεν αὐτοῖς· Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ;

12 Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν.

13 Τότε λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρα σου, καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη ὑγιὴς, ὡς ἡ ἄλλη.

14 Οἱ δὲ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ' αὐτοῦ ἐξελθόντες, ὅπως αὐτὸν ἀπολέσωσιν.

15 Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν· καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας.

16 Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν·

17 Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος·

18 Ἰδοὺ, ὁ παῖς μου, ὃν ᾑρέτισα· ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ.

19 Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τὶς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ.

20 Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λῖνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.

21 Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι."

22 Τότε προσηνέχθη αὐτῷ δαι-

gabant eum, dicentes, Si licet Sabbatis curare ? ut accusarent eum.

11 Ipse autem dixit illis, Quis erit ex vobis homo qui habebit ovem unam, et si ceciderit hæc Sabbatis in foveam, nonne apprehendet eam et eriget ?

12 Quanto igitur præstat homo ove ? Itaque licet Sabbatis bene facere.

13 Tunc ait homini exsiccatam habenti manum : Extende manum tuam, et extendit : et restituta est sana, sicut altera.

14 At Pharisæi consilium ceperunt adversus eum, exeuntes, ut eum perderent.

15 At Jesus cognoscens, recessit inde : et sequutæ sunt eum turbæ multæ, et curavit eos omnes :

16 Et increpavit eos ut ne manifestum eum facerunt :

17 Ut adimpleretur pronunciatum per Esaiam Prophetam, dicentem :

18 Ecce puer meus, quem elegi : dilectus meus, in quo delectata est anima mea. Ponam Spiritum meum super eum, et judicium gentibus annunciabit.

19 Non contendet, neque clamabit, neque audiet aliquis in plateis vocem ejus

20 Calamum contritum non confringet, et linum fumigans non extinguet, donec ejiciat in victoriam judicium.

21 Et in nomine ejus gentes sperabunt.

22 Tunc allatus est ei dæ-

μονιζόμενος, τυφλὸς καὶ κωφός· καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν.

23 Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· Μήτι οὗτός ἐστιν ὁ υἱος Δαβίδ ;

24 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, εἶπον· Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων.

25 Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία, μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημοῦται· καὶ πᾶσα πόλις, ἢ οἰκία μερισθεῖσα, καθ' ἑαυτῆς, οὐ σταθήσεται.

26 Καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ ;

27 Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι ; διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί.

28 Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

29 Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει ;

30 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

31 Διὰ τοῦτο λέγω ὑμῖν· Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις.

32 Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται

moniacus, cæcus et mutus : et curavit eum, ita ut cæcum et mutum et loqui et videre.

23 Et stupebant omnes turbæ, et dicebant : Numquid hic est ille Christus filius David ?

24 At Pharisæi audientes, dixerunt, Hic non ejicit dæmones, si non in Beelzebul principe dæmoniorum.

25 Sciens autem Jesus cogitationes eorum, dixit eis : omne regnum divisum contra se, desolabitur : et omnis civitas vel domus divisa contra se, non stabit.

26 Et si satanas satanam ejicit, in seipsum divisus erit · quomodo ergo stabit regnum ejus.

27 Et si ego in Beelzebul ejicio dæmones, filii vestri in quo ejiciunt ? Propter hoc ipsi vestri erunt judices.

28 Si autem ego in Spiritu Dei ejicio dæmones, igitur pervenit in vos regnum Dei.

29 Aut quomodo potest quisquam intrare in domum fortis, et vasa ejus diripere, si non primùm alligaverit fortem, et tunc domum illius diripiet ?

30 Non existens mecum, contra me est : et qui non congregat mecum, spargit.

31 Propter hoc dico vobis Omne peccatum, et blasphemia remittetur hominibus : verùm Spiritus blasphemia non remittetur hominibus.

32 Et quicumque dixerit verbum contra Filium hominis, remittetur ei : qui autem dixerit contra Spiritum sanctum

αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

33 Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.

34 Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες; ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

35 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

36 Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

37 Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ.

38 Τότε ἀπεκρίθησάν τινες τῶν Γραμματέων καὶ Φαρισαίων, λέγοντες· Διδάσκαλε, θέλομεν ἀπό σου σημεῖον ἰδεῖν.

39 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου·

40 Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· ἔτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

41 Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

42 Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς

non remittetur ei neque in hoc sæculo, neque in futuro.

33 Aut facit arborem pulchram, et fructum ejus pulchrum: aut facite arborem cariosam, et fructum ejus cariosum: ex enim fructu arbor agnoscitur.

34 Progenies viperarum quomodo potestis bona loqui mali existentes? ex enim abundantia cordis os loquitur.

35 Bonus homo de bono thesauro cordis ejicit bona: et malus homo de malo thesauro ejicit mala.

36 Dico autem vobis, quod omne verbum otiosum quod loquuti fuerint homines, reddent de eo rationem in die judicii.

37 Ex enim verbis tuis justificaberis, et ex verbis tuis condemnaberis.

38 Tunc responderunt quidam Scribarum et Pharisæorum, dicentes: Magister, volumus à te signum videre.

39 Ille autem respondens ait illis: Generatio mala et adultera signum appetit: et signum non dabitur ei, si non signum Jonæ Prophetæ.

40 Sicut enim fuit Jonas in ventre ceti tres dies et tres noctes: sic erit Filius hominis in corde terræ tres dies et tres noctes.

41 Viri Ninivitæ resurgent in judicio cum generatione ista, et condemnabunt eam: quia pœnituerunt in prædicationem Jonæ: et ecce plus Jona hic.

42 Regina Austri excitabitur in judicio cum generatione ista.

ταύτης, καὶ κατακρινεῖ αὐτήν· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

43 Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει.

44 Τότε λέγει· Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. Καὶ ἐλθὸν, εὑρίσκει σχολάζοντα, σεσαρωμένον, καὶ κεκοσμημένον.

45 Τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ.

46 Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ, ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζητοῦντές αὐτῷ λαλῆσαι.

47 Εἶπε δέ τις αὐτῷ· Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι, ζητοῦντές σοι λαλῆσαι.

48 Ὁ δὲ ἀποκριθεὶς, εἶπε τῷ εἰπόντι αὐτῷ· Τίς ἐστὶν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;

49 Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· Ἰδοὺ ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου.

50 Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστίν.

et condemnabit eam : quia venit à finibus terræ audire sapientiam Solomonis : et ecce plus Solomon hic.

43 Quum autem immundus spiritus exierit ab homine, ambulat per inaquosa loca, quærens requiem, et non invenit.

44 Tunc dicit : Revertar in domum meam unde exivi. Et veniens invenit vacantem, scopis purgatam, et ornatam.

45 Tunc vadit, et assumit cum ipso septem alios spiritus nequiores seipso, et intrantes habitant ibi : et fiunt novissima hominis illius pejora prioribus. Sic erit et generationi huic nequam.

46 Adhuc autem eo loquente turbis, ecce mater et fratres ejus stabant foris, quærentes ei loqui.

47 Dixit autem quidam ei : Ecce mater tua, et fratres tui foris stant, quærentes tibi loqui.

48 At ipse respondens ait dicenti sibi. Quæ est mater mea, et qui sunt fratres mei ?

49 Et extendens manum suam in discipulos suos, dixit : Ecce mater mea et fratres mei.

50 Quicumque enim fecerit voluntatem Patris mei qui in cælis, ipse meus frater, et soror, et mater est.

Κεφ. ιγ'. 13.

1 Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν·

2 Καὶ συνήχθησαν πρὸς αὐτὸν

CAPUT XIII.

1 In verò die illo exiens Jesus de domo, sedebat secundam mare.

2 Et congregatæ sunt ad eum

ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει.

turbæ multæ, ita ut ipse in naviculam ascendens sederet : et omnis turba in littore stabat.

3 Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς, λέγων· Ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν.

3 Et locutus est eis multa in parabolis, dicens, Ecce exiit seminator seminare.

4 Καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν· καὶ ἦλθε τὰ πετεινὰ, καὶ κατέφαγεν αὐτά.

4 Et in seminare ipsum, hæc quidem ceciderunt secus viam, et venerunt volucres et comederunt ea.

5 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς.

5 Alia autem ceciderunt in petrosa, ubi non habebant terram multam : et continuo exorta sunt, propter non habere altitudinem terræ.

6 Ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

6 Sole autem orto, æstuaverunt, et propter non habere radicem, exaruerunt.

7 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά.

7 Alia autem ceciderunt in spinas, et insurrexerunt spinæ, et suffocaverunt ea.

8 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν, καὶ ἐδίδου καρπὸν ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα.

8 Alia autem ceciderunt in terram bonam, et dabant fructum, hoc centum, hoc autem sexaginta, hoc autem triginta.

9 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

9 Habens aures audire, audiat.

10 Καὶ προσελθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ· Διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς ;

10 Et accedentes discipuli, dixerunt ei : Quare in parabolis loqueris eis ?

11 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται.

11 Ille autem respondens ait illis : Quia vobis datum est nosse mysteria regni cælorum, illis autem non est datum.

12 Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ.

12 Quisquis enim habet, dabitur ei, et abundabit ; qui autem non habet, et quod habet auferetur ab eo.

13 Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι, οὐδὲ συνιοῦσι.

13 Propter hoc in parabolis eis loquor, quòd videntes non vident, et audientes non audiunt, neque intelligunt :

14 Καὶ ἀναπληροῦται ἐπ' αὐτοῖς ἡ προφητεία Ἡσαΐου, ἡ λέγουσα· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ

14 Et adimpletur eis prophetia Esaiæ, dicens : Auditu audietis, et non intelligetis.

συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.

15 Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνιῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς."

16 Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι· καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει.

17 Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν.

18 Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος.

19 Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς.

20 Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν·

21 Οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται.

22 Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων· καὶ ἡ μέριμνα τοῦ αἰῶνος τέτε, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

23 Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ συνιών· ὃς δὴ καρ-

et intuentes intuebimini, et non videbitis.

15 Incrassatum est enim cor populi hujus, et auribus graviter audierunt, et oculos suos clauserunt, nequando videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos.

16 Vestri autem beati oculi, quia intuenter, et aures vestræ, quia audiunt.

17 Amen quippe dico vobis, quia multi Prophetæ et justi cupierunt intueri quæ intuemini, et non viderunt; et audire quæ auditis, et non audierunt.

18 Vos ergo audite parabolam seminantis.

19 Omnis audientis verbum regni, et non intelligentis, venit malus, et rapit seminatum in corde ejus: hic est qui secus viam seminatus.

20 Qui autem super petrosa seminatus, hic est qui verbum audiens, et continuò cum gaudio sumens illud.

21 Non habet autem radicem in se ipso, sed temporalis est; facta autem tribulatione aut persequutione propter verbum, statim scandalizatur.

22 Qui autem in spinas seminatus, hic est qui verbum audiens, et anxietas seculi istius, et deceptio divitiarum suffocat verbum, et infructuosus fit.

23 Qui verò in terram pulchram seminatus, hic est qui verbum audiens et intelligens

ποφορεῖ, καὶ ποιεῖ, ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.

24 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ.

25 Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου· καὶ ἀπῆλθεν.

26 Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια.

27 Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν ἔν ἔχει τὰ ζιζάνια;

28 Ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· Θέλεις ἓν ἀπελθόντες συλλέξωμεν αὐτά;

29 Ὁ δὲ ἔφη, Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.

30 Ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ· καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς· Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας, πρὸς τὸ κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.

31 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ

32 Ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστὶ· καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ

quique fructum fert, et facit, hoc quidem centum, hoc autem sexaginta, hoc verò triginta.

24 Aliam parabolam proposuit illis, dicens: Assimilatum est regnum cælorum homini seminanti pulchrum semen in agro suo.

25 In verò dormire homines, venit ejus inimicus, et seminavit zizania in medio tritici, et abiit.

26 Quum autem crevit herba, et fructum fecit, tunc apparuerunt et zizania.

27 Accedentes autem servi patris familias dixerunt ei: Domine, nonne pulchrum semen seminasti in tuo agro? Unde ergò habet zizania?

28 Ille verò ait illis: Inimicus homo hoc fecit. At servi dixerunt ei: Vis igitur abeuntes colligamus ea?

29 Ille verò ait: Non; ne forte colligentes zizania, eradicetis simul eis triticum.

30 Sinite crescere utraque usque ad messem: et in tempore messis dicam messoribus, Colligite primùm zizania, et alligate ea in fasciculos, ad comburendum ea: at triticum congregate in horreum meum

31 Aliam parabolam proposuit eis, dicens: Simile est regnum cælorum grano sinapis quod accipiens homo seminavit in agro suo.

32 Quod minus quidem est omnium seminum: quum autem creverit, majus omnibus oleribus est, et fit arbor, ita ut ve

πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ.

33 Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

34 Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς.

35 Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος· "Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου."

36 Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν ὁ Ἰησοῦς· καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ.

37 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ὁ σπείρων τὸ καλὸν σπέρμα, ἔστιν ὁ υἱὸς τοῦ ἀνθρώπου·

38 Ὁ δὲ ἀγρός, ἔστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνια, εἰσὶν, οἱ υἱοὶ τοῦ πονηροῦ.

39 Ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτὰ, ἔστιν ὁ διάβολος· ὁ δὲ θερισμὸς, συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ, ἄγγελοί εἰσιν.

40 Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου.

41 Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν,

42 Καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

nire volucres cæli, et umbracula facere in ramis ejus.

33 Aliam parabolam loquutus est eis : Simile est regnum cælorum fermento, quod accipiens mulier abscondit in farinæ satis tribus usquequo fermentatum est totum.

34 Hæc omnia loquutus est Jesus in parabolis turbis : et sine parabola non loquebatur eis :

35 Ut impleretur pronunciatum per Prophetam, dicentem : Aperiam in parabolis os meum, eructabo abscondita à constitutione mundi.

36 Tunc dimittens turbas, venit in domum Jesus : et accesserunt ad eum discipuli ejus, dicentes : Explica nobis parabolam zizaniorum agri.

37 Ille verò respondens ait illis : Seminans pulchrum semen, est Filius hominis.

38 At ager est mundus. Verum pulchrum semen, hi sunt filii regni. At zizania, sunt filii mali.

39 At inimicus seminans ea, est diabolus. At messis, consummatio seculi est. At messores, angeli sunt.

40 Sicut ergo colliguntur zizania, et igni comburuntur. sic erit in consummatione seculi.

41 Mittet Filius hominis angelos suos, et colligent de regno ejus omnia scandala, et facientes iniquitatem :

42 Et mittent eos in caminum ignis. ibi erit fletus et fremitus dentium

43 Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

43 Tunc justi fulgebunt sicut Sol in regno Patris eorum. Habens aures audire, audiat.

44 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα ὅσα ἔχει, πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

44 Iterum simile est regnum cælorum thesauro abscondito in agro : quem inveniens homo abscondit, et præ gaudio illius vadit, et universa quæ habet vendit, et emit agrum illum.

45 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας.

45 Iterum simile est regnum cælorum homini negotiatori, quærenti bonas margaritas :

46 Ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν, πέπρακε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.

46 Qui inveniens unam pretiosam margaritam, abiens vendidit omnia quæ habuit, et emit eam.

47 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ·

47 Iterum simile est regnum cælorum sagenæ jactæ in mare, et ex omni genere cogenti.

48 Ἣν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν, καὶ καθίσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον.

48 Quam, quum impleta esset, producentes super littus, et sedentes, collegerunt pulchra in receptacula, at vitiosa foras ejecerunt.

49 Οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφορίοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων·

49 Sic erit in consummatione seculi : exibunt angeli, et segregabunt malos de medio justorum :

50 Καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

50 Et projicient eos in caminum ignis : ibi erit fletus et fremitus dentium.

51 Λέγει αὐτοῖς ὁ Ἰησοῦς. Συνήκατε ταῦτα πάντα ; Λέγουσιν αὐτῷ· Ναὶ Κύριε.

51 Dicit illis Jesus : Intellexistis hæc omnia ? Dicunt ei, utique Domine.

52 Ὁ δὲ εἶπεν αὐτοῖς· Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

52 Is autem dixit illis : Propter hoc omnis Scriba doctus in regnum cælorum, similis est homini patrifamilias, qui ejicit de thesauro suo nova et vetera.

53 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ

53 Et factum est, quum con

Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν.

54 Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν· ὥστε ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν· Πόθεν τούτῳ ἡ σοφία αὕτη, καὶ αἱ δυνάμεις ;

55 Οὐχ ἔτός ἐστιν ὁ τοῦ τέκτονος υἱός ; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτῆ Ἰάκωβος, καὶ Ἰωσῆς, καὶ Σίμων, καὶ Ἰούδας ;

56 Καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι ; πόθεν οὖν τούτῳ ταῦτα πάντα ;

57 Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατριδι αὐτοῦ, καὶ ἐν τῇ οἰκία αὐτοῦ.

58 Καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν.

Κεφ. ιδ'. 14.

1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ·

2 Καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ.

3 Ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν, καὶ ἔθετο ἐν φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ·

4 Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν.

5 Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον.

6 Γενεσίων δὲ ἀγομένων τοῦ

summasset Jesus parabolas istas, transiit inde.

54 Et veniens in patriam suam, docebat eos in synagoga eorum, ita ut obstupefieri ipsos, et dicere : Unde huic sapientia hæc, et efficacitates ?

55 Nonne hic est fabri filius ? Nonne mater ejus dicitur Maria, et fratres ejus Jacobus, et Joses, et Simon et Judas ?

56 Et sorores ejus, nonne omnes apud nos sunt ? unde ergo huic illa omnia ?

57 Et scandalizabantur in eo. At Jesus dixit eis : non est Propheta inhonoratus, si non in patria sua, et in domo sua.

58 Et non fecit ibi efficacias multas, propter incredulitatem illorum.

CAPUT XIV.

1 In illo tempore audivit Herodes Tetrarcha famam Jesu.

2 Et ait pueris suis : Hic est Joannes Baptista : ipse surrexit à mortuis, et propter hoc efficaciæ operantur in eo.

3 Nam Herodes apprehendens Joannem, vinxit eum, et posuit in custodia, propter Herodiadem uxorem Philippi fratris sui.

4 Dicebat enim illi Joannes : Non licet tibi habere eam

5 Et volens illum occidere, timuit turbam : quia sicut Prophetam eum habebant.

6 Natalitiis autem agendis

Ἡρῴδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρῴδῃ.

7 Ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται.

8 Ἡ δὲ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

9 Καὶ ἐλυπήθη ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, ἐκέλευσε δοθῆναι.

10 Καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

11 Καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς.

12 Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό· καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ.

13 Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.

14 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον· καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοὺς, καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν.

15 Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα.

16 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν.

17 Οἱ δὲ λέγουσιν αὐτῷ, Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας.

Herodis, saltavit filia Herodiadis in medio, et placuit Herodi

7 Unde cum juramento spopondit ei dare quodcumque postulasset.

8 Illa verò præinstructa à matre sua : Da mihi, inquit, hic in disco caput Joannis Baptistæ.

9 Et contristatus est rex ; propter verò juramenta, et simul accumbentes, jussit dari.

10 Et metens decapitavit Joannem in custodia.

11 Et allatum est caput ejus in disco, et datum est puellæ : et attulit matri suæ.

12 Et accedentes discipuli ejus, tulerunt corpus, et sepelierunt illud : et venientes nunciaverunt Jesu.

13 Et audiens Jesus secessit inde in navicula in desertum locum privatim, et audientes turbæ sequutæ sunt eum pedibus de civitatibus.

14 Et exiens Jesus vidit multam turbam, et visceribus affectus est erga eos, et curavit ægrotos eorum.

15 Vespere autem facto, accesserunt ad eum discipuli ejus, dicentes, Solitarius est locus, et hora jam præteriit : absolve turbas, ut abeuntes in vicos, mercentur sibi escas.

16 At Jesus dixit eis : Non usum habent abire . date illis vos manducare.

17 Illi autem dicunt ei : Non habemus hic si non quinque panes, et duos pisces.

18 Ὁ δὲ εἶπε Φέρετέ μοι αὐ τοὺς ὧδε.

19 Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανόν, εὐλόγησε· καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους· οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις

20 Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις.

21 Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων

22 Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως ἂ ἀπολύσῃ τοὺς ὄχλους.

23 Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ.

24 Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.

25 Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης.

26 Καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγοντες, Ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν.

27 Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων, Θαρσεῖτε· ἐγώ εἰμι· μὴ φοβεῖσθε.

28 Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος, εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα

18 Ille autem ait : Afferte mihi illos huc.

19 Et jubens turbas discumbere super fœna, accipiens quinque panes et duos pisces, suspiciens in cælum, benedixit. et frangens dedit discipulis panes : at discipuli turbis.

20 Et manducaverunt omnes, et saturati sunt, et tulerunt redundans fragmentorum duo decim cophinos plenos.

21 At edentes fuerunt viri ferè quinque millia, præter mulieres et pueros.

22 Et statim compulit Jesus discipulos suos ascendere in naviculam, et præcedere eum in ulteriora, usquequo absolveret turbas.

23 Et absolvens turbas, ascendit in montem privatim orare. Vespere autem facto, solus erat ibi :

24 Verùm navicula jam medium maris erat, vexata à fluctibus : erat enim contrarius ventus.

25 Quarta autem vigilia noctis, abiit ad eos Jesus circumambulans super mare.

26 Et videntes eum discipuli super mare circumambulantem, turbati sunt, dicentes : Quod phantasma est, et præ timore clamaverunt.

27 Statim autem loquutus est eis Jesus, dicens : Confidite, ego sum : ne metuatis

28 Respondens autem ei Petrus, dixit : Domine, si tu es, jube me ad te venire super aquas

29 Ὁ δὲ εἶπεν, Ἐλθέ. Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν.

30 Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε, λέγων, Κύριε, σῶσόν με.

31 Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας;

32 Καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος.

33 Οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες, Ἀληθῶς Θεοῦ υἱὸς εἶ.

34 Καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ.

35 Καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας.

36 Καὶ παρεκάλουν αὐτὸν, ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο, διεσώθησαν.

29 Ipse verò ait : Veni. et descendens de navicula Petrus, ambulabat super aquam, venire ad Jesum.

30 Intuitus verò ventum validum, timuit : et incipiens demergi, clamavit, dicens : Domine, serva me.

31 Et contmuò Jesus extendens manum, excepit eum, e ait illi : Exiguæ fidei, ad quid dubitasti ?

32 Et inscendentibus illis in navigium, quievit ventus.

33 Qui autem in navigio, venientes adoraverunt eum, dicentes : Verè Dei Filius es.

34 Et transfretantes venerunt in terram Genesaret.

35 Et cognoscentes eum viri loci illius, miserunt in universam circumviciniam illam : et attulerunt ei omnes malè habentes.

36 Et appellabant eum, ut vel solùm tangerent fimbriam vestimenti ejus. Et quicumque tetigerunt, perservati sunt.

Κεφ. ιε'. 15.

1 Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων Γραμματεῖς καὶ Φαρισαῖοι, λέγοντες·

2 Διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν.

3 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν;

4 Ὁ γὰρ Θεὸς ἐνετείλατο, λέγων Τίμα τὸν πατέρα καὶ τὴν

CAPUT XV.

1 TUNC accedunt Jesu ab Hierosolymis Scribæ et Pharisæi, dicentes :

2 Quare discipuli tui transgrediuntur traditionem seniorum ? non enim lavant manus suas, quum panem manducant.

3 Ipse autem respondens ait illis : Quare et vos transgredimini mandatum Dei, propter traditionem vestram ?

4 Nam Deus mandavit, dicens : Honora patrem tuum et

μητέρα· καί, Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω.

5 Ὑμεῖς δὲ λέγετε· Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς· καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ, ἢ τὴν μητέρα αὐτοῦ.

6 Καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν.

7 Ὑποκριταί, καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας, λέγων·

8 "Ἐγγίζει μοι ὁ λαὸς ὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ.

9 Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων."

10 Καὶ προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς· Ἀκούετε καὶ συνίετε.

11 Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος· τοῦτο κοινοῖ τὸν ἄνθρωπον.

12 Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ· Οἶδας, ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον, ἐσκανδαλίσθησαν;

13 Ὁ δὲ ἀποκριθεὶς, εἶπε. Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.

14 Ἄφετε αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται.

15 Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην.

16 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε;

17 Οὔπω νοεῖτε, ὅτι πᾶν τὸ

matrem: et, maledicens patr vel matri, morte finiatur.

5 Vos autem dicitis: Qui cumque dixerit patri vel matri, munus quod si ex me, juveris. Et non honorificabit patrem suum aut matrem suam:

6 Et irritum fecistis manda tum Dei propter traditionem vestram.

7 Hypocritæ, pulchrè pro phetavit de vobis Esaias, di cens:

8 Appropinquat mihi popu lus hic ore fuo, et labiis me honorat: at cor eorum longè abest à me.

9 Frustra autem colunt me, docentes doctrinas, mandata hominum.

10 Et advocans turbam, dix it eis: Audite et intelligite:

11 Non intrans in es communem facit hominem: sed egressum ex ore, hoc commu nem facit hominem.

12 Tunc accedentes disci puli ejus, dixerunt ei: Scis quòd Pharisæi audientes ser monem, scandalizati sunt?

13 Ille autem respondens, ait: Omnis plantatio, quam non plantavit Pater meus cælestis, eradicabitur.

14 Sinite illos: duces sunt cæci cæcorum, cæcus autem cæcum si per viam ducat, ambo in foveam cadent.

15 Respondens autem Petrus, dixit ei: Explica nobis parabolam istam.

16 At Jesus dixit Adhuc et vos non-intelligentes estis?

17 Nondum consideratis quod

εἰσπορευόμενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται ;

18 Τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον.

19 Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι.

20 Ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον.

21 Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος.

22 Καὶ ἰδοὺ, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν, αὐτῷ λέγουσα· Ἐλέησόν με, Κύριε, υἱὲ Δαβίδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.

23 Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν.

24 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

25 Ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι.

26 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

27 Ἡ δὲ εἶπε· Ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.

28 Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου

omne ingrediens in os, in ventrem cedit, et in secessum ejicitur ?

18 At exeuntia de ore, de corde prodeunt, et illa communem faciunt hominem.

19 De enim corde exeunt ratiocinationes malæ, homicidia, adulteria, fornicationes, furta, falsa testimonia, blasphemiæ

20 Hæc sunt communem facientia hominem. Verùm illotis manibus manducare, non communem facit hominem.

21 Et egressus inde Jesus, secessit in partes Tyri et Sidonis.

22 Et ecce mulier quædam Chananæa à finibus illis egressa, clamavit ei, dicens : Miserere mei Domine fili David : filia mea malè dæmonizatur.

23 Ille autem non respondit ei verbum. Et accedentes discipuli ejus rogabant eum, dicentes, Absolve eam, quia clamat post nos.

24 Ipse autem respondens ait : Non legatus sum si non ad oves perditas domus Israël

25 Illa autem veniens adorabat eum, dicens : Domine, succurre mihi.

26 Qui verò respondens, ait : Non est pulchrum fumere panem filiorum, et jacere catellis.

27 Illa autem ait : utique Domine : etenim catelli edunt de micis cadentibus de mensa dominorum suorum.

28 Tunc respondens Jesus, ait illi : O mulier, magna tua

ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

29 Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν Θάλασσαν τῆς Γαλιλαίας· καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ.

30 Καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, ἔχοντες μεθ' ἑαυτῶν χωλοὺς, τυφλοὺς, κωφοὺς, κυλλοὺς, καὶ ἑτέρους πολλοὺς· καὶ ἔῤῥιψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐθεράπευσεν αὐτούς.

31 Ὥστε τοὺς ὄχλους θαυμάσαι, βλέποντας κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς βλέποντας· καὶ ἐδόξασαν τὸν Θεὸν Ἰσραήλ.

32 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε· Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσί τί φάγωσι· καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.

33 Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον ;

34 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πόσους ἄρτους ἔχετε ; Οἱ δὲ εἶπον· Ἑπτὰ, καὶ ὀλίγα ἰχθύδια.

35 Καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν.

36 Καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας, ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ· οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ.

37 Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, ἑπτὰ σπυρίδας πλήρεις.

fides : fiat tibi sicut vis. Et sanata est filia ejus ab hora illa.

29 Et transiens inde Jesus, venit juxta mare Galilææ. Et ascendens in montem, sedebat ibi.

30 Et adierunt eum turbæ multæ, habentes cum seipsis claudos, cæcos, mutos, mancos, et alios multos, et projecerunt eos ad pedes Jesu, et curavit eos.

31 Ita ut turbas mirari aspicientes mutos loquentes, debiles sanos, claudos ambulantes, et cæcos aspicientes, et glorificabant Deum Israël.

32 At Jesus advocans discipulos suos, ait : Visceribus commoveor super turbam : quia jam dies tres admanent mihi, et non habent quid manducent : et absolvere eos jejunos non volo, nequando deficiant in via.

33 Et dicunt ei discipuli ejus : Unde nobis in deserto panes tot, ut saturare turbam tantam ?

34 Et ait illis Jesus : Quot panes habetis ? Illi autem dixerunt : Septem, et paucos pisciculos.

35 Et præcepit turbis recumbere super terram.

36 Et accipiens septem panes et pisces, gratias agens fregit, et dedit discipulis suis, at discipuli turbæ :

37 Et comederunt omnes, et saturati sunt : et tulerunt redundantiam fragmentorum, septem sportas plenas

38 Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων.

39 Καὶ ἀπολύσας τοὺς ὄχλους, ἐνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

38 At vescentes erant quatuor mille homines, præter mulieres et pueros.

39 Et absolvens turbas, inscendit in navigium, et venit in fines Magdala.

Κεφ. ιϛ'. 16.

1 Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.

2 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ὀψίας γενομένης λέγετε, Εὐδία· πυρράζει γὰρ ὁ οὐρανός.

3 Καὶ πρωΐ, Σήμερον χειμών· πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός. Ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε.

4 Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Καὶ καταλιπὼν αὐτοὺς, ἀπῆλθε.

5 Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν.

6 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

7 Οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς, λέγοντες· Ὅτι ἄρτους οὐκ ἐλάβομεν.

8 Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε;

9 Οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε;

10 Οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν

CAPUT XVI.

1 ET accedentes Pharisæi: et Sadducæi tentantes, rogaverunt eum signum de cælo ostendere eis

2 Is autem respondens, ait illis: Vespere facto, dicitis: Serenitas: rubet enim cælum.

3 Et manè, Hodie tempestas: rubet enim triste cælum. Hypocritæ, illam quidem faciem cæli nostis dijudicare: at signa temporum non potestis?

4 Generatio mala et adultera signum inquirit: et signum non dabitur ei, si non signum Jonæ Prophetæ: et relinquens eos, abiit.

5 Et venientes discipuli ejus in ulterius littus, obliti sunt panes sumere.

6 At Jesus dixit illis: Intuemini et attendite à fermento Pharisæorum et Sadducæorum.

7 Illi verò ratiocinabantur in seipsis, dicentes: Quia panes non accepimus.

8 Sciens autem Jesus, dixit illis: Quid ratiocinamini in vobis ipsis, exiguæ fidei, quia panes non sumpsistis?

9 Nondum intelligitis neque recordamini quinque panes quinque milium, et quot cophinos sumpsistis?

10 Neque septem panes qua-

τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε ;

11 Πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν, προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων ;

12 Τότε συνῆκαν, ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ' ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

13 Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου ;

14 Οἱ δὲ εἶπον, Οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν.

15 Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι ;

16 Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

17 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς.

18 Κἀγὼ δὲ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς·

19 Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

20 Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός.

21 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς

tuor millium, et quot sportas sumpsistis ?

11 Quomodo non intelligitis quia non de pane dixi vobis attendere à fermento Pharisæorum et Sadducæorum ?

12 Tunc intellexerunt, quia non dixerit attendere à fermento panis, sed à doctrina Phraisæorum et Sadducæorum.

13 Veniens autem Jesus in partes Cæsareæ Philippi, interrogabat discipulos suos, dicens : Quem me dicunt homines esse, filium hominis ?

14 Illi verò dixerunt : Hi quidem Joannem Baptistam : alii autem Eliam : alii verò Hieremiam, aut unum Prophetarum.

15 Dicit illis : Vos autem quem me dicitis esse ?

16 Respondens autem Simon Petrus, dixit : Tu es Christus filius Dei vivi.

17 Et respondens Jesus, dixit ei : Beatus es Simon Barjona, quia caro et sanguis non revelavit tibi, sed Pater meus qui in cælis.

18 Et ego autem tibi dico, quia tu es Petrus, et super hac pætra ædificabo meam ecclesiam : et portæ inferi non præ valebunt ei.

19 Et dabo tibi claves regni cælorum : Et quodcumque ligaveris super terram, erit ligatum in cælis : et quodcumque solveris super terram, erit solutum in cælis.

20 Tunc præcepit discipulis suis, ut nemini dicerent quia ipse esset Jesus Christus.

21 Ex tunc cœpit Jesus os-

δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

22 Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ, λέγων· Ἵλεώς σοι Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο.

23 Ὁ δὲ στραφείς, εἶπε τῷ Πέτρῳ· Ὕπαγε ὀπίσω μου Σατανᾶ, σκάνδαλόν μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

24 Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι·

25 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

26 Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;

27 Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

28 Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

tendere discipulis suis, quia oporteret eum abire in Hierosolyma, et multa pati à Senioribus, et principibus Sacerdotum, et Scribis, et occidi, et tertiâ die excitari

22 Et assumens eum Petrus, cœpit increpare illum, dicens: Clemens tibi Domine: non erit tibi hoc.

23 Is verò conversus, dixit Petro: Vade post me Satana, scandalum mihi es: quia non sapis ea quæ Dei, sed ea quæ hominum.

24 Tunc Jesus dixit discipulis suis: Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me.

25 Qui enim voluerit animam suam servare, perdet eam: qui autem perdiderit animam suam propter me, inveniet eam.

26 Quid enim juvatur homo, si mundum universum lucretur, at animam suam mulctetur? Aut quam dabit homo permutationem animæ suæ?

27 Futurus est enim Filius hominis venire in gloria Patris sui cum angelis suis: et tunc reddet unicuique secundum actionem ejus.

28 Amen dico vobis, sunt quidam hic stantium, qui non gustabunt mortem, donec videant Filium hominis venientem in regno suo.

Κεφ. ιζ'. 17.

1 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην

CAPUT XVII.

1 ET post dies sex assumit Jesus Petrum, et Jacobum, et Joannem fratrem ejus

τὸν ἀδελφὸν αὐτοῦ· καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν.

2 Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς.

3 Καὶ ἰδοὺ, ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες.

4 Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ.

5 Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ, φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.

6 Καὶ ἀκούσαντες οἱ μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα.

7 Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν· Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε.

8 Ἐπάραντες δὲ τοὺς ὀφθαλμὲς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μόνον.

9 Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

10 Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;

11 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἔρχεται πρῶτον, καὶ ἀποκαταστήσει πάντα.

12 Λέγω δὲ ὑμῖν, ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτὸν· ἀλλ' ἐποίησαν ἐν αὐτῷ, ὅσα ἠθέλη-

et ducit illos in montem excelsum privatè.

2 Et transfiguratus est ante eos, et resplenduit facies ejus sicut Sol, at vestimenta ejus facta sunt candida ut lux.

3 Et ecce apparuerunt illis Moses et Elias, cum eo colloquentes.

4 Respondens autem Petrus, dixit Jesu: Domine, pulchrum, est nos hic esse: si vis, faciamus hic tria umbracula, tibi unum, et Mosi unum, et unum Eliæ.

5 Adhuc eo loquente, ecce nubes lucida obumbravit eos. Et ecce vox de nube, dicens: Hic est filius meus dilectus, in quo benè acquievi: ipsum audite.

6 Et audientes discipuli, ceciderunt in faciem suam, et timuerunt valde.

7 Et accedens Jesus, tetigit eos, et ait: Surgite, et ne metuite.

8 Levantes autem oculos suos, neminem viderunt, si non Jesum solum.

9 Et descendentibus illis de monte, præcepit illis Jesus, dicens: Nemini dixeritis visionem, donec filius hominis à mortuis resurgat.

10 Et interrogaverunt eum discipuli ejus, dicentes: Quid ergo Scribæ dicunt, quod Eliam oporteat venire primùm?

11 At Jesus respondens, ait eis: Elias quidem venit primùm, et instaurabit omnia.

12 Dico autem vobis, quia Elias jam venit, et non cognoverunt eum: sed fecerunt in

σαν· ἕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν.

13 Τότε συνῆκαν οἱ μαθηταὶ, ὅτι περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς.

14 Καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος, γονυπετῶν αὐτῷ,

15 Καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν υἱὸν, ὅτι σεληνιάζεται, καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ.

16 Καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.

17 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε.

18 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον· καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.

19 Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον· Διατί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;

20 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Διὰ τὴν ἀπιστίαν ὑμῶν· ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μεταβήθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

21 Τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

22 Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.

eo quæcumque voluerunt. Sic et filius hominis futurus est pati ab eis.

13 Tunc intellexerunt discipuli, quia de Joanne Baptista dixit eis.

14 Et venientibus eis ad turbam, accessit ad eum homo ad geniculatus ipsi.

15 Et dicens : Domine, miserere meo filio, quia lunaticus est et malè patitur, sæpè enim cadit in ignem, et crebrò in aquam.

16 Et attuli eum discipulis tuis, et non potuerunt eum curare.

17 Respondens autem Jesus, ait : O generatio incredula et perversa : usque quando ero cum vobis ? usque quando tolerabo vos ? Ferte mihi illum huc.

18 Et increpavit illum Jesus, et exiit ab eo dæmonium, et curatus est puer ex hora illa

19 Tunc accedentes discipuli Jesu privatim, dixerunt : Propter quid nos non potuimus ejicere illum ?

20 At Jesus dixit illis : Propter incredulitatem vestram. Amen quippe dico vobis, si habueritis fidem sicut granum sinapis, denunciabitis monti huic, Transi hinc illuc, et transibit : et nihil impossibile erit vobis.

21 Hoc autem genus non ejicitur, si non in oratione et jejunio.

22 Versantibus autem eis in Galilæa, dixit illis Jesus : Futurus est Filius hominis tradi in manus hominum.

23 Καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. Καὶ ἐλυπήθησαν σφόδρα.

24 Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα;

25 Λέγει, Ναί. Καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τὰ τέλη, ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;

26 Λέγει αὐτῷ ὁ Πέτρος· Ἀπὸ τῶν ἀλλοτρίων. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί.

27 Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

Κεφ. ιή. 18.

1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;

2 Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν,

3 Καὶ εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

4 Ὅστις ἓν ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, ἔτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·

5 Καὶ ὃς ἐὰν δέξηται παιδίον

23 Et occident eum, et tertiâ die excitabitur. Et contristati sunt vehementer.

24 Venientibus autem illis in Capernaum, accesserunt didrachma sumentes Petro, et dixerunt: Magister vester non solvit didrachma?

25 Ait, Etiam. Et quum intrasset in domum, prævenit eum Jesus, dicens: Quid tibi videtur, Simon? reges terræ à quibus accipiunt tributa vel censum? à filiis suis, an ab alienis?

26 Dicit ei Petrus: Ab alienis. Dixit illi Jesus: Ergo liberi sunt filii.

27 Ut autem non scandalizemus eos, Vadens ad mare, mitte hamum: et ascendentem primum piscem tolle: et aperiens os ejus, invenies staterem: illum sumens, da eis pro me et te.

CAPUT XVIII.

1 In illa hora accesserunt discipuli Jesu, dicentes: Quisnam major est in regno cælorum?

2 Et advocans Jesus puerulum, statuit eum in medio eorum.

3 Et dixit: Amen dico vobis, si non conversi fueritis, et efficiamini sicut pueruli, nequaquam intrabitis in regnum cælorum.

4 Quicumque ergo humilia verit seipsum ut puerulus iste, hic est major in regno cælorum.

5 Et qui susceperit pueru-

τοιοῦτον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.

6 Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, τῶν πιστευόντων εἰς ἐμὲ συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.

7 Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται.

8 Εἰ δὲ ἡ χείρ σου, ἢ ὁ πούς σε σκανδαλίζει σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν, ἢ κυλλὸν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα, βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.

9 Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.

10 Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς.

11 Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός.

12 Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν· οὐχὶ ἀφεὶς τὰ ἐννενηκονταεννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον;

13 Καὶ ἐὰν γένηται εὑρεῖν αὐτο, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις.

lum talem unum in nomine meo, me suscipit:

6 Qui autem scandalizaverit unum parvorum horum, credentium in me, confert ei, ut suspendatur mola asinaria in collo ejus, et demergatur in pelago maris.

7 Væ mundo à scandalis: Necesse enim est venire scandala: verumtamen væ homini illi, per quem scandalum venit.

8 Si autem manus tua, vel pes tuus scandalizat te, abscinde ea, et jace abs te: pulchrum tibi est ingredi ad vitam claudum vel mancum, quam duas manus vel duos pedes habentem, jaci in ignem æternum.

9 Et si oculus tuus scandalizat te, erue eum, et jace abs te: pulchrum tibi est unoculum in vitam intrare, quam duos oculos habentem jaci in gehennam ignis.

10 Attendite ne despiciatis unum parvulorum horum: dico enim vobis, quia angeli eorum in cælis per omne aspiciunt faciem Patris mei, qui in cælis.

11 Venit enim Filius hominis salvare perditum.

12 Quid vobis videtur? si fuerint alicui homini centum oves, et erraverit una ex eis: nonne relinquens nonaginta novem, in montes vadens quærit errantem?

13 Et si fiat invenire eam, amen dico vobis, quia gaudet super ea magis, quam super nonaginta novem non aberrantibus.

14 Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν, τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληταῖ εἷς τῶν μικρῶν τούτων.

15 Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκοῦσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.

16 Ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο· ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα.

17 Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

18 Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.

19 Πάλιν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περι παντὸς πράγματος, ὃ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς.

20 Οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

21 Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος, εἶπε· Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς. Οὐ λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

23 Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.

24 Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων·

14 Sic non est voluntas ante Patrem vestrum qui in cælis, ut pereat unus parvulorum horum.

15 Si autem peccaverit in te frater tuus, vade, et corripe eum inter te et ipsum solum : Si te audierit, lucratus es fratrem tuum.

16 Si autem non audierit, assume cum te adhuc unum vel duos : ut in ore duorum testium vel trium stet omne verbum.

17 Si autem neglexerit eos, dic ecclesiæ : si autem et ecclesiam neglexerit, sit tibi sicut ethnicus et publicanus.

18 Amen dico vobis, quæcumque ligaveritis super terram, erunt ligata in cælo : et quæcumque solveritis super terram, erunt soluta in cælo.

19 Iterum dico vobis, quia si duo vestrum consenserint super terram de omni re quamcumque petierint, fiet illis à Patre meo qui in cælis.

20 Ubi enim sunt duo vel tres coacti in meo nomine, ibi sum in medio eorum.

21 Tunc accedens ad eum Petrus, dixit : Domine, quoties peccabit in me frater meus, et dimittam ei ? usque septies ?

22 Dicit illi Jesus : Non dico tibi, usque septies, sed usque septuagies septem.

23 Propter hoc assimilatum est regnum cælorum homini regi, qui voluit conferre rationem cum servis suis.

24 Incipiente verò ipso conferre, oblatus est ei unus debitor decies mille talentorum

25 Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι.

26 Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· Κύριε, μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω.

27 Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.

28 Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν σὺνδούλων αὐτὲ, ὃς ὠφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι, εἴτι ὀφείλεις.

29 Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ ἀποδώσω σοι.

30 Ὁ δὲ οὐκ ἤθελεν· ἀλλ' ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως ἂ ἀποδῷ τὸ ὀφειλόμενον.

31 Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα.

32 Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ· δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με·

33 Οὐκ ἔδει καί σε ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα ;

34 Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως ἂ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.

35 Οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

25 Non habente autem illo reddere, jussit eum dominus ejus venundari, et uxorem ejus, et filios, et omnia quæ habebat et reddi.

26 Procidens autem servus adorabat eum, dicens : Domine, longanimis esto erga me, et omnia tibi reddam.

27 Commotus visceribus autem dominus servi illius, absolvit eum, et mutuum dimisit ei.

28 Egressus autem servus ille, invenit unum conservorum suorum, qui debebat ei centum denarios : et apprehendens eum suffocabat, dicens : Redde mihi quod debes.

29 Procidens ergo conservus ejus ad pedes ejus, rogabat eum, dicens : Longanimis esto in me, et omnia reddam tibi.

30 Ille autem noluit : sed abiens conjecit eum in custodiam, donec redderet debitum.

31 Videntes autem conservi ejus facta, contristati sunt valde : et venientes declaraverunt domino suo omnia facta.

32 Tunc advocans illum dominus suus dicit illi : Serve nequam, omne debitum illud dimisi tibi, quoniam advocasti me.

33 Nonne oportuit et te misereri conservi tui, sicut et ego tui misertus sum ?

34 Et iratus dominus ejus tradidit eum tortoribus, quoad usque redderet universum debitum ei.

35 Sic et Pater meus cælestis faciet vobis, si non remiseritis unusquisque fratri suo de cordibus vestris lapsus eorum.

Κεφ. ιθ'. 19.

1 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας, πέραν τοῦ Ἰορδάνου.

2 Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.

3 Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι, πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν ;

4 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς ;

5 Καὶ εἶπεν· Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

6 Ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

7 Λέγουσιν αὐτῷ· Τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν ;

8 Λέγει αὐτοῖς· Ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν ἕτω.

9 Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.

10 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι.

CAPUT XIX.

1 ET factum est quum consummasset Jesus sermones istos, transtulit se à Galilæâ, et venit in fines Judææ trans Jordanem.

2 Et sequutæ sunt eum turbæ multæ : et curavit eos ibi.

3 Et accesserunt ad eum Pharisæi tentantes eum, et dicentes ei : Si licet homini absolvere uxorem suam juxta omnem causam ?

4 Qui verò respondens ait eis : Non legistis, quia faciens ab initio, masculum et fœminam fecit eos ?

5 Et dixit : Propter hoc dimittet homo patrem, et matrem, et adherebit uxori suæ : et erunt duo in carnem unam.

6 Itaque non amplius sunt duo, sed caro una. Quod ergo Deus conjunxit, homo non separet.

7 Dicunt illi : Quid ergo Moses mandavit dare libellum discessionis, et absolvere eam ?

8 Ait illis : Quòd Moses ad duritiem cordis vestri permisit vobis absolvere uxores vestras : ab initia autem non factum est ita.

9 Dico autem vobis, Quia quicumque absolverit uxorem suam, nisi super fornicatione, et duxerit aliam, mœchatur : et dimissam ducens, mœchatur.

10 Dicunt ei discipuli ejus : Si ita est causa hominis cum uxore, non confert nubere

11 Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται.

12 Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν ἕτω· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν, χωρείτω.

13 Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς.

14 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

15 Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας ἐπορεύθη ἐκεῖθεν.

16 Καὶ ἰδοὺ, εἷς προσελθὼν, εἶπεν αὐτῷ· Διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον;

17 Ὁ δὲ εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός· εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς.

18 Λέγει αὐτῷ, Ποίας; Ὁ δὲ Ἰησοῦς εἶπε· Τό· Οὐ φονεύσεις· Οὐ μοιχεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις.

19 Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα· καί, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

20 Λέγει αὐτῷ ὁ νεανίσκος· Πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ;

21 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι.

11 Ille verò dixit illis : Non omnes capiunt verbum istud, sed quibus datum est.

12 Sunt enim eunuchi, qui de utero matris nati sunt sic : et sunt eunuchi, qui castrati sunt ab hominibus : et sunt eunuchi, qui castraverunt seipsos propter regnum cælorum. potens capere, capiat.

13 Tunc oblati sunt ei pueruli, ut manus imponeret eis, et oraret : At discipuli increpabant eos.

14 At Jesus ait : Sinite pueruIos, et ne prohibete eos venire ad me : nam talium est regnum cælorum.

15 Et imponens eis manus, abiit inde.

16 Et ecce unus accedens, ait illi : Magister bone, quid boni faciam, ut habeam vitam æternam ?

17 Ipse verò dixit ei : Quid me dicis bonum ? nemo bonus si non unus, Deus. Si autem vis ingredi ad vitam, serva mandata.

18 Dicit illi : Quæ ? At Je sus dixit : hoc, Non occides . Non adulterabis : Non furaberis : Non falsò testaberis :

19 Honora patrem tuum et matrem : et : Diliges proximum tuum sicut teipsum.

20 Dicit illi adolescens . Omnia hæc custodivi à juventute mea : quid adhuc deficio ?

21 Ait illi Jesus : Si vis perfectus esse, vade, vende tuam substantiam, et da pauperibus et habebis thesaurum in cælo et veni, sequere me.

22 Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

24 Πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.

25 Ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα, λέγοντες· Τίς ἄρα δύναται σωθῆναι;

26 Ἐμβλέψας δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι.

27 Τότε ἀποκριθεὶς ὁ Πέτρος, εἶπεν αὐτῷ. Ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;

28 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

29 Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα. ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

30 Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

22 Audiens autem adolescens verbum, abiit tristis: erat enim habens possessiones multas.

23 At Jesus dixit discipulis suis: Amen dico vobis, quia difficile dives intrabit in regnum cælorum.

24. Iterum autem dico vobis, facilius est camelum per foramen acus transire, quam divitem in regnum Dei intrare.

25 Audientes autem discipuli ejus, mirabantur valde dicentes: Quis ergo potest servari?

26 Aspiciens autem Jesus, dixit illis: Apud homines hoc impossibile est, apud autem Deum omnia possibilia sunt.

27 Tunc respondens Petrus, dixit ei: Ecce nos reliquimus omnia, et sequuti sumus te: quid ergo erit nobis?

28 At Jesus dixit illis: Amen dico vobis, quod vos sequuti me, in regeneratione, quum sederit Filius hominis in throno gloriæ suæ, sedebitis et vos super duodecim thronos, judicantes duodecim tribus Israël.

29 Et omnis qui reliquerit domos, vel fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut natos, aut agros, propter nomen meum, centuplum accipiet, et vitam æternam hæreditabit.

30 Multi autem erunt primi novissimi: et novissimi, primi.

Κεφ. κ'. 20.

1 Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ.

2 Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ.

3 Καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς·

4 Κἀκείνοις εἶπεν, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν.

5 Οἱ δὲ ἀπῆλθον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως.

6 Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;

7 Λέγουσιν αὐτῷ· Ὅτι οὐδείς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε.

8 Ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων.

9 Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον.

10 Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον.

11 Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου,

CAPUT XX.

1 SIMILE enim est regnum cælorum homini patri familias, qui exiit cum diluculo conducere operarios in vineam suam.

2 Conveniens autem cum operariis ex denario diem, misit eos in vineam suam.

3 Et egressus circa tertiam horam, vidit alios stantes in foro otiosos :

4 Et illis dixit : Abite et vos in vineam : et quod fuerit justum dabo vobis.

5 Illi autem abierunt. Iterum exiens circa sextam et nonam horam, fecit similiter.

6 Circa verò undecimam horam exiens, invenit alios stantes otiosos, et dicit illis : Quid hic statis totam diem otiosi ?

7 Dicunt ei : Quia nemo nos mercede conduxit. Dicit eis : Ite et vos in vineam, et quod fuerit justum, sumetis.

8 Vespere autem facto, dicit dominus vineæ procuratori suo: Voca operarios et redde illis mercedem, incipiens à novissimis usque ad primos.

9 Et venientes qui circa undecimam horam, acceperunt singuli denarium.

10 Venientes autem primi, arbitrati sunt quòd plus essent accepturi. et acceperunt et ipsi singuli denarium.

11 Accipientes autem murmurabant adversus patrem familias,

12 Λέγοντες· Ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσας ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα.

13 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι;

14 Ἆρον τὸ σὸν, καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καί σοι.

15 Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι;

16 Οὕτως ἔσονται οἱ ἔσχατοι, πρῶτοι, καὶ οἱ πρῶτοι, ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

17 Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς·

18 Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ·

19 Καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι, καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

20 Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα, καὶ αἰτοῦσά τι παρ' αὐτοῦ.

21 Ὁ δὲ εἶπεν αὐτῇ· Τί θέλεις; Λέγει αὐτῷ, Εἰπὲ ἵνα καθίσωσιν ἕτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων, ἐν τῇ βασιλείᾳ σου.

22 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλ-

12 Dicentes : Quòd hi novissimi unam horam fecerunt, et pares nobis illos fecisti, portantibus pondus diei, et æstum.

13 Ille verò respondens dixit uni eorum : Amice, non facio injuriam tibi : nonne denario convenisti mecum ?

14 Tolle quod tuum, et abi, volo autem huic novissimo dare sicut et tibi.

15 Aut non licet mihi facere quod volo in meis ? an oculus tuus malus est, quia ego bonus sum ?

16 Sic erunt novissimi, primi : et primi, novissimi. Multi enim sunt vocati, pauci verò electi.

17 Et ascendens Jesus in Hierosolymam, assumpsit duodecim discipulos privatim in via, et ait illis :

18 Ecce ascendimus in Hierosolyma, et Filius hominis tradetur principibus Sacerdotum et Scribis, et condemnabunt eum morte :

19 Et tradent eum Gentibus ad illudendum, et flagellandum, et crucifigendum : et tertiâ die resurget.

20 Tunc accessit ad eum mater filiorum Zebedæi, cum filiis suis, adorans et petens aliquid ab eo.

21 Ille verò dixit ei : Quid vis ? Ait illi : Dic ut sedeant hi duo filii mei, unus à dextris tuis, et unus à sinistris in regno tuo.

22 Respondens autem Jesus, dixit : Nescitis quid petatis. Potestis bibere calicem, quem

λω πίνειν, καὶ τὸ βάπτισμα, ὁ ἐγὼ βαπτίζομαι, βαπτίσθῆναι ; Λέγουσιν αὐτῷ· Δυνάμεθα.

23 Καὶ λέγει αὐτοῖς· Τὸ μὲν ποτήριόν μου πίεσθε καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου.

24 Καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν.

25 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, εἶπεν· Οἴδατε, ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν.

26 Οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος·

27 Καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος.

28 Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς.

30 Καὶ ἰδοὺ· δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν, λέγοντες· Ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

31 Ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα σιωπήσωσιν· οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες· Ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

32 Καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπε· Τί θέλετε ποιήσω ὑμῖν ;

33 Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί.

ego futurus sum bibere, et baptisma, quo ego baptizor, baptizari ? Dicunt ei : Possumus

23 Et ait illis : Quidem calicem meum bibetis, et baptisma quo ego baptizor, baptizabimini : at sedere à dexteris meis et à sinistris meis, non est meum dare, sed quibus paratum est à Patre meo.

24 Et audientes decem, indignati sunt de duobus fratribus.

25 Verùm Jesus advocans eos, ait : Scitis quia principes Gentium dominantur eorum, et magni potestatem exercent eorum.

26 Non ita verò erit in vobis : sed quicumque voluerit in vobis magnus fieri, sit vester minister

27 Et qui voluerit in vobis esse primus, sit vester servus.

28 Sicut Filius hominis non venit ministrari, sed ministrare et dare animam suam pretium redemptionis pro multis.

29 Et egredientibus illis ab Jericho sequuta est eum turba multa

30 Et ecce duo cæci sedentes secus viam, audientes quod Jesus præteriret, clamaverunt, dicentes : Miserere nostri Domine fili David.

31 At turba increpabat eos ut tacerent. Illi vero magis clamabant, dicentes : Miserere nostri Domine, fili David.

32 Et stans Jesus vocavit eos, et ait : Quid vultis faciam vobis ?

33 Dicunt illi : Domine, ut aperiantur nostri oculi

34 Σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν· καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἠκολούθησαν αὐτῷ.

34 Visceribus commotus autem Jesus, tetigit oculos eorum Et confestim respexerunt eorum oculi, et sequuti sunt eum.

Κεφ. κά. 21.

1 Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς·

2 Πορεύθητε εἰς τὴν κώμην, τὴν ἀπέναντι ὑμῶν· καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι.

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς.

4 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος,

5 "Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον, καὶ πῶλον υἱὸν ὑποζυγίου."

6 Πορευθέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς,

7 Ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισαν ἐπάνω αὐτῶν.

8 Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ.

9 Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον, λέγοντες· Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

10 Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λεγουσα· Τίς ἐστὶν οὗτος;

1 Et quum appropinquassent in Hierosolyma, et venissent in Bethphage ad montem Olivarum, tunc Jesus misit duos discipulos, dicens eis :

2 Ite in vicum qui adversum vos : et statim invenietis asinam alligatam, et pullum cum ea : solventes adducite mihi.

3 Et si quis vobis dixerit aliquid, dicite, quia Dominus eorum usum habet : statim autem dimittet eos.

4 Hoc autem totum factum est, ut adimpleretur effatum per Prophetam, dicentem :

5 Dicite filiæ Sion : Ecce rex tuus venit tibi mansuetus, et insidens super asinam, et pullum filium subjugalis.

6 Euntes autem discipuli et facientes sicut mandavit illis Jesus,

7 Adduxerunt asinam, et pullum, et imposuerunt super eos vestimenta sua, et collocarunt eum desuper eos.

8 At plurima turba straverunt sua vestimenta in via : alii autem cædebant ramos de arboribus, et sternebant in via.

9 At turbæ præcedentes et sequentes clamabant, dicentes. Hosanna filio David : benedictus veniens in nomine Domini : Hosanna in altissimis.

10 Et intrante eo in Hierosolyma, commota est universa civitas, dicens : Quis est hic ?

11 Οἱ δὲ ὄχλοι ἔλεγον· Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

12 Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς.

13 Καὶ λέγει αὐτοῖς· Γέγραπται· "Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται·" ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

14 Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ· καὶ ἐθεράπευσεν αὐτούς.

15 Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ἠγανάκτησαν.

16 Καὶ εἶπον αὐτῷ· Ἀκούεις τί οὗτοι λέγουσιν; Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, Ναί· οὐδέποτε ἀνέγνωτε, Ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;

17 Καὶ καταλιπὼν αὐτοὺς, ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν· καὶ ηὐλίσθη ἐκεῖ.

18 Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε.

19 Καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτὴν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνον· καὶ λέγει αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ.

20 Καὶ ἰδόντες οἱ μαθηταὶ, ἐθαύμασαν, λέγοντες· Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ;

21 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶ-

11 At turbæ dicebant. Hic est Jesus Propheta, qui à Nazaret Galilææ.

12 Et intravit Jesus in templum Dei, et ejiciebat omnes vendentes et mercantes in templo, et mensas numulariorum evertit, et cathedras vendentium columbas.

13 Et dicit eis: Scriptum est: Domus mea domus orationis vocabitur: vos autem illam fecistis speluncam latronum.

14 Et accesserunt ad eum cæci et claudi in templo: et sanavit eos.

15 Videntes autem principes Sacerdotum et Scribæ mirabilia quæ fecit, et pueros clamantes in templo, et dicentes: Hosanna filio David, indignati sunt.

16 Et dixerunt ei: Audis quid isti dicunt? At Jesus dicit eis: Utique, nunquam legistis, Quia ex ore infantium, et lactentium perfecisti laudem?

17 Et relinquens ipsos, abiit extra civitatem in Bethaniam, et diversatus est ibi.

18 Manè autem revertens in civitatem, esuriit.

19 Et videns ficum unam secus viam, venit ad eam: et nihil invenit in ea: si non folia tantum: et ait illi: Nunquam ex te fructus fiat in sæculum: et arefacta est continuò ficulnea.

20 Et videntes discipuli, mirati sunt, dicentes: Quomodo continuò aruit ficus?

21 Respondens autem Jesus,

πεν αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται

22 Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες, λήψεσθε

23 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς ; καὶ τίς σοὶ ἔδωκε τὴν ἐξουσίαν ταύτην ;

24 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα· ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

25 Τὸ βάπτισμα Ἰωαννου ποθεν ἦν ; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων ; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς, λέγοντες· Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν· Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ ;

26 Ἐὰν δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων· φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην.

27 Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ, εἶπον· Οὐκ οἴδαμεν· Ἔφη αὐτοῖς καὶ αὐτὸς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

28 Τί δὲ ὑμῖν δοκεῖ ; Ἄνθρωπος εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ, εἶπε· Τέκνον, ὕπαγε, σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.

29 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς, ἀπῆλθε.

30 Καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθεὶς,

ait eis : Amen dico vobis, si habueritis fidem, et non hæsitaveritis, non solum quod ficus facietis, sed et si monti huic dixeritis : Tollere, et jactare in mare, fiet

22 Et omnia quæcumque petieritis in oratione credentes accipietis.

23 Et venienti ipsi in templum, accesserunt ei docenti principes Sacerdotum, et seniores populi, dicentes : In quæ auctoritate hæc facis ? et quis tibi dedit auctoritatem hanc ?

24 Respondens autem Jesus, dixit eis : Interrogabo vos et ego sermonem unum ; quem si dixeritis mihi, et ego vobis dicam in qua auctoritate hæc facio.

25 Baptismus Joannis unde erat ? è cælo, an ex hominibus ? Illi autem ratiocinabantur apud seipsos, dicentes : Si dixerimus, è cælo : dicet nobis Quare ergò non credidistis illi ?

26 Si autem dixerimus, ex hominibus : timemus turbam. omnes enim habent Joannem sicut Prophetam.

27 Et respondentes Jesu, dixerunt : Nescimus. Ait illis et ipse : Nec ego dico vobis in qua auctoritate hæc facio.

28 Quid autem vobis videtur ? Homo quidam habebat natos duos : et accedens primo, dixit : Fili, vade, hodie operarare in vinea mea.

29 Ille autem respondens, ait : Nolo. Postea autem pœnitentiâ affectus, abiit.

30 Et accedens alteri, dixi similiter. Ille verò respon

εἶπεν· Ἐγὼ κύριε· καὶ οὐκ ἀπῆλθε.

31 Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; Λέγουσιν αὐτῷ, Ὁ πρῶτος· Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

32 Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ ἐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ.

33 Ἄλλην παραβολὴν ἀκούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν.

34 Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ.

35 Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν.

36 Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.

37 Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἐντραπήσονται τὸν υἱόν μου.

38 Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ.

39 Καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν.

40 Ὅταν ἔν ἔλθῃ ὁ κύριος τοῦ

dens, ait: Ego Domine, et non abiit.

31 Quis ex duobus fecit voluntatem patris? Dicunt ei· Primus. Dicit illis Jesus: Amen dico vobis, quod publicani et meretrices præeunt vobis in regnum Dei.

32 Venit enim ad vos Joannes in via justitiæ: et non credidistis ei: At publicani et meretrices crediderunt ei: vos autem videntes non pœnituistis posteà, ad credendum ei.

33 Aliam parabolam audite. Homo quidam erat paterfamilias, qui plantavit vineam, et sepem ei circumposuit, et fodit in ea torcular, et ædificavit turrim, et locavit eam agricolis, et peregrè profectus est.

34 Quum autem appropinquasset tempus fructuum, legavit servos suos ad agricolas accipere fructus ejus.

35 Et accipientes agricolæ servos ejus, hunc quidem ceciderunt, hunc verò occiderunt, illum verò lapidaverunt.

36 Rursum legavit alios servos plures prioribus: et fecerunt illis similiter.

37 Posteriùs autem misit ad eos filium suum, dicens: Verebuntur filium meum.

38 At agricolæ videntes filium, dixerunt in seipsis: Hic est hæres, venite, occidamus eum, et obtineamus hæreditatem ejus.

39 Et sumentes ejecerunt eum extra vineam, et occiderunt.

40 Quum ergò venerit do

ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις ;

41 Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τὰς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.

42 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· " Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίᾳ ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν ;" ·

43 Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

44 Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.

45 Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει.

46 Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον.

minus vineæ, quid faciet agricolis illis ?

41 Aiunt illi : Malos malè perdet ipsos, et vineam locabit aliis agricolis, qui reddent ei fructus in temporibus suis.

42 Dicit illis Jesus : Nunquam legistis in Scripturis : lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli ? à Domino factum est istud : et est mirabile in oculis nostris.

43 Propter hoc dico vobis, quod tolletur à vobis regnum Dei, et dabitur genti facienti fructus ejus.

44 Et cadens super lapidem istum, conquassabitur : super quem verò ceciderit, comminuet eum.

45 Et audientes principes Sacerdotum et Pharisæi parabolas ejus, cognoverunt quod de ipsis diceret.

46 Et quærentes eum prehendere, timuerunt turbas, quoniam sicut Prophetam eum habebant.

Κεφ. κβ'. 22.

1 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς, λέγων,

2 Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ·

3 Καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ, καλέσαι τὲς κεκλημένους εἰς τοὺς γάμους· καὶ οὐκ ἤθελον ἐλθεῖν.

4 Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· Εἴπατε τοῖς κεκλημένοις· Ἰδοὺ, το ἄριστόν μου ἡ-

CAPUT XXII.

1 ET respondens Jesus, iterum dixit eis in parabolis, dicens :

2 Simile factum est regnum cælorum homini regi, qui fecit nuptias filio suo :

3 Et misit servos suos vocare vocatos ad nuptias : et nolebant venire.

4 Iterum misit alios servos, dicens : Dicite vocatis : Ecce prandium meum paravi, tauri

τοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους.

5 Οἱ δὲ ἀμελήσαντες, ἀπῆλθον· ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ.

6 Οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ ἀπέκτειναν.

7 Ἀκούσας δὲ ὁ βασιλεὺς, ὠργίσθη· καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.

8 Τότε λέγει τοῖς δούλοις αὐτοῦ· Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι.

9 Πορεύεσθε ἓν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους.

10 Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων.

11 Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου.

12 Καὶ λέγει αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη.

13 Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

14 Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

15 Τότε πορευθέντες οἱ Φαρισαῖοι, συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.

mei et altilia occisa, et omnia expedita: venite ad nuptias.

5 Illi autem negligentes abierunt: ille quidem in propriu agrum, ille verò ad mercatu ram suam.

6 At reliqui prehendentes servos ejus, contumeliis affecerunt, et occiderunt.

7 Audiens autem rex ille iratus est: et mittens exercitus suos, perdidit homicidas illos et civitatem illorum incendit.

8 Tunc ait servis suis: Qu dem nuptiæ expeditæ sunt: qui autem vocati non fuerunt dign

9 Ite ergo ad compita viarum, et quoscumque invener tis, vocate ad nuptias.

10 Et egressi servi illi in vias congregaverunt omnes quos invenerunt, malosque et bonos: et impletæ sunt nuptiæ discumbentium.

11 Ingressus autem rex spectare discumbentes, vidit ibi hominem non vestitum indumentum nuptiarum.

12 Et ait illi: Amice, quomodo intrasti huc, non habens vestem nuptialem? Ille verò ore occlusus est.

13 Tunc dixit rex ministris: Ligantes ejus pedes et manus, tollite eum, et ejicite in tenebras exteriores: ibi erit fletus et fremitus dentium.

14 Multi enim sunt vocati, pauci verò electi.

15 Tunc abeuntes Pharisæi, consilium sumpserunt ut eum illaquearent in sermone.

16 Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν, λέγοντες· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων.

16 Et mittunt ei discipulos suos cum Herodianis, dicentes. Magister, scimus quia verax es, et viam Dei in veritate doces · et non est cura tibi de aliquo non evim respicis in faciem hominum.

17 Εἰπὲ ἓν ἡμῖν, τί σοὶ δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;

17 Dic ergò nobis, quid tibi videtur? Licet dare censum Cæsari, an non?

18 Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηριαν αὐτῶν, εἶπε· Τί με πειράζετε ὑποκριταί;

18 Cognoscens autem Jesus nequitiam eorum, ait: Quid me tentatis hypocritæ?

19 Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου· Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον.

19 Ostendite mihi numisma census. Illi verò obtulerunt ei denarium.

20 Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;

20 Et ait illis: Cujus imago hæc, et superscriptio?

21 Λέγουσιν αὐτῷ· Καίσαρος. Τότε λέγει αὐτοῖς· Ἀπόδοτε ἓν τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ· τῷ Θεῷ.

21 Dicunt ei: Cæsaris. Tunc ait illis: Reddite ergò quæ Cæsaris Cæsari: et quæ Dei, Deo.

22 Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

22 Et audientes mirati sunt. et relinquentes eum abierunt

23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν· καὶ ἐπηρώτησαν αὐτὸν,

23 In illo die accesserunt ad eum Sadducæi, dicentes non esse resurrectionem: et interrogaverunt eum,

24 Λέγοντες· Διδάσκαλε, Μωσῆς εἶπεν· Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

24 Dicentes: Magister, Moses dixit: Si quis mortuus fuerit non habens genitos, ob affinitatem ducet frater ejus uxorem illius, et suscitabit semen fratri suo.

25 Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος, γαμήσας, ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ.

25 Erant autem apud nos septem fratres: et primus uxore ductâ, obiit: et non habens semen, reliquit uxorem suam fratri suo.

26 Ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά.

26 Similiter et secundus, et tertius usque ad septem.

27 Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.

27 Postremum autem omnium defuncta est et mulier.

28 Ἐν τῇ ἓν ἀναστάσει, τίνος

28 In ergò resurrectione,

τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν.

29 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.

30 Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσι.

31 Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ, λέγοντος.

32 "Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ;" οὐκ ἔστιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

33 Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

34 Οἱ δὲ Φαρισαῖοι, ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό.

35 Καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων·

36 Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

37 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου·

38 Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.

39 Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

40 Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

41 Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς,

42 Λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ, τοῦ Δαβίδ.

cujus septem erit uxor? omnes enim habuerunt eam.

29 Respondens autem Jesus, ait illis: Erratis, nescientes Scripturas, neque efficaciam Dei.

30 In enim resurrectione neque nubent, neque dantur nuptui, sed sicut angeli Dei in cælo sunt.

31 De autem resurrectione mortuorum, non legistis effatum vobis à Deo, dicente.

32 Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob, Non est Deus, Deus mortuorum, sed viventium.

33 Et audientes turbæ, percellebantur in doctrina ejus.

34 At Pharisæi audientes quod occlusit os Sadducæis, coacti sunt in idipsum.

35 Et interrogavit unus ex eis Legis doctor, tentans eum, et dicens:

36 Magister, quod mandatum magnum in Lege?

37 At Jesus ait illi: Diliges Dominum Deum tuum in toto corde tuo, et in tota anima tua, et in tota cogitatione tua.

38 Hoc est primum et magnum mandatum.

39 Secundum autem simile huic: Diliges proximum tuum sicut teipsum.

40 In his duobus mandatis universa Lex et Prophetæ pendent.

41 Coactis autem Pharisæis, interrogavit eos Jesus,

42 Dicens: Quid vobis videtur de Christo? cujus filius est? dicunt ei, David

43 Λέγει αὐτοῖς. Πῶς ἓν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ; λέγων·

44 "Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου."

45 Εἰ ἓν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι;

46 Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον· οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

43 Ait illis. Quomodo ergò David in Spiritu Dominum eum vocat? dicens.

44 Dixit Dominus Domino meo: Sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum.

45 Si ergo David vocat eum Dominum, quomodo filius ejus est?

46 Et nemo poterat ei respondere verbum: neque ausus fuit quisquam ex illa die interrogare eum amplius.

Κεφ. κγ'. 23.

1 Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ,

2 Λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι·

3 Πάντα ἓν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γὰρ, καὶ οὐ ποιοῦσι.

4 Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά·

5 Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν.

6 Φιλοῦσι τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς,

7 Καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββεί, ῥαββεί.

8 Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββεί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητης, ὁ

CAPUT XXIII.

1 TUNC Jesus loquutus est turbis, et discipulis suis,

2 Dicens: Super Mosi cathedram sederunt Scribæ et Pharisæi:

3 Omnia ergò quæcumque dixerint vobis servare, servate et facite: secundùm verò opera eorum ne facite: dicunt enim, et non faciunt.

4 Alligant enim onera gravia et importabilia, et imponunt in humeros hominum: at digito suo non volunt movere ea

5 Omnia verò opera sua faciunt adspectari hominibus. dilatant verò phylacteria sua, et magnificant fimbrias vestimentorum suorum.

6 Amantque primos recubitus in cœnis, et primas cathedras in synagogis,

7 Et salutationes in foris, et vocari ab hominibus, Rabbi, Rabbi

8 Vos autem ne vocemini Rabbi: unus enim est vester

Χριστός· πάντες δὲ ὑμεῖς, ἀδελφοί ἐστε.

9 Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

10 Μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς, ὁ Χριστός.

11 Ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος.

12 Ὅστις δὲ ὑψώσῃ ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσῃ ἑαυτὸν, ὑψωθήσεται.

13 Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.

14 Οὐαὶ δὲ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν,

15 Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.

16 Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.

17 Μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων ἐστὶν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν;

18 Καὶ· Ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτῆς, ὀφείλει.

19 Μωροὶ καὶ τυφλοί, τί γὰρ

doctor Christus: omnes autem vos fratres estis.

9 Et patrem ne vocetis vestrum super terram: unus enim est Pater vester qui in cælis.

10 Nec vocemini doctores: unus enim vester est doctor Christus.

11 Qui verò major vestrûm, erit vester minister.

12 Qui autem exaltaverit seipsum, humiliabitur: et qui humiliaverit seipsum, exaltabitur.

13 Væ vobis Scribæ et Pharisæi hypocritæ, quia comeditis domos viduarum, et prætextu prolixa orantes: propter hoc accipietis abundantius judicium.

14 Væ autum vobis Scribæ et Pharisæi hypocritæ, quia clauditis regnum cælorum ante homines: vos enim non intratis, nec introëuntes finitis intrare,

15 Væ vobis Scribæ et Pharisæi hypocritæ, quia circuitis mare et aridam, facere unum proselytum: et quum fuerit factus, facitis eum filium gehennæ, dupliciorem vobis.

16 Væ vobis duces cæci, dicentes: Quicumque juraverit in templo, nihil est: qui autem juraverit in auro templi, debet.

17 Stulti et cæci: quid enim majus est, aurum, aut templum sanctificans aurum?

18 Et quicumque juraverit in altari, nihil est: quicumque autem juraverit in dono quod super illud, debet.

19 Stulti et cæci · quid enim

μεῖζον; τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον;

20 Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ·

21 Καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτόν.

22 Καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

23 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· Ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

24 Ὁδηγοὶ τυφλοί, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

25 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας.

26 Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

27 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.

28 Οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μέστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

29 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων.

majus, donum, an altare sanctificans donum?

20 Ergo jurans in altari, jurat in eo, et in omnibus quæ super illud.

21 Et jurans in templo, jurat in illo, et in habitante illud.

22 Et jurans in cælo, jurat in throno Dei, et in sedente super eum.

23 Væ vobis Scribæ et Pharisæi hypocritæ, quia decimatis mentham, et anethum, et cyminum, et reliquistis graviora Legis, judicium, et misericordiam, et fidem. hæc oportuit facere, et illa non omittere.

24 Duces cæci, excolantes culicem, at camelum glutientes.

25 Væ vobis Scribæ et Pharisæi hypocritæ, quia mundatis quod deforis poculi et patinæ, intus autem plena sunt ex rapina et intemperantia.

26 Pharisæe cæce, munda prius quod intus poculi, et patinæ, ut fiat et quod deforis ipsorum mundum.

27 Væ vobis Scribæ et Pharisæi hypocritæ, quia adsimilamini sepulchris dealbatis, quæ à foris quidem apparent speciosa, intus verò plena sunt ossibus mortuorum, et omni immunditia.

28 Sic et vos à foris quidem paretis hominibus justi: intus autem pleni estis hypocrisi et iniquitate.

29 Væ vobis Scribæ et Pharisæi hypocritæ, quia ædificatis sepulchra Prophetarum, et ornatis monumenta justorum·

30 Καὶ λέγετε· Εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

30 Et dicitis : quod si fuissemus in diebus patrum nostrorum, non essemus communicatores eorum in sanguine Prophetarum.

31 Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας.

31 Itaque testamini vobismetipsis, quia filii estis occidentium Prophetas.

32 Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

32 Et vos implete mensuram patrum vestrorum.

33 Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης ;

33 Serpentes, genimina viperarum, quomodo fugietis à judicio gehennæ ?

34 Διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν.

34 Propter hoc ecce ego mitto ad vos Prophetas, et sapientes, et Scribas : et ex illis occidetis, et crucifigetis, et ex illis flagellabitis in synagogis vestris, et persequemini de civitate in civitatem :

35 Ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.

35 Ut veniat super vos omnis sanguis justus, effusus super terram, à sanguine Abel justi, usque ad sanguinem Zachariæ filii Barachiæ, quem occidistis inter templum, et altare.

36 Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.

36 Amen dico vobis, quod venient hæc omnia super generationem istam.

37 Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε ;

37 Hierusalem, Hierusalem occidens Prophetas, et lapidans legatos ad ipsam, quoties volui supercongregare filios tuos, quemadmodum congregat gallina pullos suos sub alas, et non voluistis ?

38 Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.

38 Ecce relinquetur vobis domus vestra deserta.

39 Λέγω γὰρ ὑμῖν· Οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

39 Dico enim vobis Non me videbitis à nunc, donec dicatis : Benedictus veniens in nomine Domini

Κεφ. κδ'. 24.

1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ, καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ.

2 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ βλέπετε πάντα ταῦτα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ καταλυθήσεται.

3 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος;

4 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Βλέπετε μήτις ὑμᾶς πλανήσῃ.

5 Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι.

6 Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι· ἀλλ' οὔπω ἐστὶ τὸ τέλος.

7 Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους.

8 Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

9 Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων ἐθνῶν διὰ τὸ ὄνομά μου.

10 Καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους.

CAPUT XXIV.

1 ET egressus Jesus ibat de templo: et accesserunt discipuli ejus ostendere ei ædificationes templi.

2 At Jesus dixit illis: Non intuemini hæc omnia? Amen dico vobis, non relinquetur hic lapis super lapidem, qui non dissolvetur.

3 Sedente autem eo super montem Olivarum accesserunt ad eum discipuli privatim, dicentes: Dic nobis, quando hæc erunt, et quod signum tuæ præsentiæ et consummationis seculi?

4 Et respondens Jesus, dixit eis: Videte ne quis vos seducat.

5 Multi enim venient in nomine meo, dicentes: Ego sum Christus: et multos seducent

6 Futuri estis autem audire bella, et auditiones bellorum: Videte ne turbemini: oportet enim omnia fieri. sed nondum est finis.

7 Excitabitur enim gens in gentem, et regnum in regnum: et erunt fames, et pestilentiæ, et terræmotus secundum loca.

8 Omnia autem hæc initium dolorum.

9 Tunc tradent vos in tribulationem, et occident vos: et eritis odio habiti ab omnibus gentibus, propter nomen me um.

10 Et tunc offendentur multi: et invicem tradent, et odio habebunt invicem

11 Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς.

12 Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.

13 Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

14 Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος.

15 Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ· ὁ ἀναγινώσκων νοείτω·

16 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη.

17 Ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραί τα ἐκ τῆς οἰκίας αὐτοῦ·

18 Καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ.

19 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

20 Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν σαββάτῳ.

21 Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται.

22 Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

23 Τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ, ὧδε ὁ Χριστὸς, ἢ ὧδε· μὴ πιστεύσητε.

24 Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώ-

11 Et multi pseudoprophetæ excitabuntur, et seducent multos.

12 Et propter multiplicari iniquitatem, refrigescet charitas multorum.

13 Qui autem permanens in finem, hic servabitur.

14 Et prædicabitur hoc Euangelium regni in universa habitata, in testimonium omnibus gentibus : et tunc veniet finis.

15 Quum ergo videritis abominationem desolationis, effatam à Daniele Propheta, stans in loco sancto : legens intelligat :

16 Tunc qui in Judæa fugiant ad montes.

17 Qui super domum, non descendat tollere quid de æde sua.

18 Et qui in agro, non revertatur retrò tollere vestem suam.

19 Væ autem in utero habentibus, et lactantibus in illis diebus.

20 Orate autem ut non fiat fuga vestra hyeme, neque in Sabbato.

21 Erit enim tunc tribulatio magna, qualis non fuit ab initio mundi, usque, modo, neque non fiet.

22 Et si non contracti fuissent dies illi, non esset servata omnis caro : propter autem electos contrahentur dies illi.

23 Tunc si quis vobis dixerit : Ecce hic Christus, aut illic : ne credatis.

24 Excitabuntur enim pseudochristi et pseudoprophetæ :

σουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυναλὸν, καὶ τὲς ἐκλεκλούς.

25 Ἰδοὺ, προείρηκα ὑμῖν.

26 Ἐὰν ἓν εἴπωσιν ὑμίν· Ἰδὲ, ἐν τῇ ἐρήμῳ ἐσλί, μὴ ἐξέλθηλε· ἰδοὺ, ἐν τοῖς ταμείοις, μὴ πισλεύσηλε.

27 Ὥσπερ γὰρ ἡ ἀσλραπὴ ἐξέρχελαι ἀπὸ ἀναλολῶν, καὶ φαίνελαι ἕως δυσμῶν· ἕλως ἔσλαι καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

28 Ὅπου γὰρ ἐὰν ᾖ τὸ πῶμα, ἐκεῖ συναχθήσονλαι οἱ ἀελοί.

29 Εὐθέως δὲ μελὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκολισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀσλέρες πεσοῦνλαι ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονλαι.

30 Καὶ τότε φανήσελαι τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε κόψονλαι πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονλαι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μελὰ δυνάμεως καὶ δόξης πολλῆς.

31 Καὶ ἀποσλελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκλοὺς αὐλοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐλῶν.

32 Ἀπὸ δὲ τῆς συκῆς μάθελε τὴν παραβολήν· ὅλαν ἤδη ὁ κλάδος αὐλῆς γένηλαι ἁπαλὸς, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκελε ὅτι ἐγγὺς τὸ θέρος.

33 Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδηλε πάνλα ταῦτα, γινώσκελε ὅτι ἐγγύς ἐσλιν ἐπὶ θύραις.

34 Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάνλα ταῦτα γένηλαι.

et dabunt signa magna et prodigia, ita ut seducere, si possibile, et electos.

25 Ecce prædixi vobis.

26 Si ergo dixerint vobis. Ecce in deserto est, ne exeatis: ecce in conclavibus, ne credatis.

27 Sicut enim fulgur exit ab Orientibus, et apparet usque Occidentes, ita erit et præsentia filii hominis.

28 Ubicumque enim fuerit cadaver, illuc congregabuntur aquilæ.

29 Statim autem post tribulationem dierum illorum Sol obscurabitur, et Luna non dabit lumen suum, et stellæ cadent de cælo, et efficaciæ cælorum concutientur.

30 Et tunc parebit signum filii hominis in cælo: et tunc plangent omnes tribus terræ, et videbunt filium hominis venientem in nubibus cæli, cum efficacia et gloria multa.

31 Et legabit angelos suos cum tuba vocis magnæ: et congregabunt electos ejus à quatuor ventis, à summis cælorum usque extrema eorum.

32 A verò ficu discite parabolam: quum jam ramus ejus fuerit tener, et folia germinaverint, scitis quia prope æstas.

33 Ita et vos, quum videritis hæc omnia, scitote quia prope est in januis.

34 Amen dico vobis, non præteribit generatio hæc donec omnia ista fiant

35 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

35 Cælum et terra præteribunt: verùm verba mea non præteribunt.

36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος.

36 De autem die illa et hora nemo scit, neque angeli cælorum, si non Pater meus solus

37 Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, ἕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

37 Sicut autem dies Noë, ita erit et adventus Filii hominis.

38 Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν·

38 Sicut enim erant in diebus ante diluvium, comedentes et bibentes, nubentes et nuptui tradentes, usque quo die intravit Noë in arcam:

39 Καὶ οὐκ ἔγνωσαν, ἕως ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας· ἕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου

39 Et non cognoverunt donec venit diluvium, et tulit omnes: ita erit et præsentia Filii hominis.

40 Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται.

40 Tunc duo erunt in agro: unus assumitur, et unus relinquitur.

41 Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται.

41 Duæ molentes in mola · una assumetur, et una relinquetur

42 Γρηγορεῖτε ἕν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται.

42 Vigilate ergo, quia nescitis quâ horâ Dominus vester venit.

43 Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ.

43 Illud autem scitote, quoniam si sciret paterfamilias quâ custodiâ fur venit, vigilaret utique, et non sineret perfodi domum suam.

44 Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι, ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

44 Propter hoc et vos estote parati, quia quâ horâ non putatis: Filius hominis venturus est.

45 Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ;

45 Quis putas est fidelis servus et prudens, quem constituit dominus suus super familiam suam, ad dandum illis cibum in tempore?

46 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα ἕτως.

46 Beatus servus ille, quem veniens dominus ejus, invenerit facientem sic.

47 Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

48 Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἐλθεῖν·

49 Καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους, ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων·

50 Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει.

51 Καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

47 Amen dico vobis, quoniam super omnibus substantiis suis constituet eum.

48 Si autem dixerit malus servus ille in corde suo : Tardat dominus meus venire.

49 Et cœperit percutere conservos, edere autem et bibere cum ebriosis :

50 Veniet dominus servi illius in die quâ non expectat, et in hora quâ non scit.

51 Et dividet eum, et partem ejus cum hypocritis ponet. illic erit fletus, et stridor dentium.

Κεφ. κε'. 25.

1 Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου.

2 Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ πέντε μωραί.

3 Αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον.

4 Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν.

5 Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον.

6 Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ.

7 Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.

8 Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν· ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται.

CAPUT XXV.

1 TUNC similabitur regnum cælorum decem virginibus, quæ accipientes lampadas suas, exierunt in occursum sponsi.

2 Quinque autem erant ex eis prudentes, et quinque fatuæ.

3 Quæ fatuæ sumentes lampadas suas, non sumpserunt secum oleum.

4 Verùm prudentes acceperunt oleum in vasis suis cum lampadibus suis.

5 Tardante autem sponso dormitaverunt omnes, et dormierunt.

6 Mediâ autem nocte clamor factus est : Ecce sponsus venit : exite in occursum ejus.

7 Tunc surrexerunt omnes virgines illæ : et ornaverunt lampadas suas.

8 At fatuæ sapientibus dixerunt : Date nobis de oleo vestro, quia lampades nostræ ex tinguuntur.

9 Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς.

10 Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα.

11 Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι, Κύριε, κύριε, ἄνοιξον ἡμῖν.

12 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.

13 Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

14 Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ.

15 Καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν εὐθέως.

16 Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα.

17 Ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο.

18 Ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

19 Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λόγον.

20 Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς.

9 Responderunt autem prudentes, dicentes : Ne forte non sufficiat nobis, et vobis : ite autem potiùs ad vendentes, et emite vobis ipsis.

10 Abeuntibus autem illis mercari, venit sponsus : et expeditæ intraverunt cum eo ad nuptias, et clausa est janua.

11 Posteriùs verò veniunt et reliquæ virgines, dicentes : Domine, Domine, aperi nobis.

12 Ille verò respondens, ait : Amen dico vobis, non novi vos.

13 Vigilate itaque, quia nescitis diem neque horam, in quâ Filius hominis veniet.

14 Sicut enim homo peregrè proficiscens, vocavit proprios servos, et tradidit illis substantias suas :

15 Et huic quidem dedit quinque talenta, illi autem duo, illi verò unum : unicuique secundùm propriam facultatem · et peregrè profectus est statim.

16 Profectus autem quinque talenta accipiens, operatus est in eis, et fecit alia quinque talenta.

17 Similiter et qui duo, lucratus est et ipse alia duo.

18 Verùm unum accipiens, abiens fodit in terra, et abscondit pecuniam dominum sui.

19 Post verò tempus multum venit dominus servorum illorum, et confert rationem cum eis.

20 Et accedens quinque talenta accipiens, attulit alia quinque talenta, dicens : Domine, quinque talenta mihi tradidisti ecce alia quinque talenta lucratus sum super illis.

21 Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ· ἐπὶ ὀλίγα ἦς πιστος, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

22 Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπε· Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς.

23 Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

24 Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε· Κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας·

25 Καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν.

26 Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα·

27 Ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ.

28 Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα.

29 Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ.

30 Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

31 Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ

21 Ait verò illi dominus ejus: Benè, serve bone et fidelis, super pauca fuisti fidelis: super multa te constituam: ingredere in gaudium domini tui.

22 Accedens autem et qui duo talenta accipiens, dixit: Domine, duo talenta mihi tradidisti: ecce alia duo talenta lucratus sum super illis.

23 Ait illi dominus ejus: Benè, serve bone et fidelis: super pauca fuisti fidelis, super multa te constituam: ingredere in gaudium domini tui.

24 Accedens autem et unum talentum sumens, ait: Domine, scio te quia durus es homo, metens ubi non seminasti, et congregans unde non sparsisti:

25 Et timore perculsus, abi ens abscondi talentum tuum in terra: ecce habes tuum.

26 Respondens autem dominus ejus, dixit ei: Male serve et piger, sciebas quia meto ubi non seminavi, et congrego unde non sparsi.

27 Oportuit ergo te jacere argentum meum mensariis: et veniens ego recepissem utique meum cum usura.

28 Tollite itaque ab eo talentum, et date habenti decem talenta.

29 Nam habenti omni dabi tur, et augebitur: à verò non habente, et quod videtur habere, auferetur ab eo.

30 Et inutilem servum ejicite in tenebras exteriores: illic erit fletus et fremitus dentium

31 Quum autem venerit Fi lius hominis in gloriâ suâ, et

πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.

32 Καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφορίσει αὐτοὺς ἀπ' ἀλλήλων, ὡσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων.

33 Καὶ στήσει, τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.

34 Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

35 Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με·

36 Γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με.

37 Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν;

38 Πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν; ἢ γυμνὸν, καὶ περιεβάλομεν;

39 Πότε δέ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε;

40 Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

41 Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ·

omnes sancti angeli cum eo, tunc sedebit super thronum gloriæ suæ :

32 Et cogentur ante eum omnes gentes, et separabit eos ab invicem, sicut pastor segregat oves ab hœdis.

33 Et statuet quidem oves à dexteris suis, at hœdos à sinistris.

34 Tunc dicet rex his qui à dextris ejus : Venite benedicti Patris mei, possidete paratum vobis regnum à fundamento mundi.

35 Esurivi enim, et dedistis mihi manducare : sitivi, et potastis me : hospes eram, et collegistis me :

36 Nudus, et amicivistis me : ægrotavi, et visitastis me : in carcere eram, et venistis ad me.

37 Tunc respondebunt ei justi, dicentes : Domine, quando te vidimus esurientem, et aluimus ? vel sitientem, et potavimus ?

38 Quando autem te vidimus hospitem, et collegimus ? aut nudum, et amicivimus ?

39 Quando verò te vidimus infirmum, aut in carcera, et venimus ad te ?

40 Et respondens rex dicet illis : Amen dico vobis, quatenus fecistis uni horum fratrum meorum minimorum, mihi fecistis.

41 Tunc dicet et his qui à sinistris : Ite à me maledicti in ignem æternum, præparatum diabolo et angelis ejus

42 Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με.

43 Ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με.

44 Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι;

45 Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε.

46 Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

Κεφ. κϛ'. 26.

1 ΚΑὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ.

2 Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

3 Τότε συνήχθησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς, καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα.

4 Καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν κρατήσωσι δόλῳ, καὶ ἀποκτείνωσιν.

5 Ἔλεγον δὲ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.

6 Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ,

7 Προσῆλθεν αὐτῷ γυνὴ ἀλά-

42 Esurivi enim, et non dedistis mihi manducare sitivi, et non potastis me:

43 Hospes eram, et non collegistis me: nudus, et non amicivistis me: infirmus, et in carcere, et non visitastis me

44 Tunc respondebunt ei et ipsi, dicentes: Domine, quando te vidimus esurientem, aut sitientem, aut hospitem, aut nudum, aut infirmum, aut in carcere, et non ministravimus tibi?

45 Tunc respondebit illis, dicens: Amen dico vobis, quatenus non fecistis uni horum minimorum, nec mihi fecistis.

46 Et ibunt hi in supplicium æternum: at justi in vitam æternam.

CAPUT XXVI.

1 ET factum est, quum consummasset Jesus omnes sermones hos, dixit discipulis suis:

2 Scitis quia post duos dies Pascha fit, et Filius hominis traditur ut cruci affigatur.

3 Tunc congregati sunt principes Sacerdotum et Scribæ, et seniores populi in atrium principis Sacerdotum, dicti Caiaphas:

4 Et consultaverunt ut Jesum apprehenderent dolo, et occiderent.

5 Dicebant autem: Non in festo, ut ne tumultus fiat in populo.

6 At Jesu existente in Bethania, in domo Simonis leprosi,

7 Accessit ad eum mulier

βαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου.

8 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν, λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη ;

9 Ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς.

10 Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί κόπους παρέχετε τῇ γυναικί ; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ.

11 Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

12 Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν.

13 Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς.

14 Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς,

15 Εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν ; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.

16 Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

17 Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα ;

18 Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· Ὁ διδάσκαλος λέγει· Ὁ καιρός μου ἐγγύς ἐστιν, πρός σε ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.

19 Καὶ ἐποίησαν οἱ μαθηταὶ

alabastrum unguenti habens pretiosi, et effudit super caput ipsius recumbentis.

8 Videntes autem discipuli ejus, indignati sunt, dicentes : Ad quid perditio hæc ?

9 Potuit enim istud unguentum vænundari multo, et dari pauperibus.

10 Sciens autem Jesus, ait illis : quid molestias exhibetis mulieri ? opus enim bonum operata est in me.

11 Semper enim pauperes habetis cum vobis, me autem non semper habetis.

12 Jaciens autem hæc unguentum hoc in corpus meum, ad sepeliendum me fecit.

13 Amen dico vobis, ubicumque prædicatum fuerit euangelium hoc in toto mundo, dicetur et quod fecit hæc in memoriam ejus.

14 Tunc vadens unus duodecim, dictus Judas Iscariotes, ad principes Sacedotum,

15 Ait : Quid vultis mihi dare, et ego vobis tradam eum ? Illi verò constituerunt ei triginta argenteos.

16 Et exinde quærebat opportunitatem ut eum traderet.

17 At primâ Azymorum ac cesserunt discipuli Jesu, dicentes ei : Ubi vis paremus tibi comedere Pascha ?

18 Ille autem dixit : Ite in civitatem ad quendam, et dicite ei : Magister dicit : Tempus meum prope est, apud te facio Pascha cum discipulis meis.

19 Et fecerunt discipuli si

ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς· καὶ ἡτοίμασαν τὸ πάσχα.

20 Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα.

21 Καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

22 Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· Μήτι ἐγώ εἰμι, Κύριε ;

23 Ὁ δὲ ἀποκριθείς, εἶπεν· Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει.

24 Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' ἧς ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

25 Ἀποκριθεὶς δὲ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, εἶπε· Μήτι ἐγώ εἰμι, ῥαββί ; Λέγει αὐτῷ· Σὺ εἶπας.

26 Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου.

27 Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάντες·

28 Τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

29 Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.

30 Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

cut ordinaverat illis Jesus, et paraverunt Pascha

20 Vespere autem facto, discumbebat cum duodecim.

21 Et edentibus illis, dixit : Amen dico vobis, quia unus ex vobis traditurus est me.

22 Et contristati valdè, cœperunt dicere ei unusquisque eorum : Nunquid ego sum, Domine ?

23 Is verò respondens, ait : Intingene cum me in catino manum, hic me tradet.

24 Quidem filius hominis vadit, sicut scriptum est de illo : Væ autem homini illi, per quem Filius hominis tradetur : bonum erat ei, si non natus fuisset homo ille.

25 Respondens autem Judas, tradens eum, dixit : Nunquid ego sum, Rabbi ? Ait illi : Tu dixisti.

26 Edentibus autem eis, accipiens Jesus panem, et benedicens, fregit, et dedit discipulis, et ait : Accipite, comedite : Hoc est corpus meum.

27 Et accipiens calicem, et gratiis actis, dedit illis, dicens : Bibite ex hoc omnes.

28 Hic enim est sanguis meus qui novi testamenti, qui pro multis effusus in remissionem peccatorum.

29 Dico autem vobis, quod non bibam à modo de hoc genimine vitis, usque in diem illum, quum illud bibam cum vobis novum in regno Patris mei.

30 Et hymno dicto, exierunt in montem Olivarum

31 Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γὰρ· "Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης."

32 Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

33 Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι.

34 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.

35 Λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.

36 Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ· καὶ λέγει τοῖς μαθηταῖς, Καθίσατε αὐτοῦ, ἕως ἀπελθὼν προσεύξωμαι ἐκεῖ.

37 Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν.

38 Τότε λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ.

39 Καὶ προελθὼν μικρὸν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, προσευχόμενος, καὶ λέγων· Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

40 Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ· Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ;

41 Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ

31 Tunc dicit illis Jesus Omnes vos offendemini in me in nocte ista. Scriptum est enim: Percutiam pastorem, et dispergentur oves gregis.

32 Post autem excitari me, præcedam vos in Galilæam.

33 Respondens autem Petrus, ait illi: Si et omnes scandalizati fuerint in te, ego nunquam scandalizabor.

34 Ait illi Jesus: Amen dico tibi, quia in hac nocte, ante gallum vociferari, ter abnegabis me.

35 Ait illi Petrus: Etiam si oportuerit me cum te mori, non te negabo. Similiter et omnes discipuli dixerunt.

36 Tunc venit cum illis Jesus in villam dictam Gethsemani, et dicit discipulis: Sedete hic, usquequo vadens orem illic.

37 Et assumens Petrum, et duos filios Zebedæi, cœpit contristari et gravissimè angi.

38 Tunc ait illis: Undique tristis est anima mea usque ad mortem. Manete hic, et vigilate cum me.

39 Et progressus pusillum, procidit in faciem suam, orans, et dicens: Pater mi, si possibile est, transeat à me calix iste, veruntamen non sicut ego volo, sed sicut tu.

40 Et venit ad discipulos, et invenit eos dormientes: et dicit Petro: Sic non potuistis una hora vigilare cum me?

41 Vigilate et orate, ut non intretis in tentationem· Qui-

μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

42 Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο, λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου.

43 Καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι.

44 Καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.

45 Τότε ἔρχεται πρὸς τὲς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν, καὶ ἀναπαύεσθε· ἰδοὺ, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν.

46 Ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ, ἤγγικεν ὁ παραδιδούς με.

47 Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.

48 Ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν.

49 Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· Χαῖρε ῥαββεί. Καὶ κατεφίλησεν αὐτόν.

50 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει; Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.

51 Καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ· καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.

52 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς

dem spiritus promptus, verùm caro infirma.

42 Iterum ex secundo abiens oravit dicens: Pater mi, si non potest hic calix transire à me, si non illum bibam, fiat voluntas tua.

43 Et veniens invenit eos rursus dormientes: erant enim eorum oculi gravati.

44 Et relinquens illos, abiens iterum, oravit ex tertio, eundem sermonem dicens.

45 Tunc venit ad discipulos suos, et dicit illis: Dormite cæterum, et requiescite: ecce, appropinquavit hora, et Filius hominis tradetur in manus peccatorum.

46 Excitamini, eamus: ecce appropinquavit tradens me.

47 Et adhuc eo loquente, ecce Judas unus duodecim venit, et cum eo turba multa cum gladiis et lignis, à principibus Sacerdotum et senioribus populi.

48 At tradens eum, dedit illis signum, dicens: Quemcumque osculatus fuero, ipse est: prehendite eum.

49 Et confestim accedens ad Jesum, dixit: Gaude Rabbi Et osculatus est eum.

50 At Jesus ait illi, Amice, in quo ades? Tunc accedentes injecerunt manus in Jesum, et prehenderunt eum.

51 Et ecce unus eorum qui cum Jesu, extendens manum exemit gladium suum: et percutiens servum principis Sacerdotum, amputavit ejus auriculam.

52 Tunc ait illi Jesus, Con

Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται.

53 Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων ;

54 Πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ, ὅτι οὕτω δεῖ γενέσθαι ;

55 Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με.

56 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες, ἀφέντες αὐτὸν, ἔφυγον.

57 Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν.

58 Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως· καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος.

59 Οἱ δὲ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι, καὶ τὸ συνέδριον ὅλον ἐζήτων ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι·

60 Καὶ οὐχ εὗρον· καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες,

61 Εἶπον· Οὗτος ἔφη· Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.

verte tuum gladium in locum suum : omnes enim accipientes gladium, in gladio perìbunt.

53 An putas quia non possum nunc advocare Patrem meum, et exhibebit mihi plus quàm duodecim legiones angelorum ?

54 Quomodo ergo implebuntur Scripturæ, quia sic oportet fieri ?

55 In illa hora dixit Jesus turbis : Tanquam ad latronem existis cum gladiis et lignis, comprehendere me : quotidie apud vos sedebam docens in templo, et non prehendistis me

56 Hoc autem totum factum est, ut adimplerentur Scripturæ Prophetarum. Tunc discipuli omnes relicto eo, fugerunt.

57 Illi verò tenentes Jesum, adduxerunt ad Caiapham principem Sacerdotum, ubi Scribæ, et seniores convenerant.

58 At Petrus sequebatur eum à longè, usque aulam principis Sacerdotum : et ingressus intro, sedebat cum ministris, videre finem.

59 At principes Sacerdotum, et seniores, et confessus omnis quærebant falsum testimonium contra Jesum, ut eum morte afficerent :

60 Et non invenerunt, et multis falsis testibus accedentibus, non invenerunt. Postrèmo autem advenientes duo falsi testes.

61 Dixerunt : Hic effatus est : Possum dissolvere templum Dei, et per tres dies reædificare illud.

62 Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ· Οὐδὲν ἀποκρίνῃ ; τί οὗτοί σου καταμαρτυροῦσιν ;

63 Ὁ δὲ Ἰησοῦς ἐσιώπα· Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ.

64 Λέγει αὐτῷ ὁ Ἰησοῦς, Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

65 Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· Ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων ; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ.

66 Τί ὑμῖν δοκεῖ ; Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί.

67 Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐῤῥάπισαν,

68 Λέγοντες· Προφήτευσον ἡμῖν Χριστὲ, τίς ἐστὶν ὁ παίσας σε.

69 Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου.

70 Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· Οὐκ οἶδα τί λέγεις.

71 Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη· καὶ λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου.

72 Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.

73 Μετὰ μικρὸν δὲ προσελθόν-

62 Et surgens principes Sacerdotum, ait illi : Nihil respondens quid isti te contra testificantur ?

63 At Jesus tacebat : Et respondens princeps Sacerdotum, ait illi : Adjuro te per Deum vivum, ut nobis dicas si tu es Christus filius Dei.

64 Dicit illi Jesus : Tu dixisti. verumtamen dico vobis, à modo videbitis Filium hominis sedentem à dextris efficacitatis, et venientem in nubibus cæli.

65 Tunc princeps Sacerdotum disrupit vestimenta sua, dicens, quod blasphemavit, quid adhuc usum habemus testium ? Ecce, nunc audistis blasphemiam ejus.

66 Quid vobis videtur ? Illi verò respondentes dixerunt, Reus mortis est.

67 Tunc inspuerunt in faciem ejus, et colaphizaverunt eum · alii autem percusserunt,

68 Dicentes : Prophetiza nobis Christe, quis est percutiens te ?

69 At Petrus foris sedebat in atrio : et accessit ad eum una ancilla, dicens : Et tu eras eum Jesu Galilæo.

70 Ille verò negavit coram omnibus, dicens : Nescio quid dicis.

71 Exeuntem autem illum in vestibulum, vidit eum alia, et ait his qui ibi : Et hic erat cum Jesu Nazareno.

72 Et iterum negavit cum juramento, quia non novi hominem.

73 Post paulum autem acce-

τες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ.

74 Τότε ἤρξατο καταναθεματίζειν, καὶ ὀμνύειν· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε.

75 Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ, εἰρηκότος αὐτῷ· Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

dentes stantes, dixerunt Petro Verè et tu ex illis es: etenim loquutio tua manifestum te facit.

74 Tunc cœpit devovere et jurare, quia non novi hominem. Et continuò gallus vociferatus est.

75 Et recordatus est Petrus verbi Jesu, dicentis ei: Quod ante gallum vociferari, ter abnegabis me. Et egressus foras, flevit amare.

Κεφ. κζ'. 27.

1 Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν.

2 Καὶ δήσαντες αὐτὸν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

3 Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατεκρίθη, μεταμεληθεὶς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι, καὶ τοῖς πρεσβυτέροις.

4 Λέγων· Ἥμαρτον, παραδοὺς αἷμα ἀθῶον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; σὺ ὄψει.

5 Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε· καὶ ἀπελθὼν, ἀπήγξατο.

6 Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν· ἐπεὶ τιμὴ αἵματός ἐστι.

7 Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς ξένοις.

8 Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον.

CAPUT XXVII.

1 MANE autem facto, consilium sumpserunt omnes principes Sacerdotum et seniores populi adversus Jesum, ut morti traderent eum.

2 Et ligantes eum, abduxerunt, et tradiderunt eum Pontio Pilato præsidi.

3 Tunc videns Judas qui tradens [fuit] eum, quod damnatus esset, pœnitens, retulit triginta argenteos principibus Sacerdotum, et senioribus.

4 Dicens, Peccavi, tradens sanguinem innoxium. Illi verò dixerunt, Quid ad nos? tu videris.

5 Et projiciens argenteos in templo, recessit: et abiens se strangulavit.

6 At principes Sacerdotum accipientes argenteos, dixerunt: Non licet injicere ees in corbanam: quia pretium sanguinis est.

7 Consilium autem sumentes mercati sunt ex illis agrum singuli in sepulturam peregrinis.

8 Quapropter vocatus est ager ille, Ager sanguinis, usque hodie.

9 Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου, λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ·

9 Tunc impletum est effatum per Jeremiam Prophetam, dicentem: Et acceperunt triginta argenteos, pretium appretiati, quem appretiaverunt à filiis Israël

10 Καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.

10 Et dederunt eos in agrum figuli, sicut constituit mihi Dominus.

11 Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμών, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις.

11 At Jesus stetit ante præsidem, et interrogavit eum præses, dicens: Tu es rex Judæorum? At Jesus dixit illi: Tu dicis.

12 Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο.

12 Et in accusari ipsum à principibus Sacerdotum et senioribus, nihil respondit.

13 Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι.

13 Tunc dicit illi Pilatus: Non audis quanta te contra testantur?

14 Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

14 Et non respondit ei ad ullum verbum: ita ut mirari præsidem vehementer.

15 Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον.

15 Per autem festum consueverat præses absolvere unum vinctum turbæ, quem voluissent.

16 Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν.

16 Habebant autem tunc vinctum insignem, dictum Barabbam.

17 Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;

17 Coactis ergo illis, dixit illis Pilatus: Quem vultis absolvam vobis? Barabbam, an Jesum dictum Christum?

18 Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

18 Sciebat enim quod per invidiam tradidissent eum.

19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

19 Sedente autem illo super tribunali, misit ad eum uxor ejus, dicens: Nihil tibi et justo illi: multa enim passa sum hodie per somnium propter eum.

20 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν.

20 At principes Sacerdotum et seniores persuaserunt turbis, ut peterent Barabbam, at Jesum perderent.

21 Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν.

22 Λέγει αὐτοῖς ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Λέγουσιν ὡπτῷ πάντες· Σταυρωθήτω.

23 Ὁ δὲ ἡγεμὼν ἔφη. Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες· Σταυρωθήτω.

24 Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ, ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε.

25 Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

26 Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.

27 Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος, παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν.

28 Καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην.

29 Καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.

30 Καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

31 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ

21 Respondens autem præses, ait illis: Quem vultis de duobus absolvam vobis? Illi verò dixerunt: Barabbam.

22 Dicit ergo illis Pilatus Quid igitur faciam Jesum dictum Christum? dicunt ei omnes: Crucifigatur.

23 At præses ait: Quid enim mali fecit? Illi autem magis clamabant, dicentes: Crucifigatur.

24 Videns autem Pilatus quia nihil proficeret, sed magis tumultus fieret, sumens aquam, lavit manus coram turba, dicens: Innocens sum à sanguine justi hujus: vos videritis.

25 Et respondens universus populus dixit: Sanguis ejus super nos, et super natos nostros.

26 Tunc absolvit illis Barabbam: At Jesum flagellans, tradidit ut crucifigeretur.

27 Tunc milites præsidis assumentes Jesum in prætorium, coëgerunt ad eum universam cohortem.

28 Et exuentes eum, circumdederunt ei chlamydem coccineam:

29 Et plectentes coronam de spinis, imposuerunt super caput ejus, et arundinem in dextera ejus: et genu flectentes ante eum, illudebant ei, dicentes: Gaude rex Judæorum.

30 Et inspuentes in eum, ac ceperunt arundinem, et percutiebant in caput ejus.

31 Et postquam illuserunt ei, exuerunt eum chlamydem, et induerunt eum vestimentis

καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι.

32 Ἐξερχόμενοι δὲ, εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

33 Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος κρανίου τόπος,

24 Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος· οὐκ ἤθελε πιεῖν.

35 Σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· "Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον."

36 Καὶ καθήμενοι, ἐτήρουν αὐτὸν ἐκεῖ.

37 Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· ΟΥ͂ΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥ͂Σ Ο ΒΑΣΙΛΕΥ͂Σ ΤΩ͂Ν ΙΟΥΔΑΙΩ͂Ν.

38 Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων.

39 Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν,

40 Καὶ λέγοντες. Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

41 Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων, καὶ φαρισαίων, ἔλεγον·

42 Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ.

ejus: et abduxerunt eum ad crucifigendum.

32 Exeuntes autem invenerunt hominem Cyrenæum, nomine Simonem: hunc angariaverunt, ut tolleret crucem ejus.

33 Et venientes in locum dictum Golgotha, qui est dictus calvariæ locus.

34 Dederunt ei bibere acetum cum felle mixtum, et gustans noluit bibere.

35 Crucifigentes verò eum, diviserunt vestimenta ejus, jacientes fortem: ut impleretur effatum à Propheta: Dispertiti sunt vestimenta mea sibi ipsis, et super vestem meam jecerunt sortem.

36 Et sedentes servabant eum illic.

37 Et imposuerunt super caput ejus causam ipsius scriptam: HIC EST JESUS REX JUDÆORUM.

38 Tunc crucifixi sunt cum eo duo latrones, unus à dexteris, et unus à sinistris.

39 At prætereuntes blasphemabant eum, moventes capita sua.

40 Et dicentes: Dissolvens templum, et in tribus diebus ædificans, serva teipsum. Si filius es Dei, descende de cruce

41 Similiter verò et principes Sacerdotum illudentes cum Scribis, et senioribus, dicebant

42 Alios servavit, seipsum non potest servare: Si rex Israël est, descendat nunc de cruce, et credemus ei.

43 Πέποιθεν ἐπὶ τὸν Θεὸν· ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν. εἶπε γὰρ· Ὅτι Θεοῦ εἰμι υἱός.

44 Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ, οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ.

45 Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης.

46 Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἠλὶ, Ἠλὶ, λαμὰ σαβαχθανί ; τοῦτ' ἔστι, Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλιπες ;

47 Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον· Ὅτι Ἠλίαν φωνεῖ ἕτος.

48 Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν.

49 Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

50 Ὁ δὲ Ἰησοῦς, πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα.

51 Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν.

52 Καὶ τὰ μνημεῖα ἀνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη·

53 Καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς.

54 Ὁ δὲ ἑκατόνταρχος, καὶ οἱ μετ' αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν, καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος.

55 Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι· αἵ-

43 Confidit in Deo, liberet nunc eum, si vult eum ; dixit enim : Quia Dei sum filius.

44 Id verò ipsum et latrones concrucifixi ipsi, exprobrabant ei.

45 A autem sexta hora tenebræ factæ sunt super universam terram, usque horam nonam.

46 Circa verò nonam horam clamavit Jesus voce magna, dicens : Eli, Eli, lama sabacthani ? hoc est, Deus meus, Deus meus, ut quid me dereliquisti ?

47 Quidam autem illic stantium, audientes, dicebant, Quod Eliam vocat iste.

48 Et continuò currens unus ex eis, et accipiens spongiam, implensque aceti, et circumponens arundini potabat eum

49 Verùm cæteri dicebant Sine, videamus an veniat Elias liberaturus eum.

50 At Jesus iterum clamans voce magna, emisit spiritum.

51 Et ecce interexpansum templi fissum est in duo, à sursum usque deorsum : et terra mota est, et petræ fissæ sunt.

52 Et monumenta aperta sunt : et multa corpora dormientium sanctorum excitata sunt.

53 Et exeuntes de monumentis post excitationem ejus, venerunt in sanctam civitatem et apparuerunt multis

54 At Centurio, et qui cum eo servantes Jesum, videntes terræmotum, et facte timuerunt valde, dicentes : Verè Dei filius erat iste.

55 Erant autem ibi mulieres multæ à longè spectantes, quæ

τινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ.

56 Ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβε καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

57 Ὀψίας δὲ γενομένης· ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τὄνομα Ἰωσὴφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ.

58 Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα.

59 Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ,

60 Καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν.

61 Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

62 Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς Πιλάτον,

63 Λέγοντες· Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.

64 Κέλευσον ἓν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ· Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης.

65 Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος, Ἔχετε κουστωδίαν, ὑπάγετε· ἀσφαλίσασθε ὡς οἴδατε.

sequutæ erant Jesum à Galilæa, ministrantes ei ·

56 In quibus erat Maria Magdalene, et Maria Jacobi et Jose mater, et mater filiorum Zebedæi.

57 Sero autem facto, venit homo dives ab Arimathæa, nomine Joseph, qui et ipse discipulus erat Jesu.

58 Hic accedens Pilato, petiit corpus Jesu. Tunc Pilatus jussit reddi corpus

59 Et accipiens corpus Joseph involvit illud sindone mundâ.

60 Et posuit illud in novo suo monumento, quod exciderat in petra : et advolvens lapidem magnum ostio monumenti abiit.

61 Erat autem ibi Maria Magdalene, et altera Maria sedentes contra sepulchrum.

62 Verùm posterà die, quæ est post Parasceven, coacti sunt principes Sacerdotum et Pharisæi ad Pilatum,

63 Dicentes : Domine, meminimus quia ille seductor dixit adhuc vivens : Post tres dies excitor.

64 Jube ergo muniri sepulchrum, usque in tertium diem : ne quando venientes discipuli ejus nocte, furentur eum, et dicant plebi : Excitatus est à mortuis : et erit novissimus error pejor priore.

65 Ait vero illis Pilatus, Habetis custodiam : abite, munite sicut scitis

66 Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

Κεφ. κή'. 28.

1 Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον.

2 Καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ.

3 Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών.

4 Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί.

5 Ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε.

6 Οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ καθὼς εἶπε· δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος.

7 Καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδοὺ, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· Ἰδοὺ, εἶπον ὑμῖν.

8 Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.

9 Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ, ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ.

10 Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς, Μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγγεί-

66 Illi autem abeuntes munierunt sepulchrum, signantes lapidem cum custodia.

CAPUT XXVIII.

1 VESPERE autem Sabbatorum lucescenti in unam Sabbatorum, venit Maria Magdalene, et altera Maria, spectare sepulchrum.

2 Et ecce terræmotus factus est magnus: Angelus enim Domini descendens de cælo, accedens revolvit lapidem ab ostio, et sedebat super eum.

3 Erat autem aspectus ejus sicut fulgur, et vestimentum ejus candidum sicut nix.

4 Præ autem timore ejus concussi sunt servantes, et facti sunt velut mortui.

5 Respondens autem angelus, dixit mulieribus: Ne metuite vos: scio enim quod Jesum crucifixum quæritis:

6 Non est hic: Excitatus est enim, sicut dixit. venite, videte locum ubi jacebat Dominus.

7 Et citò euntes dicite discipulis ejus, quia surrexit à mortuis: et ecce præit vos in Galilæam: ibi eum videbitis. ecce dixi vobis.

8 Et exeuntes cito de monumento cum timore et gaudio magno, cucurrerunt nunciare discipulis ejus.

9 Quum autem irent renunciare discipulis ejus, et ecce Jesus occurrit illis, dicens: Gaudete. Illæ autem accedentes, prehenderunt ejus pedes, et adoraverunt eum.

10 Tunc ait illis Jesus: Ne timete: ite, nunciate fratribus

λατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται.

11 Πορευομένων δὲ αὐτῶν, ἰδοὺ, τινὲς τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.

12 Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις,

13 Λέγοντες· Εἴπατε, Ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.

14 Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν.

15 Οἱ δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.

16 Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος ὅ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς.

17 Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν.

18 Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς.

19 Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτὸς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος·

20 Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

meis, ut abeant in Galilæam, et ibi me videbunt

11 Euntibus autem illis, ecce quidam custodiæ venientes in urbem, nunciaverunt principibus Sacerdotum omnia facta.

12 Et congregati cum senioribus, consiliumque accipientes, argenteos sufficientes dederunt militibus,

13 Dicentes : Dicite quia discipuli ejus nocte venientes furati sunt eum nobis dormientibus

14 Et si auditum fuerit hoc à præside, nos suadebimus ei, et vos securos faciemus.

15 Illi autem accipientes argenteos, fecerunt sicut erant edocti, et divulgatum est verbum istud apud Judæos, usque hodie.

16 At undecim discipuli profecti sunt in Galilæam in montem ubi constituerat illis Jesus.

17 Et videntes eum adoraverunt eum : quidam autem dubitaverunt.

18 Et accedens Jesus loquutus est eis, dicens : Data est mihi omnis auctoritas in cælo, et in terra.

19 Euntes ergo docete omnes gentes, baptizantes eos in nomen Patris, et Filii, et sancti Spiritus :

20 Docentes eos servare omnia quæcumque mandavi vobis Et ecce ego cum vobis sum omnes dies, usque ad consummationem sæculi. Amen

ΤΟ ΚΑΤΑ

ΜΑΡΚΟΝ

ΕΥΑΓΓΕΛΙΟΝ

Κεφ. ά. 1.

1 Ἀ'ΡΧΗ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ.

2 Ὡς γέγραπται ἐν τοῖς προφήταις· "Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου·

3 Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ."

4 Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

5 Καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

6 Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον.

7 Καὶ ἐκήρυσσε, λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.

8 Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ.

9 Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζα-

EUANGELIUM

SECUNDUM

MARCUM.

CAPUT I.

1 INITIUM Euangelii Jesu Christi Filii Dei.

2 Sicut scriptum est in Prophetis: Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te.

3 Vox clamantis in deserto: Parate viam Domini, rectas facite semitas ejus.

4 Fuit Joannes baptizans in deserto, et prædicans baptismum pœnitentiæ in remissionem peccatorum.

5 Et egrediebatur ad eum omnis Judæa regio, et Hierosolymitæ: et baptizabantur omnes in Jordane flumine ab illo confitentes peccata sua.

6 Erat autem Joannes vestitus pilis cameli, et zonam coriaceam circa lumbos ejus et edens locustas et mel silvestre.

7 Et prædicabat, dicens Venit fortior me post me, cujus non sum dignus curvatus solvere corrigiam calceamentorum ejus.

8 Ego quidem baptizavi vos in aqua: illa verò baptizabit vos in Spiritu sancto.

9 Et factum est in illis diebus, venit Jesus à Nazaret Ga-

ρὲτ τῆς Γαλ λαίας, καὶ εβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην.

10 Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανοὺς, ϗ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν.

11 Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

12 Καὶ εὐθέως τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον.

13 Καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα, πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ· καὶ ἦν μετὰ τῶν θηρίων· καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ.

14 Μετὰ δὲ τὸ παραδοθῆναι Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ Θεοῦ,

15 Καὶ λέγων· Ὅτι πεπλήρωται ὁ καιρὸς, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ· μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.

16 Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ τοῦ Σίμωνος, βάλλοντας ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ· ἦσαν γὰρ ἁλιεῖς.

17 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων.

18 Καὶ εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

19 Καὶ προβὰς ἐκεῖθεν ὀλίγον, εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα.

20 Καὶ εὐθέως ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ.

21 Καὶ εἰσπορεύονται εἰς Καλιλææ, et baptizatus est à Joanne in Jordane

10 Et statim ascendens de aqua, vidit scissos cælos, et Spiritum tanquam columbam descendentem super eum.

11 Et vox facta est de cælis: Tu es filius meus dilectus, in quo complacui

12 Et statim spiritus eum ejicit in desertum.

13 Et erat illic in deserto dies quadraginta, tentatus à Satana. Et erat cum feris: et angeli ministrabant illi.

14 Post autem traditum esse Joannem, venit Jesus in Galilæam, prædicans Euangelium regni Dei:

15 Et dicens: Quoniam impletum est tempus, et appropinquavit regnum Dei: pœnitemini, et credite in Euangelio.

16 Deambulans autem juxta mare Galilææ, vidit Simonem et Andream fratrem ejus mittentes verriculum in mari · erant enim piscatores.

17 Et dixit eis Jesus: Venite post me, et faciam vos fieri piscatores hominum.

18 Et protinus relinquentes retia sua, sequuti sunt eum.

19 Et progressus inde pusillum, vidit Jacobum Zebedæi, et Joannem fratrem ejus et ipsos in navigio componentes retia.

20 Et statim vocavit illos: Et relinquentes patrem suum Zebedæum in navigio cum mercenariis, abierunt post eum.

21 Et ingrediuntur in Caper

παρναούμ· καὶ εὐθέως τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγὴν, ἐδίδασκε.

22 Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

23 Καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ καὶ ἀνέκραξε,

24 Λέγων Ἔα, τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.

25 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ.

26 Καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ.

27 Καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐτοὺς, λέγοντας· Τί ἐστὶ τοῦτο; τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξουσίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ;

28 Ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

29 Καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώβου καὶ Ἰωάννου.

30 Ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα· καὶ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς.

31 Καὶ προσελθὼν ἤγειρεν αὐτην, κρατήσας τῆς χειρὸς αὐτῆς· καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως· καὶ διηκόνει αὐτοῖς

32 Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας, καὶ τοὺς δαιμονιζομένους.

naum: et statim Sabbatis ingressus in synagogam, docebat

22 Et percellebantur super doctrina ejus: Erat enim docens eos quasi auctoritatem habens, et non sicut Scribæ.

23 Et erat in synagoga eorum homo in spiritu immundo, et exclamavit,

24 Dicens: Ah, Quid nobis et tibi Jesu Nazarene? venisti perdere nos? novi te qui es, sanctus Dei.

25 Et comminatus est ei Jesus, dicens· Obmutesce, et exi ex eo.

26 Et discerpens eum spiritus immundus, et exclamans voce magnâ, exiit ab eo.

27 Et expaverunt omnes, ita ut conquirerent apud seipsos, dicentes: Quid est hoc? quæ doctrina nova hæc, quia per auctoritatem et spiritibus immundis imperat, et obediunt ei?

28 Exiit autem fama ejus statim in omnem regionem Galilææ.

29 Et protinus ex synagoga egredientes, venerunt in domum Simonis et Andreæ, cum Jacobo et Joanne.

30 At socrus Simonis decumbebat febricitans: et statim dicunt ei de illa.

31 Et accedens excitavit eam, apprehendens manum ejus: et dimisit eam febris continuò: et ministrabat eis.

32 Vespere autem facto, quum occidisset Sol, afferebant ad eum omnes malè habentes et dæmoniacos.

33 Καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς τὴν θύραν.

34 Καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις· καὶ δαιμόνια πολλὰ ἐξέβαλε, καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ἤδεισαν αὐτόν.

35 Καὶ πρωῒ ἔννυχον λίαν ἀναστὰς, ἐξῆλθε· καὶ ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο.

36 Καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ' αὐτοῦ.

37 Καὶ εὑρόντες αὐτὸν, λέγουσιν αὐτῷ· Ὅτι πάντες ζητοῦσί σε.

38 Καὶ λέγει αὐτοῖς· Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα.

39 Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων.

40 Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ· Ὅτι, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

41 Ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ, Θέλω, καθαρίσθητι.

42 Καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη.

43 Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτὸν·

44 Καὶ λέγει αὐτῷ· Ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς.

45 Ὁ δὲ ἐξελθὼν ἤρξατο κη-

33 Et civitas tota coacta erat ad januam.

34 Et curavit multos, malè habentes variis morbis: et dæmonia multa ejiciebat: et non sinebat loqui dæmonia, quod nossent eum.

35 Et mane noctu valdè surgens egressus est, et abiit Jesus in desertum locum, ibique orabat.

36 Et prosequuti sunt eum Simon et qui cum illo.

37 Et invenientes eum, dicunt ei: Quia omnes quærunt te.

38 Et ait illis: Eamus in contigua oppidula, ut et ibi prædicem: ad hoc enim egressus sum.

39 Et erat prædicans in synagogis eorum, in omnem Galilæam, et dæmonia ejiciens.

40 Et venit ad eum leprosus deprecans eum, et genupetens eum, et dicens ei: Quod si velis, potes me mundare.

41 At Jesus visceribus commotus, extendens manum, tetigit eum, et ait illi: Volo, mundare.

42 Et dicente eo, statim, discessit ab eo lepra, et mundatus est.

43 Et comminatus ei, statim ejecit illum.

44 Et dicit ei: Vide nemini dixeris: sed vade, teipsum ostende Sacerdoti, et offer pro emundatione tua quæ præcepit Moyses, in testimonium illis.

45 Ille verò egressus cœpit

ρύσσειν πολλὰ, καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν· ἀλλ' ἔξω ἐν ἐρήμοις τόποις ἦν, καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

prædicare multa, et diffamare sermonem, ita ut non ampliùs ipsum posse manifestè in civitatem introire, sed foris in desertis locis erat, et conveniebant ad eum undique.

Κεφ. β'. 2.

1 Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναοὺμ δι' ἡμερῶν, καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι.

2 Καὶ εὐθέως συνήχθησαν πολλοί· ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον.

3 Καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων.

4 Καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν· καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο.

5 Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ, Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

6 Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν·

7 Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός;

8 Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτω διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;

9 Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειραι, καὶ ἆρόν σου τὸν κράβαττον, καὶ περιπάτει;

10 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι

CAPUT II.

1 ET iterum intravit in Capernaum per dies: et auditum est quod in domum esset.

2 Et confestim coacti sunt multi, ut non ampliùs capere neque quæ ad januam: et loquebatur eis verbum.

3 Et veniunt ad eum, paralyticum ferentes, sublatum à quatuor.

4 Et non valentes appropinquare ei propter turbam, detexerunt tectum ubi erat, et perfodientes submiserunt grabatum, in quo paralyticus jacebat.

5 Videns autem Jesus fidem illorum, ait paralytico: Fili, dimittuntur tibi peccata tua.

6 Erant autem quidam Scribarum illic sedentes, et ratiocinantes in cordibus suis:

7 Quid hic sic loquitur blasphemias? Quis potest dimittere peccata, si non unus Deus?

8 Et statim agnoscens Jesus spiritu suo, quia sic ratiocinantur in seipsis, dixit illis: Quid ista ratiocinamini in cordibus vestris?

9 Quid est facilius, dicere paralytico: Dimittuntur tibi peccata: an dicere: Surge, et tolle tuum grabatum, et deambula?

10 U autem sciatis quia auctoritatem habet Filius hominis

ἐπὶ τῆς γῆς ἁμαρτίας, λέγει τῷ παραλυτικῷ

11 Σοὶ λέγω, ἔγειραι, καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

12 Καὶ ἠγέρθη εὐθέως, καὶ ἆρας τὸν κράββατον, ἐξῆλθεν ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν Θεὸν, λέγοντας· Ὅτι οὐδέποτε ἔτως εἴδομεν.

13 Καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτὸν, καὶ ἐδίδασκεν αὐτούς.

14 Καὶ παράγων εἶδε Λευῖν τὸν τοῦ Ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.

15 Καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ, καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοὶ, καὶ ἠκολούθησαν αὐτῷ.

16 Καὶ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Τί, ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει ;

17 Καὶ ἀκούσας ὁ Ἰησοῦς, λέγει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

18 Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου, καὶ οἱ τῶν φαρισαίων νηστεύοντες· καὶ ἔρχονται, καὶ λέγουσιν αὐτῷ· Διατί οἱ μαθηταὶ Ἰωάννου, καὶ οἱ τῶν φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι ;

19 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς·

dimittendi in terra peccata : ait paralytico :

11 Tibi dico, Surge, et tolle grabatum tuum, et vade in domum tuam.

12 Et statim surrexit, et tollens grabatum, egressus est coram omnibus : ita ut obstupescere omnes, et glorificare Deum, dicentes : Quia nunquam sic vidimus.

13 Et egressus est rursus secus mare : et omnis turba veniebat ad eum, et docebat eos.

14 Et prætergrediens vidit Levi Alphæi, sedentem ad telonium : et ait illi : Sequere me : Et surgens sequutus est eum.

15 Et factum est in accumbere ipsum in domo illius, et multi publicani et peccatores simul discumbebant Jesu, et discipulis ejus : erant enim multi, et sequebantur eum.

16 Et Scribæ et Pharisæi videntes eum edentem cum publicanis et peccatoribus, dicebant discipulis ejus : Quid, quod cum publicanis et peccatoribus manducat et bibit ?

17 Et audiens Jesus, ait illis : Non usum habent valentes me dico, sed malè habentes, non veni vocare justos, sed peccatores ad pœnitentiam.

18 Et erant discipuli Joannis, et illi Pharisæorum jejunantes : et veniunt, et dicunt illi : Quare discipuli Joannis, et illi Pharisæorum jejunant : at tui discipuli non jejunant ?

19 Et ait illis Jesus : Num

Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, νηστεύειν ; ὅσον χρόνον μεθ' ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν·

20 Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

21 Καὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιῤῥάπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μὴ αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται.

22 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον.

23 Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας.

24 Καὶ οἱ φαρισαῖοι ἔλεγον αὐτῷ, Ἴδε, τί ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ ἔξεστι ;

25 Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαβὶδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ;

26 Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ Ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, ἃς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι ;

27 Καὶ ἔλεγεν αὐτοῖς· Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον·

28 Ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

possunt filii nuptiarum, in quo sponsus cum illis est, jejunare ? Quantum tempus cum seipsis habent sponsum, non possunt jejunare.

20 Veniet autem dies, quum auferetur ab eis sponsus, et tunc jejunabunt in illis diebus

21 Et nemo additamentum panni impoliti assuit in vestimento veteri : si verò non, aufert supplementum ipsius novum veteris, et pejor scissura fit.

22 Et nemo injicit vinum novum in utres veteres : si verò non, dirumpit vinum novum utres, et vinum effunditur, et utres pereunt : sed vinum novum in utres novos injiciendum.

23 Et factum est prætervadere eum in Sabbatis per sata, et cœperunt discipuli ejus iter facere vellentes spicas.

24 Et Pharisæi dicebant ei · Ecce quid faciunt in Sabbatis quod non licet ?

25 Et ipse ait illis : Nunquam legistis quid fecerit David, quando usum habuit, et esuriit ipse, et qui cum eo ?

26 Quomodo introivit in domum Dei sub Abiathar principe Sacerdotum, et panes propositionis manducavit, quos non licet manducare si non Sacerdotibus, et dedit et iis cum eo existentibus ?

27 Et dicebat eis : Sabbatum propter hominem factum est, non homo propter Sabbatum.

28 Itaque Dominus est Filius hominis et Sabbati.

Κεφ. γ'. 3.

1 Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα.

2 Καὶ παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτὸν, ἵνα κατηγορήσωσιν αὐτοῦ.

3 Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· Ἔγειραι εἰς τὸ μέσον.

4 Καὶ λέγει αὐτοῖς· Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων.

5 Καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου· καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

6 Καὶ ἐξελθόντες οἱ φαρισαῖοι εὐθέως μετὰ τῶν Ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι.

7 Καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν· καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησαν αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας,

8 Καὶ ἀπὸ Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορδάνου· καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν.

9 Καὶ εἶπε τοῖς μαθηταῖς αὐτῆ, ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν.

10 Πολλοὺς γὰρ ἐθεράπευσεν· ὥστε ἐπιπίπτειν αὐτῷ, ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας.

11 Καὶ τὰ πνεύματα τὰ ἀκά-

CAPUT III.

1 ET introivit iterum in synagogam, et erat ibi homo arefactam habens manum

2 Et observabant eum si Sabbatis curaret eum, ut accusarent illum.

3 Et ait homini arefactam habenti manum: Surge in medium.

4 Et dicit eis: Licet Sabbatis benefacere, an malefacere? animam servare, an perdere? Illi verò tacebant.

5 Et circumspiciens eos cum ira, contristatus super callo cordis eorum, dicit homini: Extende manum tuam: Et extendit, et restituta est manus illius sana ut altera.

6 Et exeuntes Pharisæi, statim cum Herodianis consilium faciebant adversus eum. ut eum perderent.

7 Et Jesus secessit cum discipulis suis ad mare: et multa turba à Galilæa sequuta est eum, et à Judæa,

8 Et ab Hierosolymis, et ab Idumæa, et trans Jordanem, et qui circa Tyrum et Sidonem, multitudo magna, audientes quæ faciebat, venerunt ad eum.

9 Et dixit discipulis suis, ut navicula adsisteret sibi, propter turbam, ut ne comprimerent eum.

10 Multos enim sanaverat, ita ut irruere ei, ut illum tangerent, quotquot habebant flagella

11 Et spiritus immundi quum

δαρτα, ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ ἔκραζε, λέγοντα· Ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ.

12 Καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσι.

13 Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν.

14 Καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν,

15 Καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους, καὶ ἐκβάλλειν τὰ δαιμόνια.

16 Καὶ ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον·

17 Καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργές, ὅ ἐστιν, υἱοὶ βροντῆς.

18 Καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην,

19 Καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν· καὶ ἔρχονται εἰς οἶκον.

20 Καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.

21 Καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλεγον γάρ· Ὅτι ἐξέστη.

22 Καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες, ἔλεγον· Ὅτι Βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

23 Καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς·

illum spectabant, accedebant ei et clamabant, dicentes : Quod tu es filius Dei.

12 Et multa comminabatur eis, ut ne manifestum illum facerent.

13 Et adscendit in montem, et advocat quos voluit ipse : et venerunt ad eum.

14 Et fecit duodecim, ut essent cum illo, et ut mitteret eos prædicare

15 Et habere auctoritatem curare infirmitates, et ejicere dæmonia.

16 Et imposuit Simoni nomen Petrum :

17 Et Jacobum Zebedæi, et Joannem fratrem Jacobi : et imposuit eis nomina Boanerges, quod est, Filii tonitrui :

18 Et Andream, et Philippum, et Bartholomæum, et Matthæum, et Thomam, et Jacobum Alphæi, et Thaddæum, et Simonem Cananitem :

19 Et Judam Iscariotem, qui et tradidit illum : et veniunt ad domum

20 Et convenit iterum turba, ita ut non posse ipsos neque panem manducare.

21 Et audientes qui ad ipsum, exierunt prehendere eum: dicebant enim, Quod extra se esset.

22 Et Scribæ qui ab Hierosolymis descendentes, dicebant : Quoniam Beelzebul habet, et quia in principe dæmoniorum ejicit dæmonia.

23 Et advocans eos, in parabolis dicebat illis : Quo

Πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν ;

24 Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη·

25 Καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη·

26 Καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει.

27 Οὐ δύναται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ· καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.

28 Ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι ὅσας ἂν βλασφημήσωσιν·

29 Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως.

30 Ὅτι ἔλεγον· Πνεῦμα ἀκάθαρτον ἔχει.

31 Ἔρχονται οὖν ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ, καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν, φωνοῦντες αὐτόν.

32 Καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν· εἶπον δὲ αὐτῷ, Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου καὶ αἱ ἀδελφαί σου ἔξω ζητοῦσί σε.

33 Καὶ ἀπεκρίθη αὐτοῖς, λέγων: Τίς ἐστὶν ἡ μήτηρ μου, ἢ οἱ ἀδελφοί μου ;

34 Καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν καθημένους λέγει· Ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου.

35 Ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου, καὶ ἀδελφή μου, καὶ μήτηρ ἐστί.

modo potest satanas satanam ejicere ?

24 Et si regnum in seipsum dividatur, non potest stare regnum illud :

25 Et si domus super semetipsam dispertiatur, non potest stare domus illa :

26 Et si satanas consurrexerit in semetipsum, dispertitus est, non potest stare, sed finem habet.

27 Nemo potest vasa fortis, ingressus in domum ejus, diripere, si non prius fortem alliget : et tunc domum ejus diripiet.

28 Amen dico vobis : Quoniam omnia dimittentur peccata filiis hominum, et blasphemiæ quascunque blasphemaverint :

29 Qui autem blasphemaverit in Spiritum sanctum, non habet remissionem in æternum, sed obnoxius est æterni judicii.

30 Quoniam dicebant : Spiritum immundum habet.

31 Veniunt igitur fratres et mater ejus : et foris stantes, miserunt ad eum, vocantes eum.

32 Et sedebat turba circum eum : dicebant verò ei : Ecce mater tua, et fratres tui, foris quærunt te.

33 Et respondit eis, dicens : Quæ est mater mea, aut fratres mei ?

34 Et circumspiciens circulo circa se sedentes ait : Ecce mater mea, et fratres mei

35 Qui enim fecerit voluntatem Dei, hic frater meus, et soror mea, et mater est

Κεφ. δ'. 4.

1 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν· καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολὺς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον, καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν.

2 Καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλὰ, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·

3 Ἀκούετε, Ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι·

4 Καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό.

5 Ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχε γῆν πολλήν, καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς·

6 Ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

7 Καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν αὐτὸ, καὶ καρπὸν οὐκ ἔδωκε.

8 Καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν· καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα· καὶ ἔφερεν, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν.

9 Καὶ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

10 Ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν.

11 Καὶ ἔλεγεν αὐτοῖς, Ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ Θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γίνεται.

CAPUT IV.

1 ET iterum cœpit docere juxta mare, et coacta est ad eum turba multa, ita ut ipsum ascendentem in navigium sedere in mari: et omnis turba ad mare super terram erat.

2 Et docebat eos in parabolis multa, et dicebat illis in doctrina sua:

3 Audite: Ecce exiit seminans seminare.

4 Et factum est in seminando, hoc quidem cecidit circa viam, et venerunt volucres cæli, et devoraverunt illud.

5 Aliud verò cecidit super petrosa, ubi non habuit terram multam: et statim exortum est, propter non habere profunditatem terræ.

6 Sole autem exoriente æstuavit: et ob non habere radicem, exaruit.

7 Et aliud cecidit in spinas: et ascenderunt spinæ, et suffocaverunt illud, et fructum non dedit.

8 Et aliud cecidit in terram pulchram: et dabat fructum ascendentem et crescentem, et afferebat unum triginta, et unum sexaginta, et unum centum.

9 Et dicebat illis: Habens aures audire, audiat.

10 Quum autem factus esset solus interrogaverunt eum qui circa eum cum duodecim parabolam

11 Et dicebat eis: Vobis datum est nosse mysterium regni Dei: illis autem foris, in parabolis omnia fiunt.

12 Ἵνα βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι, καὶ ἀκούοντες ἀκούωσι, καὶ μὴ συνιῶσι, μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα.

12 Ut aspicientes aspiciant, et non videant: et audientes audiant, et non intelligant: ne quando convertantur, et dimittantur eis peccata.

13 Καὶ λέγει αὐτοῖς· Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε;

13 Et ait illis: Nescitis parabolam hanc? et quomodo omnes parabolas cognoscetis?

14 Ὁ σπείρων, τὸν λόγον σπείρει.

14 Seminans, verbum seminat.

15 Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.

15 Hi autem sunt qui circa viam, ubi seminatur verbum: et quum audierint, confestim venit satanas, et aufert verbum seminatum in cordibus eorum.

16 Καὶ ἕτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἵ, ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν·

16 Et hi sunt similiter in petrosa seminati, qui quum audierint verbum, statim cum gaudio accipiunt illud.

17 Καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν· εἶτα γενομένης θλίψεως, ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζονται.

17 Et non habent radicem in se ipsis, sed temporarii sunt: deinde ortâ tribulatione, aut persequutione propter verbum, confestim scandalizantur

18 Καὶ ἕτοί εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, ἕτοί εἰσιν οἱ τὸν λόγον ἀκούοντες,

18 Et hi sunt qui in spinas seminati, hi sunt, qui verbum audientes.

19 Καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

19 Et curæ seculi hujus, et deceptio divitiarum, et circa reliqua cupiditates introeuntes suffocant verbum, et infructuosus efficitur.

20 Καὶ ἕτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον, καὶ παραδέχονται· καὶ καρποφοροῦσιν, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν·

20 Et hi sunt in terram pulchram seminati, qui audiunt verbum, et suscipiunt, et fructum ferunt, unum triginta, et unum sexaginta, et unum centum.

21 Καὶ ἔλεγεν αὐτοῖς· Μήτι ὁ λύχνος ἔρχεται, ἵνα ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;

21 Et dicebat illis: Nun quid lucerna venit, ut sub modio ponatur, aut sub lecto? nonne ut supra candelabrum imponatur?

22 Οὐ γὰρ ἐστί τι κρυπτὸν ὃ ἐὰν μὴ φανερωθῇ· οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ.

23 Εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω.

24 Καὶ ἔλεγεν αὐτοῖς, Βλέπετε τί ἀκούετε. Ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν.

25 Ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

26 Καὶ ἔλεγεν· Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς,

27 Καὶ καθεύδῃ, καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν· καὶ ὁ σπόρος βλαστάνῃ, καὶ μηκύνηται, ὡς οὐκ οἶδεν αὐτός.

28 Αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ.

29 Ὅταν δὲ παραδῷ ὁ καρπὸς, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.

30 Καὶ ἔλεγε· Τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ Θεοῦ ; ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμεν αὐτήν ;

31 Ὡς κόκκῳ σινάπεως, ὃς, ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ τῆς γῆς.

32 Καὶ ὅταν σπαρῇ, ἀναβαίνει, καὶ γίνεται πάντων τῶν λαχάνων μεῖζων, καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν.

33 Καὶ τοιαύταις παραβολαῖς

22 Non enim est aliquid absconditum, quod non manifestetur : nec factum est occultum, sed ut in palam veniat.

23 Si quis habet aures audire, audiat.

24 Et dicebat illis : Videte quid audiatis. In qua mensura mensi fueritis, remetietur vobis, et adjicietur vobis audientibus :

25 Qui enim habet, dabitur illi : et qui non habet, et quod habet auferetur ab eo.

26 Et dicebat : Sic est regnum Dei, quemadmodum si homo jaciat sementum in terram :

27 Et dormiat, et excitetur nocte et die : et semen germinet et augeatur ut nescit ille.

28 Spontanea enim terra fructum fert, primùm herbam, deinde spicam, deinde plenum frumentum in spica.

29 Quum verò ediderit fructus, statim mittit falcem, quoniam adest messis.

30 Et dicebat : Cui assimilabimus regnum Dei ? aut in qua parabola comparabimus illud ?

31 Sicut grano sinapis, quod, quum seminatum fuerit in terra, minus omnibus seminibus est quæ in terra :

32 Et quum seminatum fuerit, ascendit, et fit omnibus oleribus majus, et facit ramos magnos, ita ut possint sub umbra ejus volatilia cæli nidulari

33 Et talibus parabolis mul

πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν.

34 Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε πάντα.

35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας γενομένης, Διέλθωμεν εἰς τὸ πέραν.

36 Καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοιάρια ἦν μετ' αὐτοῦ.

37 Καὶ γίνεται λαίλαψ ἀνέμου μεγάλη· τὰ δὲ κύματα ἐπέβαλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.

38 Καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν αὐτὸν, καὶ λέγουσιν αὐτῷ· Διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα ;

39 Καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ θαλάσσῃ, Σιώπα, πεφίμωσο. Καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη.

40 Καὶ εἶπεν αὐτοῖς· Τί δειλοί ἐστε οὕτω ; πῶς οὐκ ἔχετε πίστιν ;

41 Καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ ;

tis loquebatur eis sermonem, prout poterant audire.

34 Sine autem parabola non loquebatur eis : privatim autem discipulis suis solvebat omnia.

35 Et ait illis in illa die, sero facto : Transeamus in ul terius.

36 Et dimittentes turbam, assumunt eum ut erat in navigio : et alia verò navigiola erant cum illo.

37 Et facta est procella venti magna : at fluctus injiciebant in navigium, ut ipsum jam impleretur.

38 Et erat ipse in puppi, super cervical dormiens : et excitant eum, et dicunt illi : Magister, non curæ est tibi quia perimus ?

39 Et excitatus objurgavit ventum, et dixit mari : Sile, obmutesce. Et quievit ventus, et facta est tranquillitas magna.

40 Et ait illis : Quid timidi estis ita ? quomodo non habetis fidem ?

41 Et timuerunt timorem magnum, et dicebant ad invicem : Quisnam iste est, quia et ventus et mare obediunt ei ?

Κεφ. ε'. 5.

1 Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης, εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.

2 Καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ,

3 Ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι·

CAPUT V.

1 ET venerunt in ulterius maris, in regionem Gadarenorum.

2 Et exeunti ei ex navigio, statim occurrit ei ex monumentis homo in spiritu immundo :

3 Qui domicilium habebat in monumentis, et neque catenis nemo poterat eum ligare

4 Διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπᾶσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις, καὶ τὰς πέδας συντετρίφθαι· καὶ οὐδεὶς αὐτὸν ἴσχυε δαμάσαι.

4 Propter eum sæpe compedibus et catenis ligatum esse, et disruptas esse ab eo catenas, et pedicas contritas esse: et nemo eum poterat domare.

5 Καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρεσι, καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων, καὶ κατακόπτων ἑαυτὸν λίθοις·

5 Et per omnem noctem et diem in montibus et in monumentis erat clamans, et concidens seipsum lapidibus.

6 Ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμε, καὶ προσεκύνησεν αὐτῷ.

6 Videns autem Jesum à longè, cucurrit, et adoravit eum:

7 Καὶ κράξας φωνῇ μεγάλῃ, εἶπε· Τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν Θεὸν, μή με βασανίσῃς.

7 Et clamans voce magnâ, dixit: Quid mihi et tibi, Jesu fili Dei altissimi? adjuro te Deum, ne me torqueas.

8 Ἔλεγε γὰρ αὐτῷ· Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.

8 Dicebat enim illi: Exi spiritus immunde ab homine

9 Καὶ ἐπηρώτα αὐτόν· Τί σοι ὄνομα; Καὶ ἀπεκρίθη, λέγων· Λεγεὼν ὄνομά μοι· ὅτι πολλοί ἐσμεν.

9 Et interrogabat eum: Quod tibi nomen? Et respondit dicens: Legio nomen mihi: quia multi sumus.

10 Καὶ παρεκάλει αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας.

10 Et adpellabat eum multa, ut ne se mittat extra regionem.

11 Ἦν δὲ ἐκεῖ πρὸς τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη.

11 Erat autem ibi ad montem grex porcorum magnus pascens.

12 Καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες, λέγοντες· Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.

12 Et adpellabant eum omnes dæmones, dicentes: Mitte nos in porcos, ut in eos introeamus.

13 Καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς. Καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα, εἰσῆλθον εἰς τοὺς χοίρους· Καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, ἦσαν δὲ ὡς δισχίλιοι καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.

13 Et concessit eis statim Jesus. Et exeuntes spiritus immundi introierunt in porcos: et irruit grex per præcipitium in mare erant enim ut duo millia et suffocati sunt in mari.

14 Οἱ δὲ βόσκοντες τοὺς χοίρους ἔφυγον, καὶ ἀνήγγειλαν εἰς τὴν πόλιν, καὶ εἰς τοὺς ἀγρούς. Καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός.

14 At pascentes porcos fugerunt, et nuntiaverunt in civitatem, et in agros: et egressi sunt videre quid esset factum.

15 Καὶ ἔρχονται πρὸς τὸν Ἰη-

15 Et veniunt ad Jesum, et

σοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον, καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα· καὶ ἐφοβήθησαν.

16 Καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοίρων.

17 Καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

18 Καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθείς, ἵνα ᾖ μετ' αὐτοῦ.

19 Ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτὸν, ἀλλὰ λέγει αὐτῷ· Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς, καὶ ἀνάγγειλον αὐτοῖς, ὅσα σοι ὁ Κύριος ἐποίησε, καὶ ἠλέησέ σε.

20 Καὶ ἀπῆλθε, καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ πάντες ἐθαύμαζον.

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ' αὐτὸν· καὶ ἦν παρὰ τὴν θάλασσαν.

22 Καὶ ἰδοὺ, ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτὸν, πίπτει πρὸς τοὺς πόδας αὐτοῦ.

23 Καὶ παρεκάλει αὐτὸν πολλὰ, λέγων· Ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ· καὶ ζήσεται.

24 Καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν.

25 Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα,

26 Καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα·

spectant dæmoniacum sedentem et vestitum, et sanæ mentis eum qui habuerat legionem, et timuerunt.

16 Narraverunt autem illis videntes, quomodo factum esset dæmoniaco, et de porcis.

17 Et cœperunt rogare eum abire de finibus eorum.

18 Et ascendente ipso in navigium, rogabat illum dæmoniacus, ut esset cum illo.

19 At Jesus non admisit eum, sed ait illi : Vade in domum tuam ad tuos, et annuncia illis quanta tibi Dominus fecit, et misertus est tui.

20 Et abiit, et cœpit prædicare in Decapoli, quanta fecisset ei Jesus : et omnes mirabantur.

21 Et trajiciente Jesu in navigio rursum in ulterius, coacta est turba multa ad eum, et erat juxta mare.

22 Et ecce venit unus Archisynagogorum, nomine Jairus, et videns eum, procidit ad pedes ejus :

23 Et rogabat eum multum, dicens : Quoniam filiola mea extreme habet, ut veniens imponans ei manus, ut servetur, et vivet.

24 Et abiit cum illo, et sequebatur eum turba multa, et comprimebant eum.

25 Et mulier quædam existens in fluxione sanguinis annos duodecim,

26 Et multa perpessa à multis medicis, et insumptis quæ apud se omnibus, et nihil adjuta, sed magis in deterius veniens ;

27 Ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ.

28 Ἔλεγε γὰρ, Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι.

29 Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς· καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

30 Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων;

31 Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· Τίς μου ἥψατο;

32 Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν.

33 Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν.

34 Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε, ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

35 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες· Ὅτι ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον;

36 Ὁ δὲ Ἰησοῦς, εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον, λέγει τῷ ἀρχισυναγώγῳ· Μὴ φοβοῦ, μόνον πίστευε.

37 Καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου.

38 Καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον

27 Audiens de Jesu, veniens in turba retro, tetigit vestimentum ejus

28 Dicebat enim, Quia si vel vestimenta ejus tetigero, servabor.

29 Et confestim siccatus est fons sanguinis ejus, et sensit corpore, quia sanata est à flagello.

30 Et statim Jesus cognoscens in semetipso ex se efficacitatem profectam, conversus in turba, ajebat: Quis mea tetigit vestimenta?

31 Et dicebant ei discipuli sui: Aspicis turbam comprimentem te, et dicis: Quis me tetigit?

32 Et circumspiciebat videre hoc facientem.

33 At mulier timens et tremens, sciens quod factum esset in se, venit et procidit ei, et dixit ei omnem veritatem.

34 Ille autem dixit ei: Filia, fides tua servavit te; vade in pace, et esto sana à flagello tuo.

35 Adhuc eo loquente, veniunt ab Archisynagogo, dicentes: Quia filia tua mortua est: quid adhuc vexas magistrum?

36 At Jesus statim audiens sermonem dictum, ait Archisynagogo: Ne metue, solum crede.

37 Et non admisit quenquam se consequi, si non Petrum, et Jacobum, et Joannem fratrem Jacobi

38 Et venit in domum Archisynagogi, et vidit tumul-

ρυβον, κλαίοντας καὶ ἀλαλάζοντας πολλά.

39 Καὶ εἰσελθὼν λέγει αὐτοῖς, Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

40 Καὶ κατεγέλων αὐτοῦ· Ὁ δὲ, ἐκβαλὼν ἅπαντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου, καὶ τὴν μητέρα, καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον.

41 Καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ· Ταλιθὰ κοῦμι· ὅ ἐστι μεθερμηνευόμενον, Τὸ κοράσιον, σοὶ λέγω ἔγειραι.

42 Καὶ εὐθέως ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα· καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ.

43 Καὶ διεστείλατο αὐτοῖς πολλὰ, ἵνα μηδεὶς γνῷ τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

tum, flentes et ejulantes multum.

39 Et ingressus ait illis: Quid tumultuamini et ploratis? puella non mortua est, sed dormit.

40 Et irridebant eum: Ipse verò ejectis omnibus, assumit patrem puellæ, et matrem, et qui cum se, et ingreditur ubi erat puella jacens:

41 Et prehendens manum puellæ, ait illi: Talitha cumi, quod est interpretatum: Puella, tibi dico, excitare.

42 Et confestim surrexit puella, et deambulabat: erat enim annorum duodecim. Et obstupuerunt stupore magno.

43 Et præcepit illis multa, ut nemo sciret id: et dixit dari illi manducare.

Κεφ. ϛ'. 6.

CAPUT VI.

1 Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

1 Et egressus est inde, et venit in patriam suam: et sequuntur eum discipuli sui.

2 Καὶ γενομένου σαββάτου ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες, ἐξεπλήσσοντο, λέγοντες· Πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, ὅτι καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

2 Et facto Sabbato, cœpit in Synagoga docere: et multi audientes percellebantur, dicentes: Unde huic hæc? et quæ sapientia data illi, quod et efficacitates tales per manus ejus efficiuntur?

3 Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.

3 Nonne hic est faber, filius Mariæ, frater verò Jacobi et Jose, et Judæ, et Simonis? Et non sunt sorores ejus hic apud nos? Et scandalizabantur in illo.

4 Ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς· Ὅτι οὐκ ἔστι προφήτης ἄτιμος, εἰ

4 Dicebat autem illis Jesus: Quia non est Propheta inhono-

μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

5 Καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε.

6 Καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων.

7 Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο· καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων.

8 Καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν.

9 Ἀλλ' ὑποδεδεμένους σανδάλια· καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας.

10 Καὶ ἔλεγεν αὐτοῖς· Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε, ἕως ἂν ἐξέλθητε ἐκεῖθεν.

11 Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις, ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

12 Καὶ ἐξελθόντες ἐκήρυσσον, ἵνα μετανοήσωσι·

13 Καὶ δαιμόνια πολλὰ ἐξέβαλλον· καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους, καὶ ἐθεράπευον.

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης· φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν· Ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.

15 Ἄλλοι ἔλεγον, Ὅτι Ἠ-

ratus, si non in patria sua, et in cognatis, et in domo sua

5 Et non poterat ibi ullam efficacitatem facere, si non paucis infirmis imponens manus curavit.

6 Et mirabatur propter incredulitatem eorum: et circuibat vicos in orbem, docens.

7 Et advocat duodecim: et cœpit eos mittere duos duos et dabat illis auctoritatem spirituum immundorum.

8 Et præcepit eis ut nihil tollerent ad viam, si non virgam tantum: non peram, non panem, non in zona æs.

9 Sed calceatos sandaliis: et non induere duas tunicas.

10 Et dicebat eis: Quocumque introieritis in domum, illic manete, donec exeatis inde.

11 Et quicumque non receperint vos, nec audierint vos, exeuntes inde, excutite pulverem inferne pedum vestrorum, in testimonium illis: Amen dico vobis, tolerabilius erit Sodomis aut Gomorris in die judicii, quam civitati illi.

12 Et exeuntes prædicabant ut pœniterent.

13 Et dæmonia multa ejiciebant: et unguebant oleo multos ægros, et sanabant.

14 Et audivit rex Herodes manifestum enim factum erat nomen ejus et dicebat: Quia Joannes baptizans à mortuis excitatus est, et propter hoc operantur efficacitates in illo.

15 Alii dicebant· Quia Elias

λίας ἐστίν· Ἄλλοι δὲ ἔλεγον, Ὅτι προφήτης ἐστίν, ἢ ὡς εἷς τῶν προφητῶν.

16 Ἀκούσας δὲ ὁ Ἡρῴδης, εἶπεν· Ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν.

17 Αὐτὸς γὰρ ὁ Ἡρῴδης, ἀποστείλας, ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ, διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.

18 Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ· Ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

19 Ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο·

20 Ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε.

21 Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ τοῖς χιλιάρχοις, καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας,

22 Καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρῳδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι.

23 Καὶ ὤμοσεν αὐτῇ· Ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου.

24 Ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ μητρὶ αὐτῆς, Τί αἰτήσομαι ; Ἡ δὲ εἶπε· Τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

25 Καὶ εἰσελθοῦσα εὐθέως με-

est : Alii vero dicebant : Quia Propheta est, aut quasi unus Prophetarum.

16 Audiens autem Herodes, ait : Quia quem ego decollavi Joannem, hic est, ipse excitatus est ex mortuis.

17 Ipse enim Herodes mittens prehendit Joannem, et vinxit eum in custodia, propter Herodiadem uxorem Philippi fratris sui, quia eam duxerat.

18 Dicebat enim Joannes Herodi : Quod non licet tibi habere uxorem fratris tui.

19 At Herodias insidiabatur illi : et volebat eum occidere, et non poterat :

20 Nam Herodes metuebat Joannem, sciens eum virum justum et sanctum : conservabat eum, et audiens eum, multa faciebat, et suaviter eum audiebat.

21 Et facta die opportuna, quum Herodes natalitiis suis cœnam faciebat principibus suis, et tribunis, et primis Galilææ :

22 Et ingressa filia ipsius Herodiadis, et saltante, et placente Herodi et unà recumbentibus, ait rex puellæ : Pete à me quicquid velis, et dabo tibi.

23 Et juravit illi : Quia quicquid petieris, dabo tibi, usque dimidium regni mei.

24 Illa verò egressa, dixit matri suæ : Quid petam ? Illa verò ait : Caput Joannis Baptistæ.

25 Et ingressa statim cum

τὰ σπουδῆς πρὸς τὸν βασιλέα, ἠτήσατο, λέγουσα· Θέλω ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

26 Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι.

27 Καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα, ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ.

28 Ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ· καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς.

29 Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν τῷ μνημείῳ.

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν.

31 Καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον· ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοὶ· καὶ οὐδὲ φαγεῖν εὐκαίρουν.

32 Καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν.

33 Καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι· καὶ ἐπέγνωσαν αὐτὸν πολλοὶ· καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν.

34 Καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

studio ad regem, petivit, dicens : Volo ut mihi des ex ipsa in disco caput Joannis Baptistæ

26 Et contristatus factus rex propter juramenta, et simu discumbentes, non voluit eam rejicere.

27 Et statim mittens rex speculatorem, injunxit afferri caput ejus. Ille autem abiens decollavit eum in carcere :

28 Et attulit caput ejus in disco, et dedit illud puellæ, et puella dedit illud matri suæ.

29 Et audientes discipuli ejus venerunt, et tulerunt cadaver ejus, et posuerunt illud in monumento.

30 Et coguntur Apostoli ad Jesum, et renuntiaverunt ei omnia, et quanta egerant, et quanta docuerant.

31 Et ait illis : Venite vos ipsi privatim in desertum locum, et requiescite pusillum Erant enim venientes et redeuntes multi, et nec edere opportunitatem habebant.

32 Et abierunt in desertum locum navigio seorsum.

33 Et viderunt eos abeuntes, et cognoverunt eum multi, et pedestres de omnibus civitatibus concurrerunt illuc, et prævenerunt eos, et venerunt ad eum.

34 Et exiens vidit Jesus multam turbam, et visceribus commotus est super eos, quia erant sicut oves non habentes pastorem : et cœpit docere illos multa.

35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν· Ὅτι ἐρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή·

35 Et jam hora multa facta, advenientes ei discipuli ejus dicunt : Quod desertus est locus, et jam hora multa

36 Ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας, ἀγοράσωσιν ἑαυτοῖς ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν.

36 Absolve eos, ut abeuntes in per gyrum agros et vicos, mercentur sibi panes ; quid enim edant non habent.

37 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Καὶ λέγουσιν αὐτῷ· Ἀπελθόντες ἀγοράσωμεν διακοσίων δηναρίων ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν ;

37 Ille verò respondens ait illis : Date illis vos manducare. Et dicunt ei : Euntes mercemur ducentorum denariorum panes, et demus illis manducare ?

38 Ὁ δὲ λέγει αὐτοῖς· Πόσους ἄρτους ἔχετε ; ὑπάγετε καὶ ἴδετε. Καὶ γνόντες, λέγουσι, Πέντε, καὶ δύο ἰχθύας·

38 Ille autem dicit eis : Quot panes habetis ? abite et videte. Et cognoscentes, dicunt : Quinque et duos pisces.

39 Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ.

39 Et mandavit eis recumbere omnes convivia convivia super viridi fœno.

40 Καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ, ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα.

40 Et discubuerunt areæ areæ, per centum et per quinquaginta.

41 Καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους· καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσιν αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι.

41 Et accipiens quinque panes et duos pisces, respiciens in cælum, benedixit et fregit panes, et dedit discipulis suis, ut adponerent eis : et duos pisces divisit omnibus.

42 Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν·

42 Et manducaverunt omnes, et saturati sunt.

43 Καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων.

43 Et sustulerunt fragmentorum duodecim cophinos plenos, et de piscibus.

44 Καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους, ὡσεὶ πεντακισχίλιοι ἄνδρες.

44 Et erant edentes panes quasi quinquies mille viri

45 Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον.

45 Et statim coëgit discipulos suos ascendere in navigium et præcedere in ulterius ad Bethsaïdam, donec ipse absolveret turbam.

46 Καὶ ἀποταξάμενος αὐτοῖς, ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.

47 Καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς.

48 Καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς· καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἤθελε παρελθεῖν αὐτούς.

49 Οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν·

50 Πάντες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν· καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν, καὶ λέγει αὐτοῖς· Θαρσεῖτε· ἐγώ εἰμι, μὴ φοβεῖσθε.

51 Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον· καὶ ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον.

52 Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· ἦν γὰρ ἡ καρδία αὐτῶν πεπωρωμένη.

53 Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρὲτ, καὶ προσωρμίσθησαν.

54 Καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν,

55 Περιδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι.

56 Καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας, ἢ πόλεις, ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν, ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσώζοντο.

46 Et dimittens eos, abiit in montem orare.

47 Et sero facto, erat navigium in medio mari, et ipse solus in terra.

48 Et vidit eos laborantes in remigando : erat enim ventus contrarius eis : et circa quartam custodiam noctis venit ad eos, circumambulans super mare ; et volebat præterire eos.

49 Illi verò videntes eum circumambulantem super mare, putaverunt phantasma esse, et exclamaverunt.

50 Omnes enim eum viderunt, et conturbati sunt. Et statim loquutus est cum eis, et dixit eis : Confidite, ego sum, ne metuite.

51 Et ascendit ad illos in navigium : et quievit ventus. Et valde ex abundanti in seipsis stupebant, et mirabantur.

52 Non enim intellexerunt de panibus : erat enim cor eorum obcallitum.

53 Et pertranseuntes venerunt in terram Genesaret : et applicuerunt.

54 Et exeuntibus illis è navigio, continuo cognoscentes eum,

55 Circumcurrentes omnem circumviciniam illam, cœperunt in grabatis malè habentes circumferre, ubi audiebant quòd illic esset.

56 Et quocumque introibat in vicos, vel urbes, vel agros, in plateis ponebant infirmos, et rogabant eum, ut vel fimbriam vestimenti ejus tangerent : et quotquot tangebant eum, servabantur.

Κεφ. ζ'. 7.

1 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων,

2 καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ' ἔστιν, ἀνίπτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο.

3 Οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων·

4 καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων, καὶ ξεστῶν, καὶ χαλκίων, καὶ κλινῶν.

5 Ἐπειτα ἐπερωτῶσιν αὐτὸν οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς· Διατί οἱ μαθηταί σου οὐ περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον;

6 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὅτι καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· "Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ.

7 Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων."

8 Ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων· καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

9 Καὶ ἔλεγεν αὐτοῖς, Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.

10 Μωσῆς γὰρ εἶπε· "Τίμα τὸν

CAPUT VII.

1 ET conveniunt ad eum Pharisæi, et quidam Scribarum venientes ab Hierosolymis.

2 Et videntis quosdam discipulorum ejus communibus manibus hoc est, illotis edentes panes, incusarunt.

3 Nam Pharisæi et omnes Judæi, si non pugillatim laverint manus, non manducant, tenentes traditionem seniorum:

4 Et à foro, si non baptizentur, non comedunt: et alia multa sunt, quæ assumpserunt tenere, lotiones poculorum et sextariorum, et æramentorum et lectorum.

5 Deinde interrogant eum Pharisæi et Scribæ: Quare discipuli tui non ambulant juxta traditionem seniorum, sed illotis manibus manducant panem?

6 Ille verò respondens, dixit eis: Quod pulchre prophetavit Esaias de vobis hypocritis, sicut scriptum est: Hic populus labiis me honorat, at cor eorum longe abest à me.

7 Frustra autem colunt me, docentes doctrinas, præcepta hominum.

8 Relinquentes enim mandatum Dei, tenetis traditionem hominum, lotiones sextariorum et poculorum: et alia similia ejusmodi multa facitis.

9 Et dicebat illis: Pulchre abrogatis mandatum Dei, ut traditionem vestram servetis.

10 Moses enim dixit Ho

πατέρα σου, καὶ τὴν μητέρα σοῦ·" καί, "Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω."

11 Ὑμεῖς δὲ λέγετε· Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί· Κορβᾶν, ὅ ἐστι, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς·

12 Καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ, ἢ τῇ μητρὶ αὐτοῦ,

13 Ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν, ᾗ παρεδώκατε· καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

14 Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, ἔλεγεν αὐτοῖς· Ἀκούετέ μου πάντες, καὶ συνίετε.

15 Οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν, ὃ δύναται αὐτὸν κοινῶσαι· ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.

16 Εἴτις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

17 Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.

18 Καὶ λέγει αὐτοῖς· Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι;

19 Ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν· καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα.

20 Ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον.

21 Ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι,

nora patrem tuum, et matrem tuam: et maledicens patri vel matri, morte moriatur.

11 Vos autem dicitis: Si dixerit homo patri vel matri: Corban, quod est, donum quod si ex me juvaberis.

12 Et non amplius finitis eum quicquam facere patri suo, aut matri suæ.

13 Irritum facientes verbum Dei traditione vestra quam tradidistis: Et similia hujusmodi multa facitis.

14 Et advocans omnem turbam, dicebat illis: Audite me omnes, et intelligite:

15 Nihil est extra hominem introiens in eum, quod potest eum communicare: sed exeuntia ab eo, illa sunt communicantia hominem.

16 Si quis habet aures ad audiendum, audiat.

17 Et quum introisset in domum à turba, interrogabant eum discipuli ejus de parabola.

18 Et ait illis: Sic et vos imprudentes estis? Non consideratis, quia omne extrinsecus introiens in hominem, non potest eum communicare?

19 Quia non intrat ejus in cor, sed in ventrem, et in secessum exit: purgans omnes escas.

20 Dicebat autem, quod ex homine egressum, illud communicat hominem.

21 Intus enim, de corde hominum ratiocinationes malæ egrediuntur, adulteria, fornicationes, cædes,

22 Κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη.

23 Πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.

24 Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καὶ οὐκ ἠδυνήθη λαθεῖν.

25 Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ,

26 Ἦν δὲ ἡ γυνὴ Ἑλληνὶς, Συροφοινίκισσα τῷ γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς.

27 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ καλόν ἐστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

28 Ἡ δὲ ἀπεκρίθη, καὶ λέγει αὐτῷ· Ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων.

29 Καὶ εἶπεν αὐτῇ, Διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου.

30 Καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρε τὸ δαιμόνιον ἐξεληλυθός, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης.

31 Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως.

32 Καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα.

33 Καὶ ἀπολαβόμενος αὐτὸν

22 Furta, avaritiæ, malitiæ, dolus, lascivia, oculus malus, blasphemia, superbia, amentia

23 Omnia hæc mala abintus egrediuntur, et communicant hominem.

24 Et inde surgens, abiit in confinia Tyri et Sidonis ; et ingressus in domum, neminem voluit scire, et non potuit latere.

25 Audiens enim mulier de eo, cujus habebat filiola spiritum immundum, intrans procidit ad pedes ejus.

26 Erat autem mulier Græca, Syrophœnissa genere et rogabat eum ut dæmonium ejiceret de filia ejus.

27 At Jesus ait ei : Sine prius saturari filios : non enim pulchrum est sumere panem filiorum, et mittere catellis.

28 Illa vero respondit, et dicit illi : Utique Domine : etenim catelli sub mensa comedunt de micis puerorum.

29 Et ait illi : Propter hunc sermonem vade : exiit dæmonium à filia tua.

30 Et abiens in domum suam, invenit dæmonium egressum, et filiam conjectam super lectum.

31 Et iterum exiens de finibus Tyri et Sidonis, venit ad mare Galilææ, per medium finium Decapoleos.

32 Et ferunt ei surdum ægre loquentum : et invocant eum, ut imponat illi manum.

33 Et assumens eum de tur

ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τὰς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ,

34 Καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ λέγει αὐτῷ· Ἐφφαθά, ὅ ἐστι, διανοίχθητι.

35 Καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ· καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.

36 Καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον.

37 Καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· Καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.

ba privatim, jecit digitos suos in auriculas ejus : et expuens tetigit linguam ejus :

34 Et suspiciens in cælum, ingemuit, et ait illi : Ephphatha, quod est, Adaperire

35 Et statim adapertæ sunt ejus aures : et solutum est vinculum linguæ ejus, et loquebatur recte.

36 Et præcepit illis ut nemini dicerent : Quanto autem ille eis præcipiebat, magis amplius prædicabant.

37 Et supra modum percellebantur, dicentes : Pulchre omnia fecit : et surdos facit audire, et mutos loqui.

Κεφ. η'. 8.

1 Ἐν ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς·

2 Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι.

3 Καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν μακρόθεν ἥκασι.

4 Καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας ;

5 Καὶ ἐπηρώτα αὐτούς· Πόσους ἔχετε ἄρτους ; Οἱ δὲ εἶπον· Ἑπτά.

6 Καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους, εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς

CAPUT VIII.

1 In illis diebus omnino multa turba existente, et non habentibus quid comederent, advocans Jesus discipulos suos, dicit illis :

2 Visceribus commoveor super turbam : quia jam dies tres manent apud me, et non habent quid manducent.

3 Et si absolvam eos jejunos in domum suam, deficient in via : quidam enim eorum de longe venerunt.

4 Et responderunt ei discipuli sui : Unde illos poterit quis hic saturare panibus in solitudine ?

5 Et interrogavit eos : Quot habetis panes ? Illi verò dixerunt : Septem.

6 Et præcepit turbæ discumbere super terram : Et accipiens septem panes, gratias agens fregit, et dabat discipulis suis

αὐτοῦ, ἵνα παραθῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ.

7 Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας, εἶπε παραθεῖναι καὶ αὐτά.

8 Ἔφαγον δὲ, καὶ ἐχορτάσθησαν· καὶ ἦραν περισσεύματα κλασμάτων, ἑπτὰ σπυρίδας.

9 Ἦσαν δὲ οἱ φαγόντες, ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν αὐτούς.

10 Καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

11 Καὶ ἐξῆλθον οἱ φαρισαῖοι, καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν.

12 Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει· Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.

13 Καὶ ἀφεὶς αὐτοὺς, ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν.

14 Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ.

15 Καὶ διεστέλλετο αὐτοῖς, λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων, καὶ τῆς ζύμης Ἡρῴδου.

16 Καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες· Ὅτι ἄρτους οὐκ ἔχομεν.

17 Καὶ γνοὺς ὁ Ἰησοῦς, λέγει αὐτοῖς· Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε; ἔπω νοεῖτε, οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν;

18 Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε,

ut apponerent: et apposuerunt turbæ.

7 Et habebant pisciculos paucos, et benedicens, ait apponi et ipsos.

8 Comederunt autem, et saturati sunt: et sustulerunt redundantia fragmentorum septem sportas.

9 Erant autem comedentes quasi quatuor millia: et absolvit eos.

10 Et statim ascendens in navigium cum discipulis suis, venit in partes Dalmanutha.

11 Et exierunt Pharisæi, et cœperunt contendere cum eo: quærentes ab illo signum de cælo, tentantes eum.

12 Et ingemiscens spiritu suo, ait: Quid generatio ista signum quærit? Amen dico vobis, si dabitur generationi isti signum.

13 Et dimittens eos, ascendens rursum in navigium, abiit in ulterius.

14 Et obliti sunt sumere panes: et si non unum panem non habebant cum se in navigio.

15 Et præcipiebat eis dicens: Videte, cavete à fermento Pharisæorum, et fermento Herodis.

16 Et ratiocinabantur ad invicem dicentes: Quia panes non habemus.

17 Et cognoscens Jesus, ait illis: Quid cogitatis, quia panes non habetis? Nondum cognoscitis nec intelligitis? adhuc callosum habetis cor vestrum?

18 Oculos habentes non aspicitis? et aures habentes non auditis? Et non recordamini?

19 Ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων ἤρατε; Λέγουσιν αὐτῷ· Δώδεκα.

20 Ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; Οἱ δὲ εἶπον· Ἑπτά.

21 Καὶ ἔλεγεν αὐτοῖς· Πῶς οὐ συνίετε;

22 Καὶ ἔρχεται εἰς Βηθσαϊδάν· καὶ φέρουσιν αὐτῷ τυφλόν, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται.

23 Καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης· καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα αὐτὸν εἴ τι βλέπει.

24 Καὶ ἀναβλέψας, ἔλεγε· Βλέπω τοὺς ἀνθρώπους· ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας.

25 Εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι· καὶ ἀποκατεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντας.

26 Καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων· Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι;

28 Οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην τὸν Βαπτιστήν· καὶ ἄλλοι Ἠλίαν· ἄλλοι δὲ, ἕνα τῶν προφητῶν.

29 Καὶ αὐτὸς λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;

19 Quando quinque panes fregi in quinquies mille, quot cophinos fragmentorum plenos sustulistis? Dicunt ei: Duodecim.

20 Quando autem septem in quater mille, quot sportarum complementa fragmentorum tulistis? Illi verò dixerunt: Septem.

21 Et dicebat eis: Quomodo non intelligitis?

22 Et venit in Bethsaidam, et ferunt ei cæcum, et rogabant eum ut illum tangeret.

23 Et adprehensa manu cæci, eduxit eum extra vicum: et expuens in oculos ejus, imponens manus ei, interrogavit eum si quid videret.

24 Et suspiciens ait: Video homines velut arbores ambulantes.

25 Deinde iterum imposuit manus super oculos ejus, et fecit ipsum videre: et restitutus est, et aspexit perlucide omnes.

26 Et misit illum in domum suam, dicens: Neque in vicum ingrediaris, neque dixeris cuipiam in vico.

27 Et egressus est Jesus et discipuli ejus in vicos Cæsareæ Philippi: et in via interrogabat discipulos suos, dicens eis: Quem me dicunt homines esse?

28 Illi verò responderunt: Joannem Baptistam; et alii, Eliam: alii verò, unum Prophetarum.

29 Et ipse dicit illis: Vos verò quem me dicitis esse?

Ἀποκριθεὶς δὲ ὁ Πέτρος, λέγει αὐτῷ, Σὺ εἶ ὁ Χριστός.

30 Καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ.

31 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι· καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι.

32 Καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει. Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ.

33 Ὁ δὲ ἐπιστραφεὶς, καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ, λέγων· Ὕπαγε ὀπίσω μου, σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

34 Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

35 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν.

36 Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;

37 Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;

38 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων τῶν ἁγίων

Respondens autem Petrus, ait ei : Tu es Christus.

30 Et comminatus est eis, ut nemini dicerent de eo.

31 Et cœpit docere eos, quoniam oportet filium hominis multa pati, et reprobari à senioribus, et summis Sacerdotibus, et Scribis, et occidi, et post tres dies resurgere.

32 Et libertate verbum loquebatur : Et assumens eum Petrus, cœpit increpare eum.

33 Ille vero conversus, et videns discipulos suos, increpavit Petrum, dicens : Vade post me satana, quoniam non sapis quæ Dei, sed quæ hominum.

34 Et advocans turbam cum discipulis suis, dixit eis : Quicumque vult post me sequi, abneget semetipsum, et tollat crucem suam, et sequatur me.

35 Qui enim voluerit animam suam servare, perdet eam: qui autem perdiderit animam suam causa mei et Euangelii, hic servabit eam.

36 Quid enim proderit homini, si lucretur mundum totum, et multetur animam suam ?

37 Aut quid dabit homo compensationem animæ suæ ?

38 Qui enim erubuerit me, et meos sermones in generatione ista adultera et peccatrice, et filius hominis erubescet eum, quum venerit in gloria Patris sui cum angelis sanctis

Κεφ. θ'. 9.

1 Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

2 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ τὸν Ἰάκωβον, καὶ τὸν Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν.

3 Καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι.

4 Καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωσεῖ· καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ.

5 Καὶ ἀποκριθεὶς ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ Ἠλίᾳ μίαν.

6 Οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι.

7 Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς· καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

8 Καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν.

9 Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

10 Καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς, συζητοῦντες τί ἐστι τὸ, ἐκ νεκρῶν ἀναστῆναι.

11 Καὶ ἐπηρώτων αὐτὸν, λέ-

CAPUT IX.

1 ET dicebat illis: Amen dico vobis, quia sunt quidam hic stantium, qui non gustabunt mortem, donec videant regnum Dei veniens in efficacia.

2 Et post dies sex, assumit Jesus Petrum, et Jacobum, et Joannem, et ducit illos in montem excelsum privatim solos: et transfiguratus est coram ipsis.

3 Et vestimenta ejus facta sunt coruscantia, candida valde velut nix, qualia fullo super terram non potest dealbare.

4 Et apparuit illis Elias cum Mose, et erant colloquentes Jesu.

5 Et respondens Petrus, ait Jesu: Rabbi, pulchrum est nos hic esse: et faciamus umbracula tria, tibi unum, et Mosi unum, et Eliæ unum.

6 Non enim sciebat quid diceret: erant enim exterriti.

7 Et facta est nubes obumbrans eos; et venit vox de nube, dicens: Hic est filius meus dilectus, illum audite.

8 Et statim circumspicientes, amplius neminem viderunt, si non Jesum tantum cum se.

9 Descendentibus autem illis de monte, cavit illis, ut nemini narrarent quæ viderunt, si non quum filius hominis ex mortuis resurrexerit.

10 Et verbum continuerunt apud se conquirentes, quid est, ex mortuis resurgere?

11 Et interrogabant eum, di

γοντες· Οτι λέγουσιν οἱ γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;

12 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον, ἀποκαθιστᾷ πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ πάθῃ, καὶ ἐξουδενωθῇ.

13 Ἀλλὰ λέγω ὑμῖν, ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ' αὐτόν.

14 Καὶ ἐλθὼν πρὸς μαθητὰς, εἶδεν ὄχλον πολὺν περὶ αὐτοὺς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς.

15 Καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμβήθη, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν.

16 Καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· Τί συζητεῖτε πρὸς αὐτούς;

17 Καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπε· Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον·

18 Καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν, καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν.

19 Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει· Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με.

20 Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐτὸν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων

21 Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ, Πόσος χρόνος ἐστὶν, ὡς

centes: Quid dicunt Scribæ, quia Eliam oporteat venire primum?

12 Ille autem respondens, ait illis: Elias quidem veniens primum, restituit omnia, et quo modo scriptum est in filium hominis, ut multa patiatur, et nihili fiat.

13 Sed dico vobis, quia et Elias venit, et fecerunt illi quæcunque voluerunt, sicut scriptum est de eo.

14 Et veniens ad discipulos, vidit turbam magnam circa eos, et Scribas conquirentes illis.

15 Et confestim omnis turba videns eum expavit, et accurentes salutabant eum.

16 Et interrogavit Scribas. Quid conquiritis apud vos ipsos?

17 Et respondens unus de turba, dixit: Magister, attuli filium meum ad te habentem spiritum sine loquutione:

18 Et ubicumque eum apprehenderit, lacerat illum, et spumat, et stridet dentes suos, et arescit: et dixi discipulis tuis ut illum ejicerent, et non voluerunt.

19 Ille autem respondens ei, dixit: O generatio incredula, quousque apud vos ero? quousque tolerabo vos? ferte ipsum ad me.

20 Et attulerunt eum ad ipsum: Et videns eum, statim spiritus convulsit illum: et cadens in terram, volutabatur spumans.

21 Et interrogavit patrem ejus, quantum temporis est ut

τοῦτο γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε· Παιδιόθεν.

22 Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς.

23 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τό, Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι.

24 Καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ δακρύων ἔλεγε· Πιστεύω Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ.

25 Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγὼ σοι ἐπιτάσσω· Ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.

26 Καὶ κράξαν, καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε· καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν.

27 Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς, ἤγειρεν αὐτὸν, καὶ ἀνέστη.

28 Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν, Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;

29 Καὶ εἶπεν αὐτοῖς· Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

30 Καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας· καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ.

31 Ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς· Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτὸν· καὶ ἀποκτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

hoc factum est ei? Ille verò ait: Ab infantia.

22 Et frequenter eum et in ignem jecit, et in aquam, ut perderet eum: sed siquid potes succurre nobis visceribus com motus super nos.

23 At Jesus ait illi: Illud, si potes credere, omnia possibilia credenti.

24 Et continuo exclamans pater pueri cum lachrymis ajebat: Credo Domine: succurre meæ incredulitati.

25 Videns autem Jesus, quod concurreret turba, increpavit spiritum immundum, dicens illi: Spiritus sine loquutione et surde, ego tibi impero: exi ex eo, et ne amplius introeas in eum.

26 Et exclamans, et multum discerpens eum, exiit: et factus est sicut mortuus, ut multos dicere: Quia mortuus est

27 At Jesus prehendens manum ejus, excitavit eum, et surrexit.

28 Et introeuntem eum in domum discipuli ejus interrogabant eum privatim: Quia nos non potuimus ejicere eum?

29 Et dixit illis: Hoc genus in nullo potest exire, si non in oratione et jejunio.

30 Et inde exeuntes prætergrediebantur per Galilæam: et non voluit ut quis sciret.

31 Docebat enim discipulos suos, et dicebat illis: Quoniam filius hominis tradetur in manus hominum, et occident eum et occisus tertiâ die resurget.

32 Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

33 Καὶ ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς· Τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε;

34 Οἱ δὲ ἐσιώπων· πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων.

35 Καὶ καθίσας ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς· Εἴτις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος.

36 Καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν· καὶ ἐναγκαλισάμενος αὐτό, εἶπεν αὐτοῖς·

37 Ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με.

38 Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης, λέγων· Διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν.

39 Ὁ δὲ Ἰησοῦς εἶπε· Μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσεται ταχὺ κακολογῆσαί με.

40 Ὃς γὰρ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν.

41 Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν ὀνόματί μου, ὅτι Χριστοῦ ἐστε, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ·

42 Καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμέ, καλόν ἐστιν αὐτῷ μᾶλλον, εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ βέβληται, εἰς τὴν θάλασσαν.

32 Illi verò ignorabant verbum, et timebant eum interrogare.

33 Et venit ad Capernaum : et in domo factus, interrogabat eos : Quid in via ad vos ipsos ratiocinabamini ?

34 Illi autem tacebant : ad invicem enim ratiocinati erant in via, quis major.

35 Et sedens vocavit duodecim, et ait illis : Si quis vult primus esse, erit omnium novissimus, et omnium minister.

36 Et accipiens puerum, statuit eum in medio eorum, et ulnis continens eum, ait illis :

37 Quisquis unum hujusmodi puerulorum exceperit in nomine meo, me excipit : et quicunque me exceperit, non me excipit, sed legantem me.

38 Respondit verò illi Joannes, dicens : Magister, vidimus quendam nomine tuo ejicientem dæmonia, qui non sequitur nos : et prohibuimus eum, quia non sequitur nos.

39 At Jesus ait : Ne prohibete eum : Nemo enim est qui faciat efficaciam in nomine meo, et possit cito maledicere mihi.

40 Qui enim non est adversum nos, pro nobis est.

41 Qui enim potaverit vos poculum aquæ in nomine meo, quia Christi estis : Amen dico vobis, non perdiderit mercedem suam.

42 Et quisquis scandalizaverit unum pusillorum credentium in me, pulchrum est ei magis, si circumponeretur lapis molaris circa collum ejus, et jaceretur in mare.

43 Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν σοί ἐστι κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον·

44 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

45 Καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν· καλόν ἐστί σοι εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον,

46 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

47 Καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοί ἐστι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρὸς,

48 Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

49 Πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται.

50 Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

43 Et si scandalizet te manus tua, abscinde illam: pulchrum tibi est mancum in vitam introire, quam duas manus habentem abire in gehennam, in ignem inextinguibilem:

44 Ubi vermis eorum non moritur, et ignis non extinguitur.

45 Et si pes tuus scandalizet te, amputa illum: pulchrum est tibi introire in vitam claudum, quam duos pedes habentem jaci in gehennam, in ignem inextinguibilem:

46 Ubi vermis eorum non moritur, et ignis non extinguitur.

47 Et si oculus tuus scandalizet te, ejice eum: pulchrum tibi est unoculum introire in regnum Dei, quam duos oculos habentem jaci in gehennam ignis:

48 Ubi vermis eorum non moritur, et ignis non extinguitur.

49 Omnis enim igne salietur: et omnis victima sale salietur.

50 Pulchrum sal: si verò sal insulsum fiat, in quo illud condietis? Habete in vobis sal, et pacem habete in invicem.

Κεφ. ί. 10.

1 Κἀκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας, διὰ τοῦ πέραν τοῦ Ἰορδάνου· καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτὸν, καὶ, ὡς εἰώθει, πάλιν ἐδίδασκεν αὐτούς.

2 Καὶ προσελθόντες φαρισαῖοι, ἐπηρώτησαν αὐτὸν, εἰ ἔξεστιν ἀνδρὶ

CAPUT X.

1 ET inde exurgens venit in fines Judææ, per ulterius Jordanis: et conveniunt iterum turbæ ad eum: et, sicut consueverat, iterum docebat illos.

2 Et accedentes Pharisæi interrogabant eum, Si licet viro

γυναῖκα ἀπολῦσαι; πειράζοντες αὐτόν.

3 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Τί ὑμῖν ἐνετείλατο Μωσῆς;

4 Οἱ δὲ εἶπον· Μωσῆς ἐπέτρεψε βιβλίον ἀποστασίου γράψαι, καὶ ἀπολῦσαι.

5 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην.

6 Ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεός.

7 Καὶ εἶπεν ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ·

8 Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· Ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ.

9 Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

10 Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτόν.

11 Καὶ λέγει αὐτοῖς· Ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν.

12 Καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται.

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν.

14 Ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

15 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ

uxorem dimitterre? tentantes eum.

3 Ille autem respondens dixit eis: Quid vobis præcepit Moses?

4 Illi verò dixerunt: Moses permisit libellum abscessionis scribere, et dimittere.

5 Et respondens Jesus, ait eis: Ad duritiem cordis vestri scripsit vobis præceptum istud.

6 Ab autem initio creationis, masculum et feminam fecit eos Deus.

7 Causa hujus relinquet homo patrem suum, et matrem, et adglutinabitur ad uxorem suam.

8 Et erunt duo in carnem unam: Itaque non amplius sunt duo, sed una caro.

9 Quod ergo Deus conjunxit, homo non separet.

10 Et in domo iterum discipuli ejus de eodem interrogaverunt eum.

11 Et ait illis: Quicumque dimiserit uxorem suam, et duxerit aliam, adulterat in eam.

12 Et si uxor dimiserit virum suum, et nupserit alii mœchatur.

13 Et offerebant illi puerulos, ut tangeret illos: Verùm discipuli increpabant offerentes.

14 Videns verò Jesus indignatus est, et ait illis: Sinite puerulos venire ad me, et ne prohibueritis eos: nam talium est regnum Dei.

15 Amen dico vobis quisquis non receperit regnum Dei

Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

16 Καὶ ἐναγκαλισάμενος αὐτὰ, τιθεὶς τὰς χεῖρας ἐπ' αὐτὰ, ἠυλόγει αὐτά.

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν, προσδραμὼν εἷς, καὶ γονυπετήσας αὐτὸν, ἐπηρώτα αὐτόν· Διδάσκαλε ἀγαθὲ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω ;

18 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Τί με λέγεις ἀγαθόν ; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός.

19 Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς· Μὴ φονεύσῃς· Μὴ κλέψῃς· Μὴ ψευδομαρτυρήσῃς· Μὴ ἀποστερήσῃς· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα·

20 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτῷ· Διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου.

21 Ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ἓν σοι ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς τοῖς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι, ἄρας τὸν σταυρόν.

22 Ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται.

24 Οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. Ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς, λέγει αὐτοῖς· Τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ τοῖς χρήμασιν, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν ;

25 Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος εἰ-

velut puerulus, non intrabit in illud.

16 Et ulnis complexus eos, imponens manus super illos, benedicebat eos.

17 Et egrediente eo in viam, adcurrens quidam et genupetens eum, rogabat eum, Magister bone, quid faciam ut vitam æternam hæreditem ?

18 At Jesus dixit ei : Quid me dicis bonum ? Nemo bonus, si non unus, Deus.

19 Præcepta nosti : Ne adulteres : ne occidas : ne fureris : ne falso testeris : ne damnum dederis : honora patrem tuum et matrem.

20 Ille autem respondens ait illi : Magister, hæc omnia observavi à juventute mea.

21 At Jesus intuitus eum, dilexit eum, et dixit ei : Unum tibi deest : Vade, quæcumque habes vende, et da pauperibus, et habebis thesaurum in cælo : et veni, sequere me tollens crucem.

22 Ille verò mœstus in verbo, abiit contristatus : erat enim habens facultates multas.

23 Et circumspiciens Jesus ait discipulis suis : Quam difficile opes habentes in regnum Dei introibunt !

24 At discipuli expaverunt in verbis ejus. At Jesus rursus respondens, ait illis : Nati, quomodo difficile est confidentes in opibus, in regnum Dei introire !

25 Facilius enim est camelum per foramen acus transire

σελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.

26 Οἱ δὲ περισσῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς· Καὶ τίς δύναται σωθῆναι;

27 Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει· Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ Θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ Θεῷ.

28 Καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.

29 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου,

30 Ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελφάς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγρὸς, μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

31 Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι, καὶ οἱ ἔσχατοι, πρῶτοι.

32 Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα· καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο· Καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα, ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν·

33 Ὅτι ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι, καὶ τοῖς γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι,

34 Καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ μαστιγώσουσιν αὐτὸν, καὶ ἐμπτύσουσιν αὐτῷ, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

quàm divitem in regnum Dei intrare.

26 Illi verò abundantur percellabantur, dicentes ad semetipsos: et quis potest servari?

27 Intuens autem illos Jesus, ait: Apud homines impossibile, sed non apud Deum: Omnia enim possibilia sunt apud Deum.

28 Cœpit autem Petrus dicere ei: Ecce nos reliquimus omnia, et sequuti sumus te.

29 Et respondens Jesus, ait: Amen dico vobis, nemo est qui reliquerit domum, aut fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut filios, aut agros, causa mei et causa Evangelii,

30 Si non accipiet centuplicia nunc in tempore hoc, domos, et fratres, et sorores, et matres, et filios, et agros, cum persequutionibus, et in seculo venturo vitam æternam.

31 Multi autem erunt primi novissimi, et novissimi primi.

32 Erant autem in via ascendentes in Hierosolyma, et erat præcedens eos Jesus, et mirabantur: et sequentes expavescebant. Et assumens iterum duodecim, cœpit eis dicere futura ipsi evenire.

33 Quia ecce ascendimus in Hierosolyma, et filius hominis tradetur principibus Sacerdotum, et Scribis, et damnabunt eum morte, et tradent eum gentibus.

34 Et illudent ei, et flagellabunt eum, et inspuent ei, et occident eum, et tertia die resurget.

35 Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος, καὶ Ἰωάννης, οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες, Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν, ποιήσῃς ἡμῖν.

36 Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε ποιῆσαί με ὑμῖν;

37 Οἱ δὲ εἶπον αὐτῷ· Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου.

38 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;

39 Οἱ δὲ εἶπον αὐτῷ· Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω, πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε·

40 Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου, καὶ ἐξ εὐωνύμων μού, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται.

41 Καὶ ἀκούσαντες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου.

42 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς· Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν, κατεξουσιάζουσιν αὐτῶν·

43 Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται διάκονος ὑμῶν·

44 Καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος

45 Καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι, τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

35 Et accedunt ad eum Jacobus et Joannes, filii Zebedæi, dicentes: Magister, volumus ut quodcumque petierimus facias nobis.

36 Ille verò dixit eis: Quid vultis facere me vobis?

37 Illi autem dixerunt ei: Da nobis, ut unus ex dexteris tuis, et unus ex sinistris tuis sedeamus in gloria tua.

38 At Jesus ait eis: Nescitis quid petatis: potestis bibere poculum quod ego bibo, et baptismo quo ego baptizor, baptizari?

39 Illi autem dixerunt ei: Possumus. At Jesus ait eis: Quidem calicem quem ego bibo, bibetis, et baptismo quo ego baptizor, baptizabimini:

40 At sedere ex dexteris meis, et ex sinistris meis, non est meum dare, sed quibus paratum est.

41 Et audientes decem, cœperunt indignari de Jacobo et Joanne.

42 At Jesus advocans eos, ait illis: Scitis quia existimantes imperare gentibus dominantur eorum, et magni eorum licentia utuntur in eos.

43 Non ita autem erit in vobis: sed quicunque voluerit fieri magnus in vobis, erit vester minister.

44 Et quicunque voluerit vestrum fieri primus, erit omnium servus.

45 Etenim filius hominis non venit ministrari, sed ministrare, et dare animam suam solutionem pro multis

46 Καὶ ἔρχονται εἰς Ἰεριχώ· καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἰεριχὼ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτίμαιος ὁ τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν·

47 Καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν, καὶ λέγειν· Ὁ υἱὸς Δαβὶδ Ἰησοῦ, ἐλέησόν με.

48 Καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαβὶδ, ἐλέησόν με.

49 Καὶ στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φωνηθῆναι· καὶ φωνοῦσι τὸν τυφλὸν, λέγοντες αὐτῷ, Θάρσει, ἔγειραι· φωνεῖ σε.

50 Ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν.

51 Καὶ ἀποκριθεὶς, λέγει αὐτῷ ὁ Ἰησοῦς· Τί θέλεις ποιήσω σοι; Ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· Ῥαββουνὶ, ἵνα ἀναβλέψω.

52 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ὕπαγε· ἡ πίστις σου σέσωκέ σε. Καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.

46 Et veniunt in Hiericho: et proficiscente eo de Hiericho, et discipulis ejus, et turba copiosa, filius Timæi Bartimæus cæcus sedebat juxta viam mendicans.

47 Et audiens quia Jesus Nazarenus est, cœpit clamare et dicere: Fili David Jesu, miserere mei.

48 Et objurgabant eum multi ut taceret: Ille autem multo magis clamabat: Fili David, miserere mei.

49 Et stans Jesus, ait illum vocari: Et vocant cæcum, dicentes ei: Confide, surge: vocat te.

50 Ille autem abjiciens pallium suum, surgens venit ad Jesum.

51 Et respondens dicit ei Jesus: Quid vis faciam tibi? At cæcus dixit ei: Rabboni, ut videam.

52 At Jesus ait illi: Vade: fides tua servavit te: et confestim vidit, et sequebatur Jesum in via.

Κεφ. ιά. 11.

1 Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ, εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ,

2 Καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς ἀνθρώπων κεκάθικε· λύσαντες αὐτὸν ἀγάγετε.

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ· Τί ποιεῖτε τοῦτο; εἴπατε· Ὅτι ὁ Κύ-

CAPUT XI

1 Et quum appropinquarent ad Hierosolymam, ad Bethphage et Bethaniam ad montem Olivarum, mittit duos discipulorum suorum,

2 Et dicit illis: Abite in vicum contra vos: et statim introeuntes in eum, invenietis pullum ligatum, super quem nullus hominum sedit · solventes illum adducite.

3 Et si quis vobis dixerit Quid facitis hoc? dicite: Quia

ριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε.

4 Ἀπῆλθον δὲ, καὶ εὗρον τὸν πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν.

5 Καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς, Τί ποιεῖτε λύοντες τὸν πῶλον ;

6 Οἱ δὲ εἶπον αὐτοῖς καθὼς ἐνετείλατο ὁ Ἰησοῦς· καὶ ἀφῆκαν αὐτούς.

7 Καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ' αὐτῷ.

8 Πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν· ἄλλοι δὲ στοιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν.

9 Καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες· Ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·

10 Εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου, τοῦ πατρὸς ἡμῶν Δαβίδ· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

12 Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας, ἐπείνασε·

13 Καὶ ἰδὼν συκὴν μακρόθεν, ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ· καὶ ἐλθὼν ἐπ' αὐτὴν, οὐδὲν εὗρεν εἰ μὴ φύλλα· οὐ γὰρ ἦν καιρὸς σύκων.

14 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. Καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

Dominus eo opus habet · et continuo illum dimittet huc

4 Abierunt autem et invenerunt pullum ligatum ad januam foris in bivio, et solvunt eum.

5 Et quidam illic stantium dicebant illis : Quid facitis solventes pullum ?

6 Illi verò dixerunt eis sicut præceperat Jesus : et dimiserunt eos.

7 Et duxerunt pullum ad Jesum, et superinjecerunt illi vestimenta sua : et sedit super eum.

8 Multi autem vestimenta sua straverunt in viam : alii autem frondes cædebant ex arboribus, et sternebant in viam.

9 Et præeuntes et sequentes clamabant, dicentes : Hosanna, benedictus veniens in nomine Domini.

10 Benedictum veniens regnum in nomine Domini, patris nostri David : Hosanna in altissimis.

11 Et introivit in Hierosolyma Jesus, et in templum : et circumspiciens omnia, vespere jam existente horâ, exiit in Bethaniam cum duodecim.

12 Et posterâ die exeuntibus illis de Bethania, esuriit.

13 Et videns ficum à longè habentem folia, venit, si fortè inveniret quid in ea : Et veniens ad eam, nihil invenit si non folia : non enim erat tempus ficorum.

14 Et respondens Jesus dixit ei : Non amplius ex te in æternum nemo fructum manducet. Et audiebant discipuli ejus.

15 Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς, κατέστρεψε.

15 Et veniunt in Hierosolyma: et ingressus Jesus in templum, cœpit ejicere vendentes et ementes in templo: et mensas nummulariorum, et cathedras vendentium columbas evertit.

16 Καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ.

16 Et non finebat ut quisquam transferret vas per templum.

17 Καὶ ἐδίδασκε, λέγων αὐτοῖς· Οὐ γέγραπται· "Ὅτι ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν;" ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν.

17 Et docebat, dicens eis: Nonne scriptum est, Quia domus mea, domus orationis vocatur omnibus gentibus? vos autem fecistis eam speluncam latronum.

18 Καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσουσιν· ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

18 Et audierunt Scribæ, et principes Sacerdotum, et quærebant quomodo eum perderent: timebant enim eum, quia omnis turba admirabatur super doctrina ejus.

19 Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως.

19 Et quum vespera facta esset, egrediebatur ex civitate.

20 Καὶ πρωῒ παραπορευόμενοι, εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν.

20 Et mane adambulantes, viderunt ficum arefactam à radicibus.

21 Καὶ ἀναμνησθεὶς ὁ Πέτρος, λέγει αὐτῷ· Ῥαββὶ, ἴδε, ἡ συκῆ ἣν κατηράσω, ἐξήρανται.

21 Et recordatus Petrus, dicit ei, Rabbi, ecce ficus cui maledixisti, aruit.

22 Καὶ ἀποκριθεὶς Ἰησοῦς λέγει αὐτοῖς· Ἔχετε πίστιν Θεοῦ.

22 Et respondens Jesus, ait illis: Habete fidem Dei.

23 Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν· καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει, γίνεται· ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ.

23 Amen enim dico vobis quia quicunque dixerit monti huic: Tollere, et mittere in mare: et non hæsitaverit in corde suo, sed crediderit quia quæ dicit fiant, fiet ei quod dixerit.

24 Διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε καὶ ἔσται ὑμῖν.

24 Propter hoc dico vobis, Omnia quæcumque orantes petitis, credite quia accipitis, et erunt vobis.

25 Καὶ ὅταν στήκητε προσευ-

25 Et quum stabitis orantes

χόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος· ἵνα καὶ ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

26 Εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει τὰ παραπτώματα ὑμῶν.

27 Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι·

28 Καὶ λέγουσιν αὐτῷ· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς;

29 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἐπερωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

30 Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι.

31 Καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες· Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, ἐρεῖ· Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;

32 Ἀλλ' ἐὰν εἴπωμεν, Ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως προφήτης ἦν.

33 Καὶ ἀποκριθέντες, λέγουσι τῷ Ἰησοῦ· Οὐκ οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς, λέγει αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

dimittite si quid habetis adversus aliquem, ut et pater vester qui in cælis, dimittat vobis lapsus vestros.

26 Si verò vos non dimiseritis, nec Pater vester qui in cælis, dimittet lapsus vestros.

27 Et veniunt rursus in Hierosolymam : Et in templo deambulante ipso, accedunt ad eum summi sacerdotes, et Scribæ, et seniores.

28 Et dicunt ei : In qua auctoritate hæc facis ? et quis tibi auctoritatem hanc dedit, ut ista facias ?

29 At Jesus respondens, ait illis : Interrogabo vos et ego unum verbum : et respondete mihi, et dicam vobis in qua auctoritate hæc faciam.

30 Baptismus Joannis de cælo erat, an ex hominibus ? Respondete mihi.

31 Et ratiocinabantur apud seipsos dicentes : Si dixerimus, de cælo, dicet : propter quid ergo non credidistis ei ?

32 Sed si dicamus ex hominibus, timebant populum : Omnes enim habebant Joannem quia vere Propheta erat.

33 Et respondentes dicunt Jesu : Nescimus. Et Jesus respondens, ait illis : Neque ego dico vobis in qua auctoritate hæc faciam.

Κεφ. ιβ'. 12.

1 Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν· Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ περιέθηκε φραγμὸν, καὶ ὤρυξεν ὑπολήνιον, καὶ ᾠκοδόμησε πύργον, καὶ

CAPUT XII.

1 Et cœpit illis in parabolis dicere : Vineam plantavit homo, et circumposuit sepem, et fodit lacum, et ædificavit turrim, et elocavit eam

ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε.

2 Καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος·

3 Οἱ δὲ λαβόντες αὐτὸν, ἔδειραν, καὶ ἀπέστειλαν κενόν.

4 Καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον· κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν, καὶ ἀπέστειλαν ἠτιμωμένον.

5 Καὶ πάλιν ἄλλον ἀπέστειλε· κἀκεῖνον ἀπέκτειναν· καὶ πολλοὺς ἄλλους, τοὺς μὲν δέροντες, τοὺς δὲ ἀποκτείνοντες.

6 Ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον, λέγων· Ὅτι ἐντραπήσονται τὸν υἱόν μου.

7 Ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτούς· Ὅτι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία.

8 Καὶ λαβόντες αὐτὸν, ἀπέκτειναν, καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος.

9 Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις.

10 Οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε; "Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

11 Παρὰ Κυρίου ἐγένετο αὕτη· καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;"

12 Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον

agricolis, et peregre profectus est.

2 Et misit ad agricolas tempore servum, ut ab agricolis acciperet de fructu vineæ.

3 Illi autem sumentes eum cecidérunt, et dimiserunt vacuum.

4 Et iterum misit ad illos alium servum: et illum lapidantes in capite vulneraverunt, et ablegaverunt inhonoratum.

5 Et rursum alium misit: et illum occiderunt, et plures alios, hos quidem cædentes, hos verò occidentes.

6 Adhuc ergo unum filium habens dilectum suum, misit et illum ad eos novissimum, dicens: Quia reverebuntur filium meum.

7 Illi verò agricolæ dixerunt apud seipsos: Quod hic est hæres: venite occidamus eum, et nostra erit hæreditas.

8 Et apprehendentes eum, occiderunt, et ejecerunt extra vineam.

9 Quid ergo faciet dominus vineæ? Veniet, et perdet colonos, et dabit vineam aliis

10 Nec scripturam hanc legistis? Lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli.

11 A Domino factum est istud, et est mirabile in oculis nostris.

12 Et quærebant eum prehendere, et timuerunt turbam: cognoverunt enim quoniam ad eos parabolam dixit: Et sinentes eum abierunt.

13 Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν φαρισαίων καὶ τῶν Ἡρῳδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ.

14 Οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις· ἔξεστι κῆνσον Καίσαρι δοῦναι, ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν;

15 Ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶπεν αὐτοῖς· Τί με πειράζετε; φέρετέ μοι δηνάριον, ἵνα ἴδω.

16 Οἱ δὲ ἤνεγκαν· καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Οἱ δὲ εἶπον αὐτῷ· Καίσαρος.

17 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Καὶ ἐθαύμασαν ἐπ' αὐτῷ.

18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι· καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες·

19 Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

20 Ἑπτὰ ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα·

21 Καὶ ὁ δεύτερος ἔλαβεν αὐτὴν, καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς ἀφῆκε σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως.

22 Καὶ ἔλαβον αὐτὴν οἱ ἑπτὰ, καὶ οὐκ ἀφῆκαν σπέρμα· ἐσχάτη πάντων ἀπέθανε καὶ ἡ γυνή.

13 Et mittunt ad eum quos dam Pharisæorum et Herodianorum, ut eum captarent sermone.

14 Illi autem venientes dicunt ei: Magister, scimus quia verax es, et non cura est tibi de nullo: non enim aspicis in faciem hominum, sed in veritate viam Dei doces: Licet censum Cæsari dare, an non? demus, an non demus?

15 Ille verò sciens eorum hypocrisin, ait illis: Quid me tentatis? Afferte mihi denarium, ut videam.

16 Illi autem attulerunt: Et ait illis: Cujus imago hæc, et inscriptio? Illi autem dixerunt ei: Cæsaris.

17 Et respondens Jesus, dixit illis: Reddite quæ Cæsaris, Cæsari: et quæ Dei, Deo: Et mirabantur super eo.

18 Et veniunt Sadducæi ad eum, qui dicunt resurrectionem non esse: et interrogabant eum, dicentes:

19 Magister, Moses scripsit nobis, quod si cujus frater mortuus fuerit, et dimiserit uxorem et natos non reliquerit, ut accipiat frater ejus uxorem ipsius, et resuscitet semen fratri suo.

20 Septem fratres erant: et primus accepit uxorem, et moriens non reliquit semen.

21 Et secundus accepit eam, et mortuus est, et nec iste reliquit semen: et tertius similiter.

22 Et acceperunt eam septem, et non reliquerunt semen. Novissima omnium defuncta est et mulier.

23 Ἐν τῇ οὖν ἀναστάσει, ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.

24 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ;

25 Ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς.

26 Περὶ δὲ τῶν νεκρῶν, ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωσέως, ἐπὶ τῆς βάτου ὡς εἶπεν αὐτῷ ὁ Θεὸς, λέγων· "Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ;"

27 Οὐκ ἔστιν ὁ Θεὸς νεκρῶν, ἀλλὰ Θεὸς ζώντων· ὑμεῖς οὖν πολὺ πλανᾶσθε.

28 Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτὸν· Ποία ἔστι πρώτη πασῶν ἐντολή;

29 Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ, Ὅτι πρώτη πασῶν τῶν ἐντολῶν· Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐστι·

30 Καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· αὕτη πρώτη ἐντολή.

31 Καὶ δευτέρα ὁμοία αὕτη· Ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν· μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι.

32 Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· Καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπας, ὅτι εἷς ἐστι Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ·

23 In ergo resurrectione, quum resurrexerint, cujus eorum erit uxor? nam septem habuerunt eam uxorem.

24 Et respondens Jesus, ai illis: Non propter hoc erratis, non scientes scripturas, neque efficaciam Dei?

25 Quum enim à mortuis re surrexerint, neque nubent, neque nubuntur, sed sunt sicut angeli qui in cælis.

26 De autem mortuis, quod excitantur, non legistis in libro Mosis, super rubum, quomodo dixerit illi Deus, inquiens: Ego Deus Abraham, et Deus Isaac, et Deus Jacob?

27 Non est Deus mortuorum, sed Deus vivorum: vos ergo multum erratis.

28 Et accedens unus Scri barum, audiens illos conquirentes, videns quod pulchre illis responderit, interrogavit eum: quod esset primum omnium mandatum?

29 At Jesus respondit ei, quia primum omnium mandatorum: Audi Israël, Dominus Deus noster, Dominus unus est.

30 Et diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex tota cogitatione tua, et ex tota virtute tua. Hoc primum mandatum.

31 Et secundum simile hoc: Diliges proximum tuum ut teipsum. Majus horum aliud mandatum non est.

32 Et ait illi Scriba: Pulchre Magister in veritate dixisti, quia unus est Deus, et non est alius præter eum

33 Καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς συνέσεως, καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν, πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν.

34 Καὶ ὁ Ἰησοῦς ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.

35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ ἱερῷ, Πῶς λέγουσιν οἱ γραμματεῖς, ὅτι ὁ Χριστὸς υἱός ἐστι Δαβίδ ;

36 Αὐτὸς γὰρ Δαβὶδ εἶπεν ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, "λέγει ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρές σου ὑποπόδιον τῶν ποδῶν σου."

37 Αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν Κύριον· καὶ πόθεν υἱὸς αὐτοῦ ἐστι ; Καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

38 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Βλέπετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν, καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς,

39 Καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις·

40 Οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· ἔτοι λήψονται περισσότερον κρίμα.

41 Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον· καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά.

42 Καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο, ὅ ἐστι κοδράντης.

33 Et diligere eum ex toto corde, et ex toto intellectu, et ex tota anima, et ex tota fortitudine : et diligere proximum ut seipsum, plus est omnibus holocautomatibus, et sacrificiis.

34 Et Jesus videns eum quod cordate respondisset, dixit illi : Non longe es à regno Dei. Et nemo non amplius audebat eum interrogare.

35 Et respondens Jesus, dicebat, docens in templo : Quomodo dicunt Scribæ, quod Christus filius est David ?

36 Ipse enim David dicit in Spiritu sancto : Dicit Dominus domino meo : Sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum.

37 Ipse ergo David dicit eum Dominum : et unde filius ejus est : Et multa turba audiebat eum libenter.

38 Et dicebat eis in doctrina sua : Respicite à Scribis volentibus in stolis deambulare, et salutationes in foris.

39 Et præsessiones in synagogis, et præcubitus in cœnis :

40 Devorantes domos viduarum, et specie longâ orantes : hi accipient abundantius judicium.

41 Et sedens Jesus contra gazophylacium, aspiciebat quomodo turba jactaret æs in gazophylacium : et multi divites jactabant multa.

42 Et veniens una vidua pauper, injecit minuta duo, quod est quadrans.

43 Καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον.

44 Πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

43 Et advocans discipulos suos, ait illis: Amen dico vobis, quoniam vidua hæc pauper plus omnibus injecit injicientibus in gazophylacium.

44 Omnes enim ex redundante sibi injecerunt: hæc verò ex penuria sua omnia quæ habuit jecit, totum victum suum.

Κεφ. ιγ'. 13

1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε ποταποὶ λίθοι, καὶ ποταπαὶ οἰκοδομαί.

2 Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτῷ· Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθῳ, ὃς οὐ μὴ καταλυθῇ.

3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας·

4 Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον ὅταν μέλλει πάντα ταῦτα συντελεῖσθαι;

5 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς, ἤρξατο λέγειν· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ.

6 Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ὅτι ἐγώ εἰμι· καὶ πολλοὺς πλανήσουσιν.

7 Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γὰρ γενέσθαι· ἀλλ' οὔπω τὸ τέλος.

8 Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ ἔσονται λιμοὶ καὶ ταραχαί

CAPUT XIII.

1 Et egrediente illo ex templo, ait illi unus ex discipulis suis: Magister, aspice quales lapides, et qualia ædificia.

2 Et Jesus respondens ait illi: Vides hæc magna ædificia? Non relinquetur lapis super lapidem, qui non dissolvatur.

3 Et sedente ipso in monte Olivarum contra templum, interrogabant eum privatim Petrus et Jacobus, et Joannes, et Andreas:

4 Dic nobis quando ista erunt, et quod signum quando futurum est hæc omnia consummari?

5 At Jesus respondens illis, cœpit dicere, Aspicite ne quis vos seducat.

6 Multi enim venient in nomine meo, dicentes: Quia ego sum: et multos seducent.

7 Quum autem audieritis bella et auditiones bellorum, ne turbemini: oportet enim fieri, sed nondum finis.

8 Excitabitur enim gens in gentem, et regnum super regnum: et erunt terræmotus per loca, et erunt fames et turbæ.

9 Ἀρχαὶ ὠδίνων ταῦτα. Βλέπετε δὲ ὑμεῖς ἑαυτούς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ εἰς συναγωγὰς δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς.

10 Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον.

11 Ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε, μηδὲ μελετᾶτε· ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον.

12 Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς.

13 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

14 Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστὸς ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων νοείτω, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη·

15 Ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ καταβάτω εἰς τὴν οἰκίαν, μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ.

16 Καὶ ὁ εἰς τὸν ἀγρὸν ὤν, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι τὸ ἱμάτιον αὐτοῦ.

17 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

18 Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος.

19 Ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ

9 Initia dolorum hæc. Aspicite autem vosmetipsos: tradent enim vos ad confessus, et in synagogas: cædemini, et ad duces et reges sistemini causa mei, in testimonium illis.

10 Et in omnes gentes oportet primum prædicari Euangelium.

11 Quum autem duxerint vos tradentes, ne præanxiemini quid loquamini, nec præmeditemini: sed quod datum fuerit vobis in illa hora, id loquimini: non enim estis vos loquentes, sed Spiritus sanctus.

12 Tradet autem frater fratrem in mortem, et pater natum: et insurgent nati in parentes, et morte afficient eos.

13 Et eritis exosi ab omnibus propter nomen meum: autem permanens in finem, hic salvus erit.

14 Quum autem videritis abominationem desolationis prolatam à Daniele Propheta, stantem ubi non oportet, legens intelligat tunc qui in Judæa fugiant in montes.

15 Qui autem super tectum, ne descendat in domum, nec introeat tollere quid de domo sua.

16 Et qui in agrum existens, non revertatur in quæ post, tollere vestimentum suum.

17 Væ autem in utero habentibus et nutrientibus in illis diebus.

18 Orate verò, ut non fiat fuga vestra hyeme.

19 Erunt enim dies illi tribulatio, qualis non facta est talis ab initio conditionis, quam

Θεὸς, ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται.

20 Καὶ εἰ μὴ Κύριος ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο, ἐκολόβωσε τὰς ἡμέρας.

21 Καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ, ὧδε ὁ Χριστὸς, ἢ, ἰδοὺ, ἐκεῖ· μὴ πιστεύσητε.

22 Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα, πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς.

23 Ὑμεῖς δὲ βλέπετε· ἰδοὺ, προείρηκα ὑμῖν πάντα.

24 Ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλῖψιν ἐκείνην, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς,

25 Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται.

26 Καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς, καὶ δόξης.

27 Καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ.

28 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς γένηται, καὶ ἐκφυῇ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν·

29 Οὕτω καὶ ὑμεῖς, ὅταν ταῦτα ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.

30 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις ἂ πάντα ταῦτα γένηται.

31 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύ-

condidit Deus, usque nunc, et non fiet.

20 Et si non Dominus contraxisset dies, non servaretur omnis caro: sed propter electos, quos elegit, contraxit dies.

21 Et tunc si quis vobis dixerit: Ecce hic Christus, aut, ecce illic, ne credideritis.

22 Excitabuntur enim pseudochristi et pseudoprophetæ, et dabunt signa et portenta, ad seducendos, si possibile, et electos.

23 Vos autem aspicite: ecce prædixi vobis omnia,

24 Sed in illis diebus, post tribulationem illam sol contenebrabitur, et luna non dabit splendorem suum:

25 Et stellæ cæli erunt decidentes, et efficaciæ quæ in cælis concutientur.

26 Et tunc videbunt filium hominis venientem in nubibus cum efficacia multa et gloria.

27 Et tunc mittet angelos suos, et congregabit electos suos à quatuor ventis, ab extremo terræ usque extremum cæli.

28 A autem ficu discite parabolam: Quum jam ramus ejus tener fuerit, et germinet folia, cognoscitis quia prope æstas est:

29 Sic et vos, quum hæc videritis facta, cognoscite quod prope est ad fores.

30 Amen dico vobis, quoniam non præteribit generatio hæc, usque quo omnia ista fiant.

31 Cælum et terra præteri-

σονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ.

33 Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν.

34 Ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ.

35 Γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται, ὀψὲ, ἢ μεσονυκτίου, ἢ ἀλεκτοροφωνίας, ἢ πρωΐ.

36 Μὴ ἐλθὼν ἐξαίφνης, εὕρῃ ὑμᾶς καθεύδοντας.

37 Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω, Γρηγορεῖτε.

bunt, at verba mea non præteribunt.

32 De autem die illo et hora nemo scit, neque angeli qui in cælo, neque Filius, si non Pater.

33 Aspicite, vigilate, et orate : nescitis enim quando tempus est.

34 Sicut homo peregre profectus relinquens domum suam, et dans servis suis auctoritatem et cuique opus suum, et janitori præcepit ut vigilet.

35 Vigilate ergo, nescitis enim quando dominus domus veniat, vespere, an media nocte, an galli cantu, an mane.

36 Ne veniens repentè, inveniat vos dormientes.

37 Quæ autem vobis dico, omnibus dico : Vigilate.

Κεφ. ιδ'. 14.

1 Ἦν δὲ τὸ πάσχα, καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν.

2 Ἔλεγον δὲ· Μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ.

3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον μύρου, νάρδου πιστικῆς πολυτελοῦς· καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς.

4 Ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς, καὶ λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν ;

5 Ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δο-

CAPUT XIV.

1 ERAT autem Pascha, et Azyma post duos dies : et quærebant summi Sacerdotes et Scribæ quomodo eum dolo prehendentes occiderent.

2 Dicebant autem : non in festo, ne quando tumultus sit populi.

3 Et existente eo in Bethania, in domo Simonis leprosi, accumbente eo, venit mulier habens alabastrum unguenti, nardi probati multi pretii : et confringens alabastrum, effudit ei juxta caput.

4 Erant autem quidam indignati apud semetipsos, et dicentes? Ad quid perditio ista unguenti facta est ?

5 Poterat enim istud venundari super trecentis denariis,

θῆναι τοῖς πτωχοῖς, καὶ ἐνεβριμῶντο αὐτῇ.

6 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο εἰς ἐμέ.

7 Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

8 Ὃ εἶχεν αὕτη, ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν.

9 Ἀμὴν λέγω ὑμῖν, ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.

10 Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν αὐτοῖς.

11 Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ.

12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα;

13 Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ,

14 Καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ, ὅτι ὁ διδάσκαλος λέγει· Ποῦ ἐστὶ τὸ κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;

15 Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον, ἕτοιμον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν.

et dari pauperibus. Et fremebant ei.

6 At Jesus dixit: Sinite eam: Quid illi molestias exhibetis? Pulchrum opus operata est in me.

7 Semper enim pauperes habetis cum vobis, et quum volueritis potestis illis benefacere: me autem non semper habetis.

8 Quod habuit hæc, fecit: præoccupavit ungere meum corpus in sepulturam.

9 Amen dico vobis, ubicunque prædicatum fuerit Euangelium istud in totum mundum, et quod fecit hæc, narrabitur in memoriam ejus.

10 Et Judas Iscariotes, unus duodecim, abiit ad principes Sacerdotum, ut proderet eum illis.

11 Ii verò audientes gavisi sunt; et polliciti sunt ei argentum dare. Et quærebat quomodo opportune illum traderet.

12 Et primo die Azymorum, quando Pascha mactabant, dicunt ei discipuli ejus: Quo vis abeuntes paremus ut manduces Pascha?

13 Et mittit duos discipulorum suorum, et dicit eis: Ite in civitatem, et occurret vobis homo lagenam aquæ bajulans · sequimini eum.

14 Et quocumque introierit, dicite domus domino: quia Magister dicit · Ubi est diversorium, ubi Pascha cum discipulis meis manducem?

15 Et ipse vobis demonstrabit cœnaculum grande stratum, paratum: illic parate nobis

16 Καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ πάσχα.

17 Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα.

18 Καὶ ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ.

19 Οἱ δὲ ἤρξαντο λυπεῖσθαι, καὶ λέγειν αὐτῷ εἷς καθ' εἷς· Μήτι ἐγώ; Καὶ ἄλλος· Μήτι ἐγώ;

20 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Εἷς ἐκ τῶν δώδεκα ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον.

21 Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

22 Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου.

23 Καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες.

24 Καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον.

25 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

26 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ὅτι πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὅτι γέ-

16 Et exierunt discipuli ejus, et venerunt in civitatem: et invenerunt sicut dixerat illis, et paraverunt Pascha.

17 Et vespere facto, venit cum duodecim.

18 Et discumbentibus illis et manducantibus, ait Jesus: Amen dico vobis, quia unus ex vobis tradet me, manducans cum me.

19 Illi autem cœperunt contristari, et dicere ei unus ad unum: Numquid ego? et alius: Numquid ego?

20 Ipse autem respondens, ait illis: Unus ex duodecim intingens cum me in catinum.

21 Ipse quidem filius hominis vadit, sicut scriptum est de eo: Væ autem homini illi per quem Filius hominis traditur: Pulchrum erat ei, si non natus esset homo iste.

22 Et manducantibus illis sumens Jesus panem, et benedicens fregit, et dedit eis: et ait, Sumite, comedite: hoc est corpus meum.

23 Et accipiens calicem, gratias agens dedit eis: et biberunt ex illo omnes.

24 Et ait illis: Hic est sanguis meus novi testamenti, qui pro multis effusus.

25 Amen dico vobis, quia non amplius bibam de genimine vitis, usque in diem illum, quum illud bibam novum in regno Dei.

26 Et hymno dicto exierunt in montem Olivarum.

27 Et ait eis Jesus: Quoc omnes scandalizabimini in me in nocte ista, quia scriptum est:

γραπται ' Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα·"

28 Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

29 Ὁ δὲ Πέτρος ἔφη αὐτῷ· Καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ.

30 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι σήμερον ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.

31 Ὁ δὲ ἐκ περισσοῦ ἔλεγε μᾶλλον· Ἐάν με δέῃ συναποθανεῖν σοι, ἐ μή σε ἀπαρνήσομαι. Ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.

32 Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανῆ· καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· Καθίσατε ὧδε ἕως προσεύξωμαι.

33 Καὶ παραλαμβάνει τὸν Πέτρον, καὶ τὸν Ἰάκωβον, καὶ Ἰωάννην μεθ' ἑαυτοῦ· καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν.

34 Καὶ λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε.

35 Καὶ προελθὼν μικρὸν, ἔπεσεν ἐπὶ τῆς γῆς· καὶ προσηύχετο ἵνα εἰ δυνατόν ἐστι, παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα.

36 Καὶ ἔλεγεν· Ἀββᾶ ὁ πατὴρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο· ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ.

37 Καὶ ἔρχεται, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ· Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι;

38 Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

Percutiam pastorem, et dispergentur oves.

28 Sed post resurrexisse me, præcedam vos in Galilæam.

29 At Petrus ait illi: Et si omnes scandalizati fuerint in te, sed non ego.

30 Et ait illi Jesus: Amen dico tibi, quia tu hodie in nocte hac, prius quam bis gallum vociferari, ter negabis me.

31 Illi autem ex abundanti dicebat magis: Si me oportuerit commori tibi, non te negabo. Similiter autem et omnes dicebant.

32 Et veniunt in locum cui nomen Gethsemane: et ait discipulis suis: Sedete hic, donec orem.

33 Et assumit Petrum et Jacobum et Joannem cum se, et cœpit expavescere et angi

34 Et ait illis: undiquaque tristis est anima mea usque ad mortem: manete hic, et vigilate cum me.

35 Et progressus paululum, procidit super terram, et orabat, ut si possibile est, transiret ab eo hora.

36 Et dixit: Abba Pater, omnia possibilia tibi: transfer calicem à me hunc: sed non quid ego volo, sed quid tu.

37 Et venit, et invenit eos dormientes: Et ait Petro: Simon, dormis? non potuisti unam horam vigilare?

38 Vigilate et orate, ut non intretis in tentationem, ipse quidem spiritus promptus, at caro infirma.

39 Καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών.

40 Καὶ ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι· καὶ οὐκ ἤδεισαν τί αὐτῷ ἀποκριθῶσι.

41 Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε· ἀπέχει· ἦλθεν ἡ ὥρα· ἰδοὺ, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν.

42 Ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ, ὁ παραδιδούς με ἤγγικε.

43 Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας, εἷς ὢν τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιερέων, καὶ τῶν γραμματέων, καὶ τῶν πρεσβυτέρων.

44 Δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν, σύσσημον αὐτοῖς, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτὸν, καὶ ἀπαγάγετε ἀσφαλῶς.

45 Καὶ ἐλθὼν, εὐθέως προσελθὼν αὐτῷ, λέγει· Ῥαββὶ, ῥαββί· καὶ κατεφίλησεν αὐτόν.

46 Οἱ δὲ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας αὐτῶν, καὶ ἐκράτησαν αὐτόν.

47 Εἷς δὲ τις τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν, ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.

48 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με ;

49 Καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί.

39 Et iterum abiens oravit sermonem eundem dicens.

40 Et reversus invenit eos denuo dormientes, erant enim oculi eorum gravati : et non sciebant quid ei responderent.

41 Et venit tertio, et ait illis : Dormitis reliquum et requiescitis : Sufficit, venit hora : ecce traditur filius hominis in manus peccatorum.

42 Surgite, eamus : ecce tradens me appropinquavit.

43 Et statim adhuc eo loquente, adest Judas unus existens duodecim, et cum eo turba multa cum gladiis et lignis, à summis Sacerdotibus et Scribis et senioribus.

44 Dederat autem tradens eum signum eis, dicens : Quemcumque osculatus fuero, ipse est : prehendite eum, et abducite tutò.

45 Et veniens, statim accedens ad eum, ait : Rabbi, Rabbi : et osculatus est eum.

46 Illi verò injecerunt in eum manus suas, et prehenderunt eum.

47 Unus autem quidam astantium exerens gladium, percussit servum summi Sacerdotis, et abstulit illius auriculam.

48 Et respondens Jesus, ait illis : Tamquam ad latronem existis cum gladiis et lignis comprehendere me ?

49 Quotidie eram apud vos in templo docens, et non prehendistis me : sed ut implean tur Scripturæ.

50 Καὶ ἀφέντες αὐτὸν πάντες ἔφυγον.

51 Καὶ εἷς τις νεανίσκος ἠκολούθησεν αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ· καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι.

52 Ὁ δὲ καταλιπὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν.

53 Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα· καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ γραμματεῖς.

54 Καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως· καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν, καὶ θερμαινόμενος πρὸς τὸ φῶς.

55 Οἱ δὲ ἀρχιερεῖς, καὶ ὅλον τὸ συνέδριον, ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον.

56 Πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν.

57 Καὶ τινες ἀναστάντες, ἐψευδομαρτύρων κατ' αὐτοῦ, λέγοντες·

58 Ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, Ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω.

59 Καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.

60 Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον, ἐπηρώτησε τὸν Ἰησοῦν, λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν;

61 Ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο. Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν, καὶ λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ;

50 Et relinquentes eum omnes fugerunt.

51 Et unus quidam juvenis sequebatur eum amictus sindone super nudo: et tenent eum juvenes.

52 Ille autem relinquens sindonem, nudus profugit ab eis.

53 Et abduxerunt Jesum ad summum sacerdotem, et conveniunt eo omnes summi Sacerdotes, et seniores, et Scribæ.

54 Et Petrus à longè sequutus est eum usque intro in atrium summi Sacerdotis, et erat confidens eum ministris, et calefaciens se ad lumen.

55 At summi Sacerdotes, et omnis consessus quærebant adversus Jesum testimonium, ad morte afficiendum eum, et non inveniebant.

56 Multi enim testimonium falsum dicebant adversus eum et paria testimonia non erant.

57 Et quidam surgentes falsum testimonium ferebant adversus eum, dicentes:

58 Quoniam nos audivimus eum dicentem: Quod ego dissolvam templum hoc manufactum, et per tres dies aliud non manufactum ædificabo.

59 Et nec sic par erat testimonium illorum.

60 Et exurgens summus Sacerdos in medium, interrogavit Jesum, dicens: Non respondes quicquam quid hi te adversum testantur?

61 Ille autem tacebat, et nihil respondit. Rursum summus Sacerdos interrogabat eum, et dicit ei: Tu es Christus filius benedicti?

62 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἐγώ εἰμι· καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

62 At Jesus dixit: Ego sum: et videbitis filium hominis sedentem à dextris virtutis, et venientem cum nubibus cæli.

63 Ὁ δὲ ἀρχιερεὺς διαῤῥήξας τοὺς χιτῶνας αὐτοῦ, λέγει· Τί ἔτι χρείαν ἔχομεν μαρτύρων;

63 At summus Sacerdos dis rumpens vestes suas, ait: Quid adhuc usum habemus testium?

64 Ἠκούσατε τῆς βλασφημίας· τί ὑμῖν φαίνεται; οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου.

64 Audistis blasphemiam, quid vobis videtur: Ii autem omnes condemnaverunt eum obnoxium esse mortis.

65 Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ, καὶ κολαφίζειν αὐτὸν, καὶ λέγειν αὐτῷ· Προφήτευσον· καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον.

65 Et cœperunt quidam conspuere eum, et velare faciem ejus, et colaphizare eum, et dicere ei: Prophetiza, et ministri alapis eum impetebant.

66 Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως·

66 Et existente Petro in aula inferius, venit una ancillarum summi Sacerdotis.

67 Καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ, λέγει· Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ ἦσθα.

67 Et videns Petrum calefacientem se, intuita illum, ait: Et tu cum Nazareno Jesu eras.

68 Ὁ δὲ ἠρνήσατο, λέγων· Οὐκ οἶδα, οὐδὲ ἐπίσταμαι τί σὺ λέγεις. Καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον· καὶ ἀλέκτωρ ἐφώνησε.

68 Ille autem negavit, dicens: Non novi, neque scio quid tu dicis. Et exiit foras in vestibulum: et gallus cantavit.

69 Καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν, πάλιν ἤρξατο λέγειν τοῖς παρεστηκόσιν· Ὅτι οὗτος ἐξ αὐτῶν ἐστιν.

69 Et ancilla videns eum rursum, cœpit dicere æstantibus: Quia hic ex illis est.

70 Ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ· Ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει.

70 Ille autem iterum negavit. Et post pusillum rursus adstantes dicebant Petro: Verè ex illis es: Etenim Galilæus es, et loquutio tua similat.

71 Ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε.

71 Ille autem cœpit anathematizare et jurare: Quia non novi hominem istum, quem dicitis.

72 Καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε· καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος ὃ εἶπεν αὐτῷ ὁ Ἰησοῦς·

72 Et ex secundo gallus cantavit: Et recordatus est Petrus verbi quod dixerat ei Jesus·

Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς. Καὶ ἐπιβαλὼν, ἔκλαιε.

Quod ante gallum vociferari bis, negabis me ter. Et adjiciens flevit.

Κεφ. ιέ. 15.

CAPUT XV

1 Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν, καὶ παρέδωκαν τῷ Πιλάτῳ.

1 ET confestim in mane consilium facientes summi Sacerdotes cum senioribus et Scribis, et universus confessus, vincientes Jesum abduxerunt, et tradiderunt Pilato.

2 Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτῷ· Σὺ λέγεις.

2 Et interrogavit eum Pilatus: Tu es rex Judæorum? Ille autem respondens ait illi: Tu dicis.

3 Καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο.

3 Et accusabant eum summi Sacerdotes multa.

4 Ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτὸν, λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου καταμαρτυροῦσιν.

4 At Pilatus rursum interrogavit eum, dicens: Non respondes quicquam? vide quanta te adversum testantur.

5 Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλάτον.

5 At Jesus amplius nihil respondit: ita ut miraretur Pilatus.

6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο.

6 Juxta verò festum solvebat illis unum vinctum, quemcumque petiissent.

7 Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν.

7 Erat autem dictus Barabbas cum seditiosis vinctus, qui in seditione homicidium fecerant.

8 Καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς.

8 Et vociferata turba, cœpit postulare, sicut semper faciebat illis.

9 Ὁ δὲ Πιλάτος ἀπεκρίθη αὐτοῖς, λέγων· Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;

9 At Pilatus respondit eis, dicens: Vultis absolvam vobis regem Judæorum?

10 Ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.

10 Sciebat enim quod per invidiam tradidissent eum summi Sacerdotes.

11 Οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς.

11 At summi Sacerdotes concitaverunt turbam, ut magis Barabbam absolveret eis.

12 Ὁ δὲ Πιλάτος ἀποκριθεὶς,

12 At Pilatus respondens

πάλιν εἶπεν αὐτοῖς· Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων ;

13 Οἱ δὲ πάλιν ἔκραξαν· Σταύρωσον αὐτόν.

14 Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς· Τί γὰρ κακὸν ἐποίησεν ; οἱ δὲ περισσοτέρως ἔκραξαν· Σταύρωσον αὐτόν.

15 Ὁ δὲ Πιλάτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· καὶ παρέδωκε τὸν Ἰησοῦν, φραγελλώσας, ἵνα σταυρωθῇ.

16 Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν.

17 Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον.

18 Καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· Χαίρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.

19 Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ· καὶ τιθέντες τὰ γόνατα, προσεκύνουν αὐτῷ.

20 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ ἐξάγουσιν αὐτὸν, ἵνα σταυρώσωσιν αὐτόν.

21 Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

22 Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον, κρανίου τόπος.

23 Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· Ὁ δὲ οὐκ ἔλαβε.

24 Καὶ σταυρώσαντες αὐτὸν,

iterum ait illis : Quid ergo vultis faciam quem dicitis regem Judæorum ?

13 Illi autem iterum clamaverunt : Crucifige eum.

14 At Pilatus dicebat illis · Quid enim malum fecit ? Illi autem abundantius clamabant : Crucifige eum.

15 At Pilatus volens populo sufficiens facere, absolvit illis Barabbam, et tradidit Jesum flagellans, ut crucifigeretur.

16 At milites abduxerunt eum intra aulam, quod est prætorium : et convocant totam cohortem :

17 Et induunt eum purpuram, et circumponunt ei plectentes spineam coronam.

18 Et cœperunt salutare eum, et dicere : Gaude rex Judæorum.

19 Et percutiebant ejus caput arundine, et conspuebant eum, et ponentes genua adorabant eum.

20 Et postquam illuserunt ei, exuerunt illum purpuram, et induerunt eum vestimenta propria : et educunt illum, ut crucifigerent eum.

21 Et angariant prætereuntem quempiam Simonem Cyrenæum, venientem ex agro, patrem Alexandri et Rufi, ut portaret crucem ejus.

22 Et perducunt illum in Golgotha locum : quod est interpretatum, Calvariæ locus.

23 Et dabant ei bibere myrrhatum vinum : is verò non accepit.

24 Et crucifigentes eum, di

διεμέριζον τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρῃ.

25 Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν.

26 Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

27 Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστὰς· ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ.

28 Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· " Καὶ μετὰ ἀνόμων ἐλογίσθη."

29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Οὐὰ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν·

30 Σῶσον σεαυτὸν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ.

31 Ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους, μετὰ τῶν γραμματέων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.

32 Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν.

33 Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐνάτης.

34 Καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἐλωΐ, Ἐλωΐ, λεμᾶ σαβαχθανί; ὅ ἐστι μεθερμηνευόμενον· Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες;

35 Καί τινες τῶν παρεστηκότων ἀκούσαντες, ἔλεγον· Ἰδοὺ, Ἠλίαν φωνεῖ.

36 Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλά-

viserunt vestimenta ejus, mittentes sortem super eis, quis quid tolleret.

25 Erat autem hora tertia, et crucifixerunt eum.

26 Et erat inscriptio causæ ejus inscripta : REX JUDÆORUM.

27 Et cum eo crucifigunt duos latrones : unum à dextris, et unum à sinistris ejus.

28 Et impleta est scriptura dicens : Et cum iniquis reputatus est.

29 Et prætereuntes blasphemabant eum, moventes capita sua, et dicentes : Vah destruens templum, et in tribus diebus ædificans :

30 Serva temetipsum, et descende de cruce.

31 Similiter et summi Sacerdotes illudentes, ad alteru trum cum Scribis dicebant : Alios servavit, seipsum non potest servare.

32 Christus rex Israël descendat nunc de cruce, ut videamus et credamus. Et concrucifixi ei exprobrabant ei.

33 Facta autem hora sexta, tenebræ factæ sunt per totam terram, usque in horam nonam.

34 Et hora nona exclamavit Jesus voce magna, dicens : Eloi, Eloi, lama sabachthani? quod est interpretarum, Deus meus, Deus meus, in quid me dereliquisti?

35 Et quidam æstantium audientes, dicebant : Ecce Eliam vocat.

36 Currens autem unus et implens spongiam aceto, cir

μῳ, ἐπάτιζεν αὐτὸν, λέγων· Ἄφετε, ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν.

37 Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσε.

38 Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω.

39 Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν Θεοῦ.

40 Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι· ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη·

41 Αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

42 Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευὴ, ὅ ἐστι προσάββατον,

43 Ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

44 Ὁ δὲ Πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε.

45 Καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ.

46 Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν, ἐνείλησε τῇ σινδόνι· καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.

cumponensque calamo, potum dabat ei dicens: Sinite: videamus si veniat Elias detrahere eum.

37 At Jesus emittens vocem magnam, expiravit.

38 Et interexpansum templi scissum est in duo, à sursum usque deorsum.

39 Videns autem Centurio astans ex adverso ejus, quia sic clamans expirasset, ait: Vere homo hic filius erat Dei.

40 Erant autem et mulieres de longe spectantes: in quibus erat Maria Magdalene, et Maria Jacobi parvi, et Jose mater, et Salome.

41 Quæ et quum esset in Galilæa, sequebantur eum, et ministrabant ei: et aliæ multæ simul conscensæ ei in Hierosolymam.

42 Et jam sero facto, quia erat Parasceve, quod est ante Sabbatum.

43 Venit Joseph ab Arimathæa, honestus decurio, qui et ipse erat expectans regnum Dei, et ausus introivit ad Pilatum, et petit corpus Jesu.

44 At Pilatus mirabatur si jam mortuus fuisset: et advocans Centurionem, interrogavit eum si dudum mortuus esset.

45 Et cognoscens à Centurione, donavit corpus Joseph.

46 Et mercatus sindonem, et detrahens eum, involvit sindone · et posuit eum in monumento, quod erat excisum de petra: et advolvit lapidem ad ostium monumenti.

47 Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰωσῆ, ἐθεώρουν ποῦ τίθεται.

Κεφ. ις'. 16.

1 Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.

2 Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου.

3 Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου ;

4 Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.

5 Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξεθαμβήθησαν.

6 Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν.

7 Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.

8 Καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

9 Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια.

10 Ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι.

47 Et Maria Magdalene, et Maria Jose spectabant ubi poneretur.

CAPUT XVI.

1 Et peracto Sabbatho, Maria Magdalene, et Maria Jacobi, et Salome, emerunt aromata, ut venientes ungerent eum.

2 Et valdè manè unà Sabbatorum veniunt ad monumentum, exorto Sole.

3 Et dicebant ad sese : Quis revolvet nobis lapidem ab ostio monumenti ?

4 Et respicientes spectant quod devolutus esset lapis : Erat quippe magnus valde.

5 Et introeuntes in monumentum, viderunt juvenem sedentem in dextris, circumamictum stolam candidam : et ob stupuerunt.

6 Ille verò dicit illis : Ne expavescite : Jesum quæritis Nazarenum crucifixum : surrexit, non est hic : ecce locus ubi posuerunt eum.

7 Sed ite, dicite discipulis ejus, et Petro, quia præcedit vos in Galilæam : ibi eum videbitis, sicut dixit vobis.

8 Et exeuntes fugerunt a monumento : tenebat autem eas tremor et stupor : et nemini nihil dixerunt : timebant enim.

9 Resurgens autem Jesus manè primâ Sabbati, apparuit primum Mariæ Magdalenæ, ex qua ejecerat septem dæmonia.

10 Illa profecta nuntiavit his cum eo existentibus, lugentibus et stentibus.

11 Κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν.

12 Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν.

13 Κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς, οὐδὲ ἐκείνοις ἐπίστευσαν.

14 Ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν· ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν.

15 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει.

16 Ὁ πιστεύσας καὶ βαπτισθείς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται.

17 Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς·

18 ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν.

19 Ὁ μὲν οὖν Κύριος, μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ.

20 Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. **Ἀμήν.**

11 Et illi audientes quia vivet, et visus esset ab ea non crediderunt.

12 Post autem hæc duobus ex ipsis deambulantibus apparuit in alia forma, euntibus in agrum.

13 Et illi abeuntes nunciaverunt reliquis: nec illis crediderunt.

14 Posterius recumbentibus illis undecim apparuit, et exprobravit incredulitatem, eorum, et duritiam cordis: quia videntibus eum exsuscitatum non crediderunt.

15 Et dixit eis: Euntes in mundum universum, prædicate Euangelium omni creaturæ.

16 Credens et baptizatus salvabitur: at non credens condemnabitur.

17 Signa autem credentibus hæc sequentur: in nomine meo dæmonia ejicient: Linguis loquentur novis:

18 Serpentes tollent: Et si mortiferum quid biberint, non eis nocebit: Super ægros manus imponent, et pulchrè habebunt.

19 Quidem igitur Dominus post loqui eis, assumptus est in cælum, et sedit à dextris Dei.

20 Illi autem egressi prædicaverunt ubique, Domino cooperante, et sermonem confirmante per subsequentia signa.

ΤΟ ΚΑΤΑ

ΛΟΥΚΑΝ

ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφ. ά. 1.

1 ΕΠΕΙΔΗΠΕΡ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων,

2 Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου·

3 Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε·

4 Ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν.

5 ΕΓένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις, ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ.

6 Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι·

7 Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν.

8 Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ,

9 Κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου.

EUANGELIUM

SECUNDUM

LUCAM.

CAPUT I.

1 QUONIAM multi conati sunt reordinare narrationem de impletis in nobis rebus.

2 Sicut tradiderunt nobis ab initio ipsi oculati, et ministri existentes sermonis,

3 Visum est et mihi assequuto altius omnia diligenter, secundum ordinem tibi scribere, optime Theophile.

4 Ut agnoscas de quibus instructus es sermonum firmitudinem.

5 FACTUM est in diebus Herodis regis Judææ, Sacerdos quidam nomine Zacharias, ex vice Abia: et uxor illius ex filiabus Aaron, et nomen ejus Elisabet.

6 Erant autem justi ambo ante Deum, incedentes in omnibus mandatis et justificationibus Domini irreprehensibiles.

7 Et non erat illis natus, eo quod Elisabet erat sterilis, et ambo profecti in diebus suis erant.

8 Factum est autem in Sacerdotio fungendo ipsum in ordine vicis suæ ante Deum,

9 Secundum consuetudinem Sacerdotii, fortitus est suffire, ingressus in templum Domini.

10 Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος.

11 Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.

12 Καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν.

13 Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· Μὴ φοβοῦ Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην.

14 Καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γενέσει αὐτοῦ χαρήσονται·

15 Ἔσται γὰρ μέγας ἐνώπιον Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ.

16 Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν.

17 Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.

18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον, Κατὰ τί γνώσομαι τοῦτο ; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.

19 Καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα.

20 Καὶ ἰδοὺ, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ

10 Et omnis multitudo populi erat orans foris horâ incensi.

11 Visus est autem illi angelus Domini, stans à dextris altaris incensi.

12 Et turbatus est Zacharias videns : et timor incidit in eum

13 Ait autem ad illum angelus : Ne timeas Zacharia · quoniam exaudita est pertitio tua : et uxor tua Elisabet gignet filium tibi, et vocabis nomen ejus Joannem.

14 Et erit gaudium tibi et exultatio, et multi in nativitate ejus gaudebunt.

15 Erit enim magnus coram Domino, et vinum et siceram non bibet, et Spiritu sancto replebitur adhuc ex utero matris suæ.

16 Et multos filiorum Israël convertet ad Dominum Deum ipsorum.

17 Et ipse præcedet ante illum in spiritu et virtute Eliæ, convertere corda patrum in natos, et insuasibiles in prudentiam justorum, parare Domino plebem expeditam.

18 Et dixit Zacharias ad angelum : Juxta quid sciam hoc ? ego enim sum senex, et uxor mea provecta in diebus suis.

19 Et respondens angelus dixit ei : Ego sum Gabriel astans ante Deum : et missus sum loqui ad te, et euangelizare tibi hæc.

20 Et ecce eris tacens, et non potens loqui usque quo die fiant hæc, pro quibus non cre

ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.

21 Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ.

22 Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς· καὶ διέμεινε κωφός.

23 Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

24 Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα·

25 Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.

26 Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲτ,

27 Πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβὶδ· καὶ τὸ ὄνομα τῆς παρθένου, Μαριάμ.

28 Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε· Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετά σου· εὐλογημένη σὺ ἐν γυναιξίν.

29 Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς ὗτος.

30 Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· Μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ·

31 Καὶ ἰδοὺ, συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ.

32 Οὗτος ἔσται μέγας, καὶ υἱὸς

didisti verbis meis, quæ implebuntur in tempus ipsorum.

21 Et erat plebs expectans Zachariam: et mirabantur in tardare ipsum in templo.

22 Egressus autem non poterat loqui illis: et cognoverunt quod visionem vidisset in templo: Et ipse erat innuens illis: et permansit mutus.

23 Et factum est, ut impleti sint dies ministrationis ejus, abiit in domum suam.

24 Post autem hos dies concepit Elisabet uxor ejus, et occultabat seipsam menses quinque, dicens:

25 Quia sic mihi fecit Dominus in diebus, quibus inspexit auferre opprobrium meum in hominibus.

26 In autem mense sexto missus est angelus Gabriel à Deo in civitatem Galilææ, cui nomen Nazaret,

27 Ad virginem desponsatam viro, cui nomen Joseph, de domo David: et nomen virginis Maria.

28 Et ingressus angelus ad eam, dixit: Gaude gratiâ plena: Dominus cum te: benedicta tu in mulieribus.

29 Illa verò videns perturbata est in sermone ejus: et ratiocinabatur qualis esset salutatio ista.

30 Et ait angelus ei: Ne pave Maria: invenisti enim gratiam apud Deum.

31 Et ecce concipies in utero et paries filium, et vocabis nomen ejus Jesum.

32 Hic erit magnus, et filius

ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.

33 Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.

34 Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;

35 Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ.

36 Καὶ ἰδοὺ, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνείληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ ἕτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ.

37 Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

38 Εἶπε δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.

39 Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα.

40 Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ.

41 Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ·

42 Καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

43 Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με;

Altissimi vocabitur: et dabit illi Dominus Deus sedem David Patris ejus.

33 Et regnabit in domo Jacob in æternum, et regni ejus non erit finis.

34 Dixit autem Maria ad angelum: Quomodo erit istud, quoniam virum non cognosco?

35 Et respondens angelus dixit ei: Spiritus sanctus superveniet super te, et efficientia Altissimi obumbrabit tibi: Ideoque natum ex te Sanctum, vocabitur Filius Dei.

36 Et ecce Elisabet cognata tua, et ipsa concepit filium in senectute sua: et hic mensis sextus est illi vocatæ sterili.

37 Quia non erit impossibile apud Deum omne verbum.

38 Dixit autem Maria: Ecce ancilla Domini: fiat mihi secundum verbum tuum. Et discessit ab illa angelus.

39 Exurgens autem Maria in diebus illis, abiit in montanam cum festinatione in civitatem Juda:

40 Et intravit in domum Zachariæ, et salutavit Elisabet.

41 Et factum est, ut audivit Elisabet salutationem Mariæ, exultavit infans in utero ejus. et repleta est Spiritu sancto Elisabet.

42 Et exclamavit voce magnâ, et dixit: Benedicta tu in mulieribus, et benedictus fructus uteri tui.

43 Et unde mihi hoc, ut veniat mater Domini mei ad me?

44 Ἰδοὺ γὰρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου.

45 Καὶ μακαρία ἡ πιστεύσασα· ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.

46 Καὶ εἶπε Μαριὰμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον·

47 Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου·

48 Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

49 Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ·

50 Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν.

51 Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν·

52 Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς·

53 Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

54 Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους,

55 Καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.

56 Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς· καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

57 Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν· καὶ ἐγέννησεν υἱόν.

58 Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς· καὶ συνέχαιρον αὐτῇ.

44 Ecce enim, ut facta est vox salutationis tuæ in aures meas, exultavit infans in gaudio in utero meo.

45 Et beata credens : quod erit perfectio effatis ei à Domino.

46 Et ait Maria : Magnificat anima mea Dominum :

47 Et exultavit spiritus meus in Deo salutari meo :

48 Quia respexit in humilitatem ancillæ suæ : ecce enim ex hoc nunc beatam dicent me omnes generationes.

49 Quia fecit mihi magna potens, et sanctum nomen ejus.

50 Et misericordia ejus in generationes generationum timentibus eum.

51 Fecit robur in brachio suo : dissipavit superbos cogitatione cordis eorum.

52 Detraxit potentes de thronis, et exultavit humiles.

53 Esurientes implevit bonis, et divites dimisit inanes.

54 Suscepit Israël puerum suum, memorari misericordiæ.

55 Sicut loquutus est ad patres nostros, Abraham, et semini ejus in seculum.

56 Mansit autem Maria cum illa quasi menses tres : et reversa est in domum suam.

57 Verum Elisabet impletum est tempus parere ipsam. et genuit filium.

58 Et audierunt vicini et cognati ejus, quia magnificavit Dominus misericordiam suam cum illa : et congratulabantur ei.

59 Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν.

60 Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν, Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης.

61 Καὶ εἶπον πρὸς αὐτὴν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.

62 Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ, τί ἂν θέλοι καλεῖσθαι αὐτόν.

63 Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες.

64 Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν.

65 Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα.

66 Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ.

67 Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου, καὶ προεφήτευσε, λέγων·

68 Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ· ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ·

69 Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ.

70 Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ,

71 Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς·

72 Ποιῆσαι ἔλεος μετὰ τῶν πα-

59 Et factum est in octavo die venerunt circumcidere puerum, et vocabant eum in nomine patris sui, Zachariam.

60 Et respondens mater ejus, dixit: Nequaquam: sed vocabitur Joannes.

61 Et dixerunt ad illam: Quia nemo est in cognatione tua, qui vocetur nomine hoc.

62 Innuebant autem patri ejus, quid vellet vocari eum.

63 Et postulans tabellam, scripsit, dicens: Joannes est nomen ejus. Et mirati sunt universi.

64 Apertum est autem os ejus illico, et lingua ejus: et loquebatur benedicens Deum.

65 Et factus est super omnes timor vicinos eorum: et in omni montana Judææ divulgabantur omnia verba hæc.

66 Et posuerunt omnes audientes in corde suo, dicentes: Quisnam puerulus iste erit? Et manus Domini erat cura illo.

67 Et Zacharias pater ejus repletus est Spiritu sancto: et prophetavit, dicens:

68 Benedictus Dominus Deus Israël: quia visitavit et fecit redemptionem plebi suæ.

69 Et erexit cornu salutis nobis in domo David pueri sui:

70 Sicut loquutus est per os sanctorum à seculo Prophetarum ejus,

71 Salutem ex inimicis nostris, et de manu omnium odio habentium nos.

72 Facere misericordiam cum

τέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

73 Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν,

74 Ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ,

75 Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

76 Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ·

77 Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν·

78 Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους·

79 Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθύναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

80 Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

patribus nostris, et memorari testamenti sancti sui.

73 Jusjurandum quod juravit ad Abraham patrem nostrum, dare nobis,

74 Impavide ex manu inimicorum nostrorum liberatos, servire illi,

75 In sanctitate et justitia coram, ipso, omnes dies vitæ nostræ.

76 Et tu puer Propheta Altissimi vocaberis : præibis enim ante faciem Domini, parare vias ejus :

77 Ad dandam scientiam salutis plebi ejus, in remissione peccatorum eorum.

78 Per viscera misericordiæ Dei nostri, in quibus visitavit nos oriens ex alto :

79 Apparere in tenebris et umbra mortis sedentibus, dirigere pedes nostros in viam pacis.

80 At puerulus crescebat et corroborabatur spiritu : et erat in desertis usque in diem ostensionis suæ ad Israël.

Κεφ. β'. 2.

1 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην.

2 Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου.

3 Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν.

4 Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεὲμ, διὰ τὸ

CAPUT II.

1 FACTUM est autem in diebus illis, exiit edictum à Cæsare Augusto, describi omnem habitatam.

2 Hæc descriptio prima facta est præside Syriæ Cyrenio

3 Et ibant omnes describi, unusquisque in propriam civitatem.

4 Ascendit autem et Joseph à Galilæa, ex civitate Nazaret, in Judæam, in civitatem David, quæ vocatur Bethle-

εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ,

5 Ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ.

6 Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι οὗ τεκεῖν αὐτήν.

7 Καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

8 Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν·

9 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν.

10 Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ,

11 Ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ.

12 Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φατνῃ.

13 Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων·

14 Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

15 Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν.

hem, propter esse ipsum ex domo et familia David,

5 Describi cum Maria desponsata sibi uxore, existente prægnante.

6 Factum est autem in esse eos ibi, impleti sunt dies parere ipsam.

7 Et peperit filium suum primogenitum, et fasciavit eum, et reclinavit eum in præsepi : quia non erat eis locus in diversorio.

8 Et pastores erant in regione eadem in agro agentes, et custodientes custodias noctis super gregem suum.

9 Et ecce angelus Domini adstitit eis, et gloria Domini circumfulsit illos : et timuerunt timore magno.

10 Et dixit illis angelus : Ne pavete : Ecce enim euangelizo vobis gaudium magnum, quod erit omni populo.

11 Quia natus est vobis hodie Salvator, qui est Christus Dominus, in civitate David.

12 Et hoc vobis signum : Invenietis infantem fasciatum, jacentem in præsepio.

13 Et subito facta est cum angelo multitudo exercitus cælestis, laudantium Deum, et dicentium :

14 Gloria in altissimis Deo : et in terra pax, in hominibus beneplacitum.

15 Et factum est, ut discesserunt ab eis in cælum angeli, et homines pastores dicebant ad invicem : Transeamus jam usque in Bethlehem, et videamus verbum hoc factum, quod Dominus ostendit nobis

16 Καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ.

17 Ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.

18 Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.

19 Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.

20 Καὶ ὑπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

21 Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτὸν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.

22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ,

23 Καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· "Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται·

24 Καὶ τοῦ δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν."

25 Καὶ ἰδοὺ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος ἦτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τῆς Ἰσραήλ· καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν.

26 Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου,

16 Et venerunt festinantes, et invenerunt et Mariam et Joseph, et infantem jacentem in præsepio.

17 Videntes autem cognoverunt de verbo dicto illis de puerulo hoc.

18 Et omnes audientes mirati sunt de dictis à pastoribus ad ipsos.

19 At Maria omnia conservabat verba hæc, conjiciens in corde suo.

20 Et reversi sunt pastores, glorificantes et laudantes Deum in omnibus quæ audierant et viderant, sicut dictum est ad illos.

21 Et quando impleti sunt dies octo circumcidendi puerulum, et vocatum est nomen ejus JESUS, vocatum ab angelo ante concipi eum in utero.

22 Et quum impleti sunt dies purgationis eorum, secundum legem Mosi, tulerunt illum in Hierusalem, sistere Domino :

23 Sicut scriptum est in lege Domini : Quia omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur :

24 Et dare hostiam, secundum dictum in lege Domini, par turturum, aut duos pullos columbarum.

25 Et ecce erat homo in Hierusalem, cui nomen Simeon : et homo iste justus et religiosus, expectans consolationem Israël : et Spiritus sanctus erat super eum.

26 Et erat ei responsum à Spiritu sancto, non videre mor-

μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου.

27 Καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ,

28 Καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεὸν, καὶ εἶπε·

29 Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ·

30 Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου,

31 Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·

32 Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

33 Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ.

34 Καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον.

35 Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

36 Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσὴρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς.

37 Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν.

38 Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ,

tem, prius quam videret Christum Domini.

27 Et venit in spiritu in templum. Et in inferre parentes puerum Jesum, ad facere ipsos secundum consuetum Legis circa eum :

28 Et ipse accepit eum in ulnas suas, et benedixit Deum, et dixit :

29 Nunc dimittis servum tuum Domine, secundum verbum tuum, in pace :

30 Quia viderunt oculi mei Salutare tuum,

31 Quod parasti ante faciem omnium populorum :

32 Lumen ad revelationem Gentium, et gloriam plebis tuæ Israël.

33 Et erat Joseph et mater ejus mirantes super dictis de illo.

34 Et benedixit illis Simeon, et dixit ad Mariam matrem ejus : Ecce hic jacet in casum et resurrectionem multorum in Israël, et in signum contradictum.

35 Et tuam verò ipsius animam pertransibit gladius : ut revelentur ex multis cordibus ratiocinationes.

36 Et erat Anna prophetissa, filia Phanuel, ex tribu Aser : hæc progressa in diebus multis, vivens annos cum viro septem à virginitate sua.

37 Et hæc vidua quasi anno rum octoginta quatuor : quæ non discedebat à templo, jejuniis et obsecrationibus serviens nocte ac die.

38 Et illa hac ipsa hora superveniens vicissim confiteba-

καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλήμ.

39 Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ.

40 Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἰερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα.

42 Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἰερουσόλυμα, κατὰ τὸ ἔθος τῆς ἑορτῆς·

43 Καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἰερουσαλὴμ· καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ.

44 Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδὸν, καὶ ἀνεζήτεν αὐτὸν ἐν τοῖς συγγενέσι, καὶ ἐν τοῖς γνωστοῖς.

45 Καὶ μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ, ζητοῦντες αὐτόν.

46 Καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς.

47 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.

48 Καὶ ἰδόντες αὐτὸν, ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν ἕτως; ἰδοὺ, ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

49 Καὶ εἶπε πρὸς αὐτούς· Τί

tur Domino, et loquebatur de illo omnibus expectantibus redemptionem in Hierusalem.

39 Et ut perfecerunt omnia quæ secundum legem Domini, reversi sunt in Galilæam in civitatem suam Nazaret.

40 At puer crescebat, et corroborabatur spiritu, plenus sapientia : et gratia Dei erat in illo.

41 Et ibant parentes ejus per annum in Hierusalem festo Paschæ.

42 Et quum factus esset annorum duodecim, ascendentibus illis in Hierosolyma, secundum consuetudinem festi,

43 Et consummantibus dies, in reverti ipsos, remansit Jesus puer in Hierusalem : et non cognovit Joseph et mater ejus

44 Existimantes autem illum in comitatu esse, venerunt dici iter : et requirebant eum in cognatis, et in notis.

45 Et non invenientes eum, regressi sunt in Hierusalem, quærentes eum.

46 Et factum est, post dies tres invenerunt illum in templo sedentem in medio doctorum, et audientem illos, et interrogantem eos.

47 Stupebant autem omnes audientes eum, super intelligentia et responsis ejus.

48 Et videntes ipsum, attoniti fuerunt : et ad illum mater ejus dixit : Fili, quid fecisti nobis sic ? ecce pater tuus et ego dolentes quærebamus te.

49 Et ait ad illos : Quid

ὅτι ἐζητεῖτέ με ; οὐκ ἤδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με ;

50 Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.

51 Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς.

52 Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

quod quærebatis me ? nesciebatis quia in his Patris mei oportet esse me ?

50 Et ipsi non intellexerunt verbum, quod loquutus est ad eos.

51 Et descendit cum eis, et venit in Nazaret : et erat subditus illis. Et mater ejus conservabat omnia verba hæc in corde suo.

52 Et Jesus proficiebat sapientia et ætate, et gratia apud Deum et homines.

Κεφ. γ'. 3.

1 Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος,

2 Ἐπ' ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ.

3 Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν·

4 Ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος· " Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

5 Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ τραχεῖαι εἰς ὁδὸς λείας·

6 Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ "

CAPUT III.

1 In anno autem quinto decimo imperii Tiberii Cæsaris, præsidente Pontio Pilato Judææ, et tetrarcha Galilææ Herode, Philippo autem fratre ejus tetrarcha Iturææ, et Trachonitidis regionis, et Lysania Abilenæ tetrarcha,

2 Sub principibus Sacerdotum Anna et Cajapha, factum est verbum Dei ad Joannem Zachariæ filium in deserto.

3 Et venit in omnem circa regionem Jordanis, prædicans baptismum pœnitentiæ in remissionem peccatorum :

4 Sicut scriptum est in libro sermonum Esaiæ prophetæ, dicentis : Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus.

5 Omnis vallis implebitur, et omnis mons et collis humiliabitur : et erunt prava in directam, et asperæ in vias planas :

6 Et videbit omnis caro Salutare Dei.

7 Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;

8 Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

9 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· Τί οὖν ποιήσομεν;

11 Ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω.

12 Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτὸν· Διδάσκαλε, τί ποιήσομεν;

13 Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.

14 Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

15 Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός,

16 Ἀπεκρίνατο ὁ Ἰωάννης, ἅπασι λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς

7 Dicebat ergo exeuntibus turbis baptizari ab ipso: Genimina viperarum, quis ostendit vobis fugere à ventura ira?

8 Facite ergo fructus dignos pœnitentiæ, et ne cœperitis dicere in vobis ipsis: Patrem habemus Abraham. Dico enim vobis, quia potest Deus de lapidibus istis suscitare filios Abrahæ.

9 Jam vero et securis ad radicem arborum posita est: Omnis ergo arbor non faciens fructum pulchrum exciditur, et in ignem mittitur.

10 Et interrogabant eum turbæ, dicentes: Quid ergo faciemus?

11 Respondens autem, dicebat illis: Habens duas tunicas, tradat non habenti: et habens escas similiter faciat.

12 Venerunt autem et publicani baptizari, et dixerunt ad illum: Magister, quid faciemus?

13 Ille autem dixit ad eos. Nihil amplius præter constitutum vobis exigite.

14 Interrogabant autem eum et milites, dicentes: Et nos quid faciemus? Et ait ad eos: Neminem concutiatis, neque calumniemini: et contenti estote stipendiis vestris.

15 Expectante autem populo, et ratiocinantibus omnibus in cordibus suis de Joanne, ne forte ipse esset Christus,

16 Respondit Joannes omnibus dicens: Ego quidem aqua baptizo vos: venit autem fortior me, cujus non sum dignus

λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί·

17 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ· τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

18 Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν.

19 Ὁ δὲ Ἡρῴδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος τῆς γυναικὸς Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρῴδης,

20 Προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

21 Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος, καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανὸν,

22 Καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει, ὡσεὶ περιστερὰν, ἐπ' αὐτὸν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν· Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα.

23 Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος, ὢν ὡς ἐνομίζετο υἱὸς Ἰωσὴφ, τοῦ Ἡλὶ,

24 Τοῦ Ματθὰτ, τοῦ Λευὶ, τοῦ Μελχὶ, τοῦ Ἰαννὰ, τοῦ Ἰωσὴφ,

25 Τοῦ Ματταθίου, τοῦ Ἀμὼς, τοῦ Ναοὺμ, τοῦ Ἐσλὶ, τοῦ Ναγγαὶ,

26 Τοῦ Μαὰθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ, τοῦ Ἰωσὴφ, τοῦ Ἰούδα,

27 Τοῦ Ἰωαννὰ, τοῦ Ῥησὰ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιὴλ, τοῦ Νηρὶ,

28 Τοῦ Μελχὶ, τοῦ Ἀδδὶ, τοῦ Κωσὰμ, τοῦ Ἐλμωδὰμ, τοῦ Ἤρ,

solvere corrigiam calceamentorum ejus : ipse vos baptizabit in Spiritu sancto, et igni.

17 Cujus ventilabrum in manu ejus, et perpurgabit aream suam, et congregabit triticum in horreum suum : at paleam comburet igni inextinguibili.

18 Multa quidem igitur et alia exhortans evangelizabat populum

19 At Herodes tetrarcha, correptus ab illo de Herodiade uxore fratris sui Philippi, et de omnibus quæ fecit malis Herodes.

20 Adjecit et hoc super omnia, et inclusit Joannem in carcerem.

21 Factum est autem in baptizari omnem populum, et Jesu baptizato, et orante, apertum esse cælum :

22 Et descendisse Spiritum sanctum corporali specie sicut columbam in ipsum : et vocem de cælo fieri, dicentem : Tu es filius meus dilectus : in te complacui mihi.

23 Et ipse erat Jesus quasi annorum triginta incipiens existens, ut existimabatur filius Joseph, Heli,

24 Matthat, Levi, Melchi, Janna, Joseph,

25 Mattathiæ, Amos, Naum Esli, Nange,

26 Mahath, Mattathiæ, Semei, Joseph, Juda,

27 Joanna, Resa, Zorobabel, Salathiel, Neri,

28 Melchi, Addi, Cosam, Elmodam, Er.

29 Τοῦ Ἰωσὴ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρεὶμ, τοῦ Ματθὰτ, τοῦ Λευΐ,
30 Τοῦ Συμεὼν, τοῦ Ἰούδα, τοῦ Ἰωσὴφ, τοῦ Ἰωνὰν, τοῦ Ἐλιακεὶμ,
31 Τοῦ Μελεᾶ, τοῦ Μαϊνὰν, τοῦ Ματταθὰ, τοῦ Ναθὰν τοῦ Δαβὶδ,
32 Τοῦ Ἰεσσαὶ, τοῦ Ὠβὴδ, τοῦ Βοὸζ, τοῦ Σαλμὼν, τοῦ Ναασσὼν,
33 Τοῦ Ἀμιναδὰβ, τοῦ Ἀρὰμ, τοῦ Ἐσρὼμ, τοῦ Φαρὲς, τοῦ Ἰούδα,
34 Τοῦ Ἰακὼβ, τοῦ Ἰσαὰκ τοῦ Ἀβραὰμ, τοῦ Θάρα, τοῦ Ναχὼρ,
35 Τοῦ Σερούχ, τοῦ Ῥαγαῦ, τοῦ Φαλὲκ, τοῦ Ἑβὲρ, τοῦ Σαλὰ,
36 Τοῦ Καϊνὰν, τοῦ Ἀρφαξὰδ, τοῦ Σὴμ, τοῦ Νῶε, τοῦ Λάμεχ,
37 Τοῦ Μαθουσάλα, τοῦ Ἐνὼχ, τοῦ Ἰαρὲδ, τοῦ Μαλελεὴλ, τοῦ Καϊνὰν,
38 Τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδὰμ, τοῦ Θεοῦ.

29 Jesu, Eliezer, Jorim Matthat, Levi,
30 Simeon, Juda, Joseph, Jonan, Eliacim,
31 Melea, Menan, Mattatha, Nathan, David,
32 Jesse, Obed, Booz, Salmon, Naasson,
33 Aminadab, Aram, Esrom, Phares, Judæ,
34 Jacob, Isaac, Abrahæ, Thare, Nachor,
35 Saruch, Ragau, Phalee, Eber, Salæ,
36 Cainan, Arphaxad, Sem, Noë, Lamech,
37 Mathusalæ, Enoch, Jared, Malaleel, Cainan,
38 Enos, Seth, Adam, Dei.

Κεφ. δ'. 4.

1. Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον,
2 Ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου. Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον ἐπείνασεν.
3 Καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.
4 Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν, λέγων· Γέγραπται· "Ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ"

CAPUT IV.

1 JESUS autem plenus Spiritu sancto regressus est à Jordane : et agebatur in Spiritu in desertum,
2 Diebus quadraginta tentatus à diabolo : Et non manducavit quicquam in diebus illis : et consummatis illis, postea esuriit.
3 Et dixit illi diabolus : Si filius es Dei, dic lapidi huic ut fiat panis.
4 Et respondit Jesus ad illum, dicens : Scriptum est Quia non in pane solo vivet homo, sed in omni verbo Dei

5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν, ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου,

6 Καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω, δίδωμι αὐτήν.

7 Σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πάσα.

8 Καὶ ἀποκριθεὶς αὐτῷ, εἶπεν ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου σατανᾶ· γέγραπται γάρ, Προσκυνήσεις Κύριον τὸν Θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

9 Καὶ ἤγαγεν αὐτὸν εἰς Ἰερουσαλὴμ, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω·

10 Γέγραπται γάρ, "Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σου, τοῦ διαφυλάξαι σε·

11 Καὶ ὅτι ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου."

12 Καὶ ἀποκριθεὶς, εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ὅτι εἴρηται· "Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου."

13 Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ.

14 Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ.

15 Καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.

16 Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, ὅ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγὴν, καὶ ἀνέστη ἀναγνῶναι.

5 Et subducens illum diabolus in montem excelsum, ostendit illi omnia regna habitatæ in puncto temporis.

6 Et ait illi diabolus : Tibi dabo auctoritatem hanc universam, et gloriam illorum : quia mihi tradita est, et cui volo, do eam.

7 Tu ergo si adoraveris coram me, erunt tua omnia.

8 Et respondens illi dixit Jesus : Abscede retro me satana : Scriptum est enim Adorabis Dominum Deum tuum, et illi soli servies.

9 Et duxit illum in Jerusalem, et statuit eum super pinnam templi : et dixit illi : Si filius es Dei, jace teipsum hinc deorsum.

10 Scriptum est enim, quod angelis suis mandabit de te, custodire te :

11 Et quia in manibus tollent te, ne forte offendas ad lapidem pedem tuum.

12 Et respondens ait illi Jesus : Quod dictum est : Non tentabis Dominum Deum tuum.

13 Et finiens omnem tentationem diabolus, recessit ab illo usque ad tempus.

14 Et regressus est Jesus in virtute Spiritus in Galilæam et fama exiit per universam circaregionem de illo :

15 Et ipse docebat in synagogis eorum, glorificatus ab omnibus.

16 Et venit in Nazaret, ubi erat nutritus : et intravit secundum consuetum sibi, in die Sabbatorum in synagogam : et surrexit legere.

17 Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου· καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον·

18 "Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς τυντετριμμένους τὴν καρδίαν,

19 Κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν."

20 Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ·

21 Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς· Ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.

22 Καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον· Οὐχ ὅτός ἐστιν ὁ υἱὸς Ἰωσήφ ;

23 Καὶ εἶπε πρὸς αὐτὸς· Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.

24 Εἶπε δὲ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ.

25 Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν·

26 Καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν.

17 Et traditus est illi liber Esaiæ prophetæ : Et explicans librum, invenit locum ubi erat scriptum :

18 Spiritus Domini super me, cujus gratia unxit me, euangelizare pauperibus misit me, sanare contritos corde,

19 Prædicare captivis remissionem, et cæcis restitutionem visus, ablegare confractos in remissione, prædicare annum Domini acceptum.

20 Et plicans librum, reddens ministro, sedit : Et omnium in synagoga oculi erant intendentes ei.

21 Cœpit autem dicere ad illos : Quia hodie impleta est scriptura hæc in auribus vestris.

22 Et omnes testificabantur ei, et mirabantur in verbis gratiæ, exeuntibus ex ore ipsius, et dicebant : Nonne hic est filius Joseph ?

23 Et ait ad illos : Omnino dicetis mihi similitudinem hanc · Medice, cura teipsum : quanta audivimus facta in Capernaum, fac et hic in patria tua.

24 Ait autem : Amen dico vobis, quia nemo Propheta acceptus est in patria sua.

25 In veritate dico vobis · Multæ viduæ erant in diebus Eliæ in Israël, quando clausum est cælum ad annos tres et menses sex, ut facta est fames magna in omnem terram :

26 Et ad nullam illarum missus est Elias, si non in Sarepta Sidonis, ad mulierem viduam.

27 Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προφήτου ἐν τῷ Ἰσραὴλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰ μὴ Νεεμὰν ὁ Σύρος.

28 Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα.

29 Καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν.

30 Αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

31 Καὶ κατῆλθεν εἰς Καπερναοὺμ πόλιν τῆς Γαλιλαίας· καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι·

32 Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ.

33 Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ,

34 Λέγων· Ἔα, τί ἡμῖν καὶ σοι Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.

35 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. Καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν.

36 Καὶ ἐγένετο θάμβος ἐπὶ πάντας· καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγοντες· Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται;

37 Καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.

38 Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμω-

27 Et multi leprosi erant sub Elisæo Propheta in Israël et nemo ex iis mundatus est, si non Neemah Syrus.

28 Et repleti sunt omnes ira in synagoga, audientes hæc.

29 Et surgentes ejecerunt illum extra civitatem : et duxerunt illum usque ad superciliu montis, super quem civitas illorum erat ædificata, ad præcipitandum eum.

30 Ipse autem transiens per medium illorum, profectus est.

31 Et descendit in Capernaum civitatem Galilææ : et erat docens illos in Sabbatis.

32 Et percellebantur in doctrina ejus : quia in auctoritate erat sermo ipsius.

33 Et in synagoga erat homo habens spiritum dæmonii immundi : et exclamavit voce magna,

34 Dicens : Sine, quid nobis et tibi Jesu Nazarene ? venisti perdere nos ? scio te quis sis, sanctus Dei.

35 Et objurgavit illum Jesus, dicens : Obmutesce, et exi ab eo. Et projiciens illum dæmonium in medium, exiit ab illo, nihil nocens ei.

36 Et factus est pavor in omnes : et colloquebantur ad invicem, dicentes : Quod verbum hoc, quia in auctoritate et efficacia imperat immundis spiritibus, et exeunt ?

37 Et exiit resonantia de illo in omnem locum circumregionis.

38 Surgens autem ex synagoga, introivit in domum Simo

νος· πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ· καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς·

39 Καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς.

40 Δύνοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς, ἐθεράπευσεν αὐτούς.

41 Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα· Ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. Καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι.

42 Γενομένης δὲ ἡμέρας, ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ ὄχλοι ἐζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ· καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν.

43 Ὁ δὲ εἶπε πρὸς αὐτοὺς, Ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ· ὅτι εἰς τοῦτο ἀπέσταλμαι.

44 Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας.

nis: Socrus autem Simonis erat detenta febri magna: et rogaverunt illum de ea.

39 Et adstans super illam, imperavit febri: et dimisit illam: continuo autem surgens ministrabat illis.

40 Occidente autem Sole, omnes quotquot habebant infirmos morbis variis, ducebant illos ad eum: Verùm unicuique ipsorum manus imponens, curabat eos.

41 Exibant autem et dæmonia à multis, clamantia et dicentia: Quia tu es Christus Filius Dei. Et increpans non sinebat ea loqui, quia sciebant Christum ipsum esse.

42 Facta autem die egressus ibat in desertum locum: et turbæ requirebant eum, et venerunt usque ad ipsum: et detinebant illum non proficisci ab eis.

43 Ille vero ait ad eos: Quia et aliis civitatibus euangelizare me oportet regnum Dei: quia ad hoc missus sum.

44 Et erat prædicans in synagogis Galilææ.

Κεφ. έ. 5.

1 Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ·

2 Καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ' αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα.

3 Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν

CAPUT V.

1 FACTUM est autem in eo turbam superjacere ei ad audiendum verbum Dei, et ipse erat stans juxta stagnum Genesaret.

2 Et vidit duo navigia stantia secus stagnum: at piscatores descendentes ex eis, abluebant retia.

3 Ascendens autem in unam navium, quæ erat Simonis, re-

ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.

4 Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.

5 Καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ· Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.

6 Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν,

7 Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.

8 Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε.

9 Θάμβος γὰρ περιέσχεν αὐτὸν, καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον·

10 Ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι, καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.

11 Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ.

12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ, ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

13 Καὶ ἐκτείνας τὴν χεῖρα,

gavit eum à terra reducere pusillum : Et sedens docebat ex navigio turbas.

4 Ut autem cessavit loquens, dixit ad Simonem : Reduc in altum, et laxate retia vestra in capturam.

5 Et respondens Simon dixit illi : Præceptor, per totam noctem laborantes, nihil cepimus : in autem verbo tuo laxabo rete.

6 Et hoc facientes conclu serunt multitudinem piscium multam : disrumpebatur autem rete eorum.

7 Et annuerunt sociis qui in alio navigio, ut venientes opitularentur ipsis : Et venerunt, et impleverunt ambo navigia, ita ut mergi ipsa.

8 Videns autem Simon Petrus, accidit genubus Jesu, dicens : Exi à me, quia homo peccator sum, Domine.

9 Stupor enim occupaverat eum, et omnes qui cum illo, in captura piscium, quam simul ceperant.

10 Similiter autem et Jacobum et Joannem filios Zebedæi, qui erant socii Simonis. Et ait ad Simonem Jesus : Ne time : ab hoc jam homines eris capiens.

11 Et subducentes navigia super terram, relinquentes omnia sequuti sunt eum.

12 Et factum est in esse ipsum in una civitatum, et ecce vir plenus lepra : et videns Jesum, procidens in faciem, rogavit eum, dicens : Domine, si vis, potes me mundare.

13 Et extendens manum

ἥψατο αὐτοῦ, εἰπών· Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ.

14 Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

15 Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ· καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν.

16 Αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος.

17 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων· καὶ ἦσαν καθήμενοι φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας, καὶ Ἰουδαίας, καὶ Ἱερουσαλήμ· καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.

18 Καὶ ἰδοὺ, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν, καὶ θεῖναι ἐνώπιον αὐτοῦ·

19 Καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν, διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ.

20 Καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ· Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

21 Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, λέγοντες· Τίς ἐστὶν οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ Θεός;

22 Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε

tetigit eum, dicens: Volo, mundare. Et confestim lepra discessit ab illo.

14 Et ipse præcepit illi nemini dicere: sed abiens ostende teipsum Sacerdoti, et offer pro emundatione tua, sicut præcepit Moses, in testimonium illis.

15 Perambulabat autem magis sermo de illo: et conveniebant turbæ multæ audire, et curari ab ipso ab infirmitatibus suis.

16 Ipse autem erat secedens in desertis, et orans.

17 Et factum est in una dierum, et ipse erat docens: Et erant sedentes Pharisæi et Legis doctores, qui erant venientes ex omni vico Galilææ, et Judææ, et Hierusalem: et efficacia Domini erat in sanare eos.

18 Et ecce viri ferentes in lecto hominem qui erat paralyticus: et quærebant eum inferre, et ponere ante eum.

19 Et non invenientes qua parte inferrent illum propter turbam, ascendentes super tectum, per tegulas summiserunt eum cum lectulo, in medium ante Jesum.

20 Et videns fidem eorum, dixit ei: Homo, remittuntur tibi peccata tua.

21 Et cœperunt raciocinari Scribæ et Pharisæi, dicentes: Quis est hic qui loquitur blasphemias? Quis potest dimittere peccata, si non solus Deus?

22 Cognoscens autem Jesus ratiocinationes eorum respon

πρὸς αὐτούς· Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ;

23 Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν. Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἢ εἰπεῖν· Ἔγειραι καὶ περιπάτει ;

24 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλελυμένῳ· Σοὶ λέγω, ἔγειραι· καὶ ἆρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου.

25 Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ᾧ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν Θεόν.

26 Καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεὸν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες· Ὅτι εἴδομεν παράδοξα σήμερον.

27 Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· Ἀκολούθει μοι.

28 Καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς ἠκολούθησεν αὐτῷ.

29 Καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευὶς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν ὄχλος τελωνῶν πολὺς, καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι.

30 Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες· Διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε ;

31 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

32 Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

33 Οἱ δὲ εἶπον πρὸς αὐτόν· Διατί οἱ μαθηταὶ Ἰωάννου νηστεύ-

dens dixit ad illos : Quid ratiocinamini in cordibus vestris ?

23 Quid est facilius dicere Dimittuntur tibi peccata tua : an dicere : Surge et deambula ?

24 Ut autem sciatis quia auctoritatem habet filius hominis in terra dimittendi peccata ait paralytico : Tibi dico, surge, et tollens lectulum tuum, vade in domum tuam.

25 Et confestim resurgens coram illis, tollens in quo jacebat, abiit in domum suam, glorificans Deum.

26 Et stupor cepit omnes et glorificabant Deum : Et repleti sunt timore, dicentes : Quia vidimus inopinata hodie.

27 Et post hæc exiit, et conspexit publicanum nomine, Levin, sedentem ad telonium, et ait illi : Sequere me.

28 Et relinquens omnia, surgens sequutus est eum.

29 Et fecit convivium magnum Levis ei in domo sua : et erat turba publicanorum multa, et aliorum, qui erant cum illis discumbentes.

30 Et murmurabant Scribæ eorum et Pharisæi ad discipulos ejus, dicentes : Quare cum publicanis et peccatoribus manducatis et bibitis ?

31 Et respondens Jesus dixit ad illos : Non usum habent sani medico, sed male habentes.

32 Non veni vocare justos, sed peccatores ad pœnitentiam.

33 Illi autem dixerunt ad eum : Quare discipuli Joannis

ουσι πυκνὰ, καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν φαρισαίων· οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν ;

34 Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ νυμφίος μετ' αὐτῶν ἐστι, ποιῆσαι νηστεύειν ;

35 Ἐλεύσονται δὲ ἡμέραι καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος· τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

36 Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς· Ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ τὸ ἀπὸ τοῦ καινοῦ.

37 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκοὺς καὶ αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται.

38 Ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον· καὶ ἀμφότεροι συντηροῦνται.

39 Καὶ οὐδεὶς πιὼν παλαιὸν, εὐθέως θέλει νέον· λέγει γάρ, Ὁ παλαιὸς χρηστότερός ἐστιν.

Κεφ. ϛ'. 6.

1 Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί.

2 Τινὲς δὲ τῶν φαρισαίων εἶπον αὐτοῖς· Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι ;

3 Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· Οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαβὶδ ὁπότε ἐπείjejunant frequenter, et obsecrationes faciunt, similiter et ii Pharisæorum : at tui edunt et bibunt ?

34 Is vero ait ad ipsos : Non potestis filios thalami, in quo sponsus cum illis est, facere jejunare ?

35 Venient autem dies, et quum ablatus fuerit ab illis sponsus, tunc jejunabunt in illis diebus.

36 Dicebat autem et similitudinem ad illos : Quia nemo adjectionem vestimenti novi adjicit ad vestimentum vetus : si vero non, et novum scindit, et veteri non convenit commissura à novo.

37 Et nemo conjicit vinum novum in utres veteres : si autem non, rumpet novum vinum utres, et ipsum effundetur, et utres peribunt.

38 Sed vinum novum in utres novos injiciendum, et utraque conservantur.

39 Et nemo bibens vetus, statim vult novum : dicit enim· Vetus utilius est.

CAPUT VI

1 FACTUM est autem in Sabbato secundo primo transire ipsum per sata : et vellebant discipuli ejus spicas, et manducabant, confricantes manibus.

2 Quidam autem Pharisæorum dicebant illis : Quid facitis quod non licet facere in Sabbatis ?

3 Et respondens ad eos, dixit Jesus : Nec hoc legistis quod fecit David, quum esuris-

νασεν αὐτὸς, καὶ οἱ μετ' αὐτοῦ ὄντες ;

4 Ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε, καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ· ἃς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς ;

5 Καὶ ἔλεγεν αὐτοῖς· Ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

6 Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά.

7 Παρετήρουν δὲ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ.

8 Αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν· καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· Ἔγειραι, καὶ στῆθι εἰς τὸ μέσον. Ὁ δὲ ἀναστὰς ἔστη.

9 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς· Ἐπερωτήσω ὑμᾶς τι· Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι ; ψυχὴν σῶσαι, ἢ ἀπολέσαι ;

10 Καὶ περιβλεψάμενος πάντας αὐτοὺς, εἶπε τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου. Ὁ δὲ ἐποίησεν ἅπαξ· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

11 Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.

12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ.

13 Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφωνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ

set ipse, et cum ipso existentes ?

4 Quomodo intravit in domum Dei, et panes propositionis sumpsit et manducavit, et dedit et his cum ipso, quos non licet manducare si non solos Sacerdotes ?

5 Et dicebat illis : Quia dominus est filius hominis et Sabbati.

6 Factum est autem in alio Sabbato, intrare ipsum in synagogam, et docere : Et erat ibi homo, et manus ejus dextra erat arida.

7 Observabant autem Scribæ et Pharisæi si in Sabbato curaret eum ; ut invenirent accusationem ipsius.

8 Ipse vero sciebat ratiocinationes eorum : et ait homini aridam habenti manum : Surge, et sta in medium. Is autem surgens stetit.

9 Ait ergo Jesus ad illos. Interrogabo vos quid, licet Sabbatis benefacere, an malefacere ? animam servare, an occidere ?

0 Et circumspiciens omnes eos, dixit homini : Extende manum tuam. Is autem fecit ita, et restituta est manus ejus sana ut altera.

11 Ipsi autem repleti sunt amentia : et colloquebantur ad invicem, quidnam facerent Jesu.

12 Factum est autem in diebus illis, exiit in montem orare : et erat pernoctans in oratione Dei.

13 Et quum factus esset dies, advocavit discipulos suos

ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, ὃς καὶ ἀποστόλους ὠνόμασε.

14 Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον,

15 Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἁλφαίου, καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτὴν,

16 Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης.

17 Καὶ καταβὰς μετ' αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν·

18 Καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων· καὶ ἐθεραπεύοντο.

19 Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας.

20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί· ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

21 Μακάριοι οἱ πεινῶντες νῦν· ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν· ὅτι γελάσετε.

22 Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

23 Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ

et eligens ex ipsis duodecim, quos et Apostolos nominavit:

14 Simonem, quem, et nominavit Petrum, et Andream fratrem ejus, Jacobum et Joannem, Philippum et Bartholomæum,

15 Matthæum et Thomam, Jacobum Alphæi, et Simonem vocatum Zeloten.

16 Judam Jacobi, et Judam Iscariotem, qui et fuit traditor.

17 Et descendens cum illis, stetit in loco campestri, et turba discipulorum ejus, et multitudo copiosa plebis ab omni Judæa, et Hierusalem, et maritima Tyri et Sidonis, qui venerunt audire eum, et sanari à languoribus suis:

18 Et vexati à spiritibus immundis, et curabantur.

19 Et omnis turba quærebat tangere eum: quia virtus de illo exibat, et sanabat omnes.

20 Et ipse elevans oculos suos in discipulos suos, dicebat: Beati pauperes: quia vestrum est regnum Dei.

21 Beati esurientes nunc: quia saturabimini. Beati flentes nunc: quia ridebitis.

22 Beati eritis quum oderint vos homines, et quum separaverint vos, et exprobraverint, et ejecerint nomen vestrum tanquam malum, propter filium hominis.

23 Gaudete in illa die, et exultate: ecce enim merces vestra multa in cælo: secun-

ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

24 Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις· ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.

25 Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε· οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν· ὅτι πενθήσετε καὶ κλαύσετε.

26 Οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

27 Ἀλλ' ὑμῖν λέγω τοῖς ἀκούουσιν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,

28 Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν· καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς.

29 Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς·

30 Παντὶ δὲ τῷ αἰτοῦντί σε, δίδου· καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει.

31 Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

32 Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι.

33 Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι.

34 Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστι; καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα.

35 Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ Ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.

dum hæc enim faciebant Prophetis patres eorum.

24 Veruntamen væ vobis divitibus, quia habetis consolationem vestram.

25 Væ vobis impleti: quia esurietis. Væ vobis ridentes nunc: quia lugebitis et flebitis.

26 Væ quum benedixerint vobis homines: secundum hæc enim faciebant pseudoprophetis patres eorum.

27 Sed vobis dico audientibus: Diligite inimicos vestros: benefacite odic habentibus vos

28 Benedicite maledicentibus vobis, et orate pro calumniantibus vos.

29 Percutienti te in maxillam, præbe et alteram: et ab auferente tuum vestimentum, et tunicam ne prohibueris.

30 Omni autem petenti te, da: et ab auferente tua, ne repetas.

31 Et prout vultis ut faciant vobis homines, et vos facite illis similiter.

32 Et si diligitis diligentes vos, quæ vobis gratia est? etenim peccatores diligentes se diligunt.

33 Et si benefeceritis benefacientibus vobis, quæ vobis gratia est? Etenim peccatores hoc ipsum faciunt.

34 Et si mutuum dederitis à quibus speratis recipere, quæ vobis gratia est? Etenim peccatores peccatoribus fœnerantur, ut recipiant æqualia.

35 Veruntamen diligite inimicos vestros, et benefacite, et

ζεῖε μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς, καὶ ἔσεσθε οἱ υἱοὶ τοῦ ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.

36 Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

37 Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε, ἀπολύετε, καὶ ἀπολυθήσεσθε.

38 Δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν, πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

39 Εἶπε δὲ παραβολὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται;

40 Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· καταρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ.

41 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς;

42 Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου· Ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.

43 Οὐ γάρ ἐστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν· οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν·

44 Ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ

mutuum date nihil desperantes: et erit merces vestra multa, et eritis filii Altissimi: quia ipse benignus est super ingratos et malos.

36 Estote ergo misericordes, sicut et Pater vester misericors est.

37 Et ne judicate, et non judicabimini: Ne condemnate, et non condemnabimini: Absolvite, et absolvemini.

38 Date, et dabitur vobis · Mensuram bonam, confertam, et coagitatam, et supereffluentem dabunt in sinum vestrum: Quippe ea mensura qua mensi fueritis, remetientur vobis.

39 Dicebat autem similitudinem ipsis: Nunquid potest cæcus cæcum ducere? nonne ambo in foveam cadent?

40 Non est discipulus super magistrum suum: perfectus autem omnis erit, sicut magister ejus.

41 Quid autem vides festucam in oculo fratris tui: at trabem in proprio oculo non animadvertis?

42 Aut quomodo potes dicere fratri tuo: Frater, sine ejiciam festucam quæ in oculo tuo: ipse in oculo tuo trabem non videns? Hypocrita, ejice primum trabem de oculo tuo, et tunc perspicies ejicere festucam ex oculo fratris tui.

43 Non enim est arbor pulchra faciens fructum putrem. neque arbor putris faciens fructum pulchrum.

44 Unaquæque enim arbor de proprio fructu cognoscitur

ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν.

45 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

46 Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω ;

47 Πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τῶν λόγων, καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος.

48 Ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν· πλημμύρας δὲ γενομένης, προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτήν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

49 Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ προσέρρηξεν ὁ ποταμὸς, καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

Non enim de spinis colligunt ficus, neque de rubo vindemiant uvam.

45 Bonus homo de bono thesauro cordis sui profert bonum : et malus homo de malo thesauro cordis sui profert malum : Ex enim abundantia cordis loquitur os ejus.

46 Quid autem me vocatis, Domine, Domine, et non facitis quæ dico ?

47 Omnis veniens ad me, et audiens meos sermones, et faciens eos, ostendam vobis cui sit similis.

48 Similis est homini ædificanti domum, qui fodit et profundum fecit, et posuit fundamentum supra petram : inundatione autem facta, illisum est flumen domui illi, et non potuit movere eam : fundata erat enim supra petram.

49 At audiens et non faciens similis est homini ædificanti domum super terram sine fundamento, cui illisus est fluvius, et continuo cecidit, et facta est ruina domus illius magna.

Κεφ. ζ'. 7.

1 Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ.

2 Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἤμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος.

3 Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν, ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ.

CAPUT VII.

1 POSTQUAM autem implevit omnia verba sua in aures plebis, intravit in Capernaum.

2 Centurionis autem cujusdam servus male habens futurus erat interire, qui erat illi pretiosus.

3 Audiens autem de Jesu, misit ad eum seniores Judæorum, rogans eum, ut veniens servaret servum ejus

4 Οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες· Ὅτι ἄξιός ἐστιν ᾧ παρέξει τοῦτο.

5 Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν.

6 Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς, ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους, λέγων αὐτῷ· Κύριε, μὴ σκύλλου· οὐ γάρ εἰμι ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς·

7 Διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρὸς σε ἐλθεῖν· ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου.

8 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ· Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου· Ποίησον τοῦτο, καὶ ποιεῖ.

9 Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν αὐτόν· καὶ στραφεὶς, τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· Λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

10 Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα.

11 Καὶ ἐγένετο ἐν τῇ ἑξῆς, ἐπορεύετο εἰς πόλιν καλουμένην Naΐν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς.

12 Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ, ἐξεκομίζετο τεθνηκὼς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὐτῇ χήρᾳ· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ.

13 Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος,

4 Illi vero advenientes ad Jesum, precabantur eum studiosè, dicentes, Quia dignus est cui præberet hoc :

5 Diligit enim gentem nostram, et synagogam ipse ædificavit nobis.

6 At Jesus ibat cum illis. Jam vero eo non longe absente à domo, misit ad eum Centurio amicos, dicens ei : Domine, ne vexeris : non enim sum dignus ut meum sub tectum intres

7 Ideo neque meipsum sum dignum arbitratus ad te venire : sed dic verbo, et sanabitur puer meus.

8 Etenim ego homo sum sub potestate constitutus, habens sub me milites : et dico huic · Vade, et vadit : et alii : Veni, et venit : et servo meo : Fac hoc, et facit.

9 Audiens autem hæc Jesus, miratus est eum : et conversus, sequenti se turbæ dixit . Dico vobis, nec in Israël tantam fidem inveni.

10 Et reversi missi in domum, invenerunt languentem servum sanum.

11 Et factum est in deinceps ibat in civitatem vocatam Naim : et simul ibant cum ipso discipuli ejus multi, et turba copiosa.

12 Ut vero appropinquavit portæ civitatis, et ecce efferebatur defunctus, filius unigenitus matri suæ : Et hæc vidua : et turbæ civitatis multa erat cum illa.

13 Et videns eam Dominus,

ἐσπλαγχνισθη ἐπ' αὐτῇ, καὶ εἶπεν αὐτῇ· Μὴ κλαῖε.

14 Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ· οἱ δὲ βαστάζοντες ἔστησαν, καὶ εἶπε· Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι.

15 Καὶ ἀνεκάθισεν ὁ νεκρὸς, καὶ ἤρξατο λαλεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.

16 Ἔλαβε δὲ φόβος ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες· Ὅτι προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.

17 Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ.

18 Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων.

19 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης, ἔπεμψε πρὸς τὸν Ἰησοῦν, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν ;

20 Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον· Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρὸς σε, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν ;

21 Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσαλο τὸ βλέπειν.

22 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται,

23 Καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

24 Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν πρὸς

visceribus motus est super eam, et dixit illi : Ne fle.

14 Et accedens tetigit loculum, at portantes steterunt, Et ait : Adolescens, tibi dico, surge.

15 Et resedit mortuus, et cœpit loqui. Et dedit illum matri suæ.

16 Cepit autem timor omnes, et glorificabant Deum, dicentes : Quia Propheta magnus surrexit in nobis : et quia visitavit Deus plebem suam.

17 Et exiit sermo hic in universa Judæa de eo, et in omni circa regione.

18 Et nuntiaverunt Joanni discipuli ejus de omnibus his.

19 Et advocans duos quosdam discipulorum suorum Joannes, misit ad Jesum, dicens : Tu es veniens, aut alium expectamus ?

20 Accedentes autem ad eum viri, dixerunt : Joannes Baptista misit nos ad te, dicens : Tu es veniens, an alium expectamus ?

21 In ipsa autem hora curavit multos à morbis et flagellis, et spiritibus malis, et cæcis multis donavit videre.

22 Et respondens Jesus dixit illis : Euntes renuntiate Joanni quæ vidistis et audistis : Quia cæci vident, claudi ambulant, leprosi mundantur, surdi audiunt, mortui resurgunt, pauperes euangelizantur.

23 Et beatus est quicumque non scandalizatus fuerit in me.

24 Abeuntibus autem nuntiis Joannis, cœpit dicere tur-

πρὸς ὄχλους περὶ Ἰωάννου· Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

25 Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν.

26 Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου.

27 Οὗτός ἐστι περὶ οὗ γέγραπται· "Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου."

28 Λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ βαπτιστοῦ οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, μείζων αὐτοῦ ἐστι.

29 Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν Θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου·

30 Οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.

31 Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης; καὶ τίνι εἰσὶν ὅμοιοι;

32 Ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις, καὶ προσφωνοῦσιν ἀλλήλοις, καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε.

33 Ἐλήλυθε γὰρ Ἰωάννης ὁ βαπτιστὴς μήτε ἄρτον ἐσθίων, μήτε οἶνον πίνων· καὶ λέγετε, Δαιμόνιον ἔχει.

34 Ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγετε,

bis de Joanne: Quid existis in desertum spectare? arundinem à vento quassatam?

25 Sed quid existis videre? hominem in mollibus vestimentis amictum? Ecce qui in veste gloriosa et luxa existentes, in domibus regum sunt.

26 Sed quid existis videre? Prophetam? Utique dico vobis, et abundantius Propheta.

27 Hic est de quo scriptum est: Ecce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te.

28 Dico enim vobis, major in genitis mulierum Propheta Joanne Baptista nemo est: Qui autem minor in regno Dei, major illo est.

29 Et omnis populus audiens et publicani justificaverunt Deum, baptizati baptismum Joannis.

30 At Pharisæi et Legisperiti consilium Dei spreverunt in semetipsos, non baptizati ab eo.

31 Ait autem Dominus: Cui ergo assimilabo homines generationis hujus? et cui sunt similes?

32 Similes sunt pueris in foro sedentibus, et loquentibus adinvicem, et dicentibus: Cantavimus tibiis vobis, et non saltastis: lamentavimus vobis, et non plorastis.

33 Venit enim Joannes Baptista neque panem manducans, neque vinum bibens: et dicitis, dæmonium habet.

34 Venit filius hominis manducans et bibens, et dicitis:

Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.

35 Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.

36 Ἠρώτα δέ τις αὐτὸν τῶν φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ φαρισαίου, ἀνεκλίθη.

37 Καὶ ἰδοὺ, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλὸς, ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου,

38 καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω, κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ.

39 Ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων· Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι.

40 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. Ὁ δέ φησι· Διδάσκαλε, εἰπέ.

41 Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.

42 Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν, εἰπὲ, πλεῖον αὐτὸν ἀγαπήσει;

43 Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπεν· Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας.

44 Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· Βλέπεις

Ecce homo edax et vinum bibens, amicus publicanorum et peccatorum.

35 Et justificata est sapientia à filiis suis omnibus.

36 Rogabat autem quidam illum Pharisæorum, ut manducaret cum illo: Et ingressus in domum Pharisæi, discubuit.

37 Et ecce mulier in civitate, quæ erat peccatrix, cognoscens quod accubuit in domo Pharisæi, afferens alabastrum unguenti:

38 Et stans secus pedes ejus retro, flens, cœpit rigare pedes ejus lachrymis, et capillis capitis sui extergebat, et osculabatur pedes ejus, et ungebat unguento.

39 Videns autem Pharisæus vocans eum, ait in seipso, dicens: Hic si esset Propheta, sciret utique quæ et qualis mulier, quæ tangit eum, quia peccatrix est.

40 Et respondens Jesus, dixit ad illum: Simon, habeo tibi aliquid dicere. Is vero ait: Magister, dic.

41 Duo debitores erant fœneratori cuidam: unus debebat denarios quingentos, at alter quinquaginta.

42 Non habentibus autem illis reddere, ambobus donavit: Quis ergo eorum, dic, plus eum diliget?

43 Respondens autem Simon, dixit: subsumo quod cui plus donavit. Ille autem dixit ei: Recte judicasti.

44 Et conversus ad mulierem, Simoni dixit: Vides hanc

ταύτην τὴν γυναῖκα ; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε·

45 Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ, ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας·

46 Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας.

47 Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.

48 Εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι.

49 Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς ἐστὸς ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν ;

50 Εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

mulierem ? Intravi tuam in domum, aquam ad pedes meos non dedisti : hæc autem lacrymis rigavit meos pedes, et capillis capitis sui extersit.

45 Osculum mihi non dedisti : hæc autem, ex quo intravi, non cessavit osculans meos pedes.

46 Oleo caput meum non unxisti : hæc autem unguento unxit meos pedes.

47 Cujus gratia, dico tibi, remittuntur peccata ejus multa, quoniam dilexit multum : Cui autem paululum dimittitur, paululum diligit.

48 Dixit autem ad illam : Remittuntur tua peccata.

49 Et cœperunt simul accumbentes dicere in seipsis : Quis hic est, qui et peccata dimittit ?

50 Dixit autem ad mulierem : Fides tua servavit te : vade in pacem.

Κεφ. ή. 8.

1 Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ οἱ δώδεκα σὺν αὐτῷ.

2 Καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν, καὶ ἀσθενειῶν· Μαρία ἡ καλουμένη Μαγδαληνὴ, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,

3 Καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρῴδου, καὶ Σουσάννα, καὶ ἕτεραι πολλαὶ, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

CAPUT VIII.

1 Et factum est in deinceps, et ipse iter faciebat per civitatem et castellum, prædicans et euangelizans regnum Dei, et duodecim cum illo.

2 Et mulieres aliquæ : quæ erant curatæ à spiritibus malignis, et infirmitatibus : Maria vocata Magdalene, de qua dæmonia septem exierant :

3 Et Johanna uxor Chuzæ procuratoris Herodis, et Susanna, et aliæ multæ, quæ ministrabant ei de facultatibus suis.

4 Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν, εἶπε διὰ παραβολῆς·

4 Conveniente autem turba plurima, et secundum civitatem advenientibus ad eum, dixit per similitudinem :

5 Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό.

5 Exiit seminans seminare semen suum : et in seminando eum, hoc quidem cecidit secus viam, et conculcatum est : et volucres cæli comederunt illud.

6 Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα.

6 Et aliud cecidit supra petram, et natum exaruit, propter non habere humorem.

7 Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό.

7 Et aliud cecidit in medio spinarum, et simul enatæ spinæ suffocaverunt illud.

8 Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

8 Et aliud cecidit in terram bonam : et enatum fecit fructum centuplum. Hæc dicens clamabat : Habens aures ad audiendum audiat.

9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, τίς εἴη ἡ παραβολὴ αὕτη.

9 Interrogabant autem eum discipuli ejus, dicentes, quæ esset parabola hæc.

10 Ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν.

10 Is vero dixit : Vobis datum est nosse mysteria regni Dei : at cæteris in parabolis, ut videntes non videant, et audientes non intelligant.

11 Ἔστι δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ.

11 Est autem hæc parabola : Semen est verbum Dei.

12 Οἱ δὲ παρὰ τὴν ὁδὸν, εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

12 Qui autem secus viam, sunt audientes : deinde venit diabolus, et tollit verbum de corde eorum, ut ne credentes serventur.

13 Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἵ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ ἕτοι ῥίζαν οὐκ ἔχουσιν, οἵ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.

13 Qui vero supra petram, qui quum audierint, cum gaudio suscipiunt verbum, et hi radicem non habent : qui ad tempus credunt, et in tempore tentationis absistunt.

14 Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσὸν, ἕτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου, καὶ ἡδο-

14 Quod autem in spinas cadens, hi sunt audientes, et à solicitudinibus et divitiis et vo-

νῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι·

15 Τὸ δὲ ἐν τῇ καλῇ γῇ, ἕτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.

16 Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς.

17 Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται, οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ.

18 Βλέπετε ἓν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ.

19 Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον.

20 Καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν σε θέλοντες.

21 Ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς· Μήτηρ μου καὶ ἀδελφοί μου, ἕτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν.

22 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ εἶπε πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης. Καὶ ἀνήχθησαν.

23 Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε· καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ συνεπληροῦντο, καὶ ἐκινδύνευον.

24 Προσελθόντες δὲ διήγειραν

luptatibus vitæ profecti suffocantur, et non referunt fructum.

15 Quod autem in pulchram terram, hi sunt qui in corde pulchro et bono, audientes verbum retinent, et fructum serunt in patientia.

16 Nemo autem lucernam accendens, operit eam vase, aut subtus lectum ponit: sed supra candelabrum ponit, ut intrantes aspiciant lumen.

17 Non enim est occultum quod non manifestum fiet: nec absconditum quod non cognoscetur, et in palam veniat.

18 Aspicite ergo quomodo auditis: Qui enim habet, dabitur illi: et qui non habet, et quod videtur habere, auferetur ab illo.

19 Venerunt autem ad illum mater et fratres ejus: et non poterant contingere eum propter turbam.

20 Et nuntiatum est illi, dicentibus: Mater tua et fratres tui stant foris, videre te volentes.

21 Ille autem respondens dixit ad eos: Mater mea et fratres mei, hi sunt verbum Dei audientes, et facientes ipsum.

22 Et factum est in una dierum, et ipse ascendit in naviculam, et discipuli ejus: et ait ad illos: Transeamus in ulterius stagni. Et provecti sunt.

23 Navigantibus autem illis sopitus est, et descendit procella venti in stagnum, et complebantur, et periclitabantur.

24 Accedentes autem susci-

αὐτὸν, λέγοντες· Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα. Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη.

25 Εἶπε δὲ αὐτοῖς· Ποῦ ἐστιν ἡ πίστις ὑμῶν; Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει, καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;

26 Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας.

27 Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασιν.

28 Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε· Τί ἐμοὶ καί σοι Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δέομαί σου, μή με βασανίσῃς.

29 Παρήγγελλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου· πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτὸν· καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος, καὶ διαῤῥήσσων τὰ δεσμὰ, ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους.

30 Ἐπερώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοί ἐστιν ὄνομα; Ὁ δὲ εἶπε· Λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν.

31 Καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν.

32 Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ

taverunt eum, dicentes: Præceptor, præceptor, perimus. Ille autem excitatus objurgavit ventum et fluctuationem aquæ· et cessaverunt, et facta est tranquillitas.

25 Dixit autem illis: Ubi est fides vestra? Timentes autem mirati sunt, dicentes ad invicem: Quisnam hic est, quia et ventis imperat et mari, et obediunt ei?

26 Et navigaverunt ad regionem Gadarenorum, quæ est contra Galilæam.

27 Exeunti autem ipsi ad terram, occurrit illi vir quidam ex urbe, qui habebat dæmonia ex temporibus multis: et vestimento non induebatur, et in domo non manebat, sed in monumentis.

28 Videns vero Jesum, et exclamans, procidit illi, et voce magna dixit: Quid mihi et tibi, Jesu Fili Dei altissimi? obsecro te, ne me torqueas.

29 Præcipiebat enim spiritui immundo exire ab homine: Multis enim temporibus arripiebat illum: et vinciebatur catenis et compedibus custoditus: et perrumpens vincula agitabatur à dæmonio in deserta.

30 Interrogavit autem illum Jesus dicens: Quod tibi est nomen? is autem dixit: Legio; quia dæmonia multa intraverunt in eum.

31 Et rogaverunt illum ut non imperaret illis in abyssum abire.

32 Erat autem ibi grex porcorum multorum pascentium in

παρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς.

33 Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθεν εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη.

34 Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγεννημένον, ἔφυγον· καὶ ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πόλιν, καὶ εἰς τοὺς ἀγρούς.

35 Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονὸς, καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν.

36 Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες, πῶς ἐσώθη ὁ δαιμονισθείς.

37 Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν.

38 Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων·

39 Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

40 Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν.

41 Καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε, καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ,

monte : et rogabant eum ut permitteret eis in illos ingredi : et permisit illis.

33 Exeuntia autem dæmonia ab homine intraverunt in porcos : et impetu abiit grex per præceps in stagnum : et suffocatus est.

34 Videntes autem pascentes factum, fugerunt : et abeuntes nunciaverunt in civitatem et in agros.

35 Exierunt autem videre factum, et venerunt ad Jesum, et invenerunt sedentem hominem à quo dæmonia exierant, vestitum ac sana mente ad pedes Jesu : et timuerunt.

36 Nunciaverunt autem illis et videntes, quomodo servatus esset dæmoniacus.

37 Et rogaverunt illum omnis multitudo circum regionis Gadarenorum, abire ab ipsis : quia timore magno tenebantur· ipse autem ascendens in navim, reversus est.

38 Rogavit autem illum vir à quo exierant dæmonia, esse cum eo : dimisit autem eum Jesus, dicens :

39 Redi in domum tuam, et narra quanta fecit tibi Deus. Et abiit per universam civitatem prædicans quanta fecisset illi Jesus.

40 Factum est autem in redire Jesum, excepit illum turba : erant enim omnes expectantes eum.

41 Et ecce venit vir, cui nomen Jairus, et ipse princeps synagogæ erat : et cadens ad pedes Jesu, rogabat eum intrare in domum suam

42 Ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνησκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν.

42 Quia filia unigenita erat ei ut annorum duodecim. et hæc moriebatur. In vero ire ipsum, turbæ comprimebant eum.

43 Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι,

43 Et mulier existens in fluxu sanguinis ab annis duodecim, quæ medicis impendens omnem vitam, non potuit ab ullo curari :

44 Προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

44 Accedens retro, tetigit fimbriam vestimenti ejus : et confestim stetit fluxus sanguinis ejus.

45 Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου ; Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος, καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις, τίς ὁ ἁψάμενός μου ;

45 Et ait Jesus : Quis tangens me ? negantibus autem omnibus, dixit Petrus et qui cum illo : Præceptor, turbæ comprimunt te, et affligunt, et dicis : Quis tangens me ?

46 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μου τίς· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ.

46 At Jesus dixit : Tetigit me aliquis : ego enim novi virtutem exeuntem de me.

47 Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα.

47 Videns autem mulier quia non latuit, tremens venit, et adlabens ei, ob quam causam tetigerit eum, indicavit illi coram omni populo, et quemadmodum sanata sit confestim.

48 Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει θύγατερ· ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

48 Ipse autem dixit ei : Confide filia : fides tua servavit te : vade in pace.

49 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ· Ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον.

49 Adhuc autem illo loquente, venit quidam à principe synagogæ, dicens ei : Quia mortua est filia tua, ne vexa magistrum.

50 Ὁ δὲ Ἰησοῦς ἀκούσας, ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται.

50 At Jesus audiens respondit illi, dicens : Ne time : tantum crede, et servabitur.

51 Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς παιδὸς, καὶ τὴν μητέρα

51 Ingressus autem in domum, non permisit intrare neminem si non Petrum et Jacobum et Joannem, et patrem puellæ, et matrem.

52 Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

53 Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν.

54 Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς, ἐγείρου.

55 Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν.

56 Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

Κεφ. Θ'. 9.

1 Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν·

2 Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.

3 Καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν.

4 Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε.

5 Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε, εἰς μαρτύριον ἐπ' αὐτούς.

6 Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

7 Ἤκουσε δὲ Ἡρῴδης ὁ τετράρχης τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα, καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό

52 Flebant autem omnes, et plangebant illam. Ille autem dixit: Ne flete: non est mortua, sed dormit.

53 Et deridebant eum, scientes quod mortua esset.

54 Ipse autem ejiciens foras omnes, et tenens manum ejus, clamavit, dicens: Puella, surge.

55 Et reversus est spiritus ejus, et surrexit continuo: et ordinavit illi dari manducare.

56 Et stupuerunt parentes ejus: ille autem præcepit illis nemini dicere factum.

CAPUT IX.

1 CONVOCANS autem duo decim discipulos suos, dedit illis virtutem et potestatem super omnia dæmonia, et languores curare.

2 Et misit illos prædicare regnum Dei, et sanare infirmos.

3 Et ait ad illos: Nihil tuleritis in via, neque peram, neque panem, neque baculos, neque argentum, neque singuli duas tunicas habere.

4 Et in quamcumque domum intraveritis, ibi manete, et inde exite.

5 Et quicumque non recepe rint vos, exeuntes de civitate illa, etiam pulverem à pedibus vestris excutite in testimonium supra illos.

6 Egressi autem perambulabant per vicos, evangelizantes et curantes ubique.

7 Audivit autem Herodes Tetrarcha facta ab eo omnia et hæsitabat, propter dici è

τινων, ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν·

8 Ὑπό τινων δὲ, ὅτι Ἠλίας ἐφάνη· ἄλλων δὲ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη.

9 Καὶ εἶπεν Ἡρῴδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα, τίς δέ ἐστιν οὗτος, περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει ἰδεῖν αὐτόν.

10 Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν· καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ' ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης Βηθσαϊδά.

11 Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ· καὶ δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἴατο.

12 Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα εἶπον αὐτῷ· Ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, καταλύσωσι, καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν.

13 Εἶπε δὲ πρὸς αὐτούς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶπον· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ δύο ἰχθύες, εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα.

14 Ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι, εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα.

15 Καὶ ἐποίησαν ἕτω, καὶ κατέκλιναν ἅπαντας.

16 Λαβὼν δὲ τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτοὺς,

quibusdam, quia Joannes surrexit à mortuis.

8 A quibusdam vero, quia Elias apparuit : aliis autem quia propheta unus antiquorum resurrexit.

9 Et ait Herodes : Joannem ego decollavi, quis autem est iste, de quo ego audio talia ? et quærebant videre eum.

10 Et reversi Apostoli narraverunt illi quæcumque fecerunt : et assumens illos, secessit seorsum in locum desertum urbis vocatæ Bethsaidæ.

11 At turbæ cognoscentes sequutæ sunt illum, et excipiens eos, loquebatur illis de regno Dei, et opus habentes cura sanabat.

12 At dies cœperat inclinare ; accedentes autem duodecim, dixerunt illi : Dimitte turbam, ut abeuntes in qui in circuitu vicos et agros, divertant, et inveniant cibarium : quia hic in deserto loco sumus.

13 Ait autem ad illos : Date illis vos manducare. Illi autem dixerunt : Non sunt nobis plus quam quinque panes, et duo pisces, si non quid euntes nos emamus in omnem populum hunc escas.

14 Erant enim fere viri quinque mille : ait autem ad discipulos suos : Facite discumbere illos discubitus per quinquagenos.

15 Et fecerunt ita : et discumbere fecerunt omnes.

16 Accipiens autem quinque panes, et duos pisces, respiciens in cælum, benedixit illis

καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς παρατιθέναι τῷ ὄχλῳ.

17 Καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες· καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων, κόφινοι δώδεκα.

18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταὶ, καὶ ἐπηρώτησεν αὐτοὺς, λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι ;

19 Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἰωάννην τὸν βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἄλλοι δὲ, ὅτι προφήτης τὶς τῶν ἀρχαίων ἀνέστη.

20 Εἶπε δὲ αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι ; Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε· Τὸν Χριστὸν τοῦ Θεοῦ.

21 Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο,

22 Εἰπών· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

23 Ἔλεγε δὲ πρὸς πάντας· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθείτω μοι.

24 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν.

25 Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς ;

26 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται,

et fregit, et dedit discipulis, apponere turbæ.

17 Et manducaverunt, et saturati sunt omnes : et sublatum est abundans illis fragmentorum cophini duodecim.

18 Et factum est in esse ipsum orantem solitarie, simul erant ei discipuli, et interrogavit illos, dicens : Quem me dicunt turbæ esse ?

19 Illi autem respondentes, dixerunt : Joannem Baptistam· alii autem Eliam : alii vero quia propheta quidam antiquorum resurrexit.

20 Dixit autem illis : Vos autem quem me dicitis esse ? respondens autem Petrus, dixit : Christum Dei.

21 Ille autem increpans illos, præcepit nemini dicere hoc,

22 Dicens : quia oportet filium hominis multa pati, et reprobari à senioribus et principibus sacerdotum, et Scribis, et occidi, et tertia die resurgere

23 Dicebat autem ad omnes Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam quotidie, et sequatur me.

24 Qui enim voluerit animam suam servare, perdet illam : qui autem perdiderit animam suam propter me, hic servabit illam.

25 Quid enim proficit homo lucratus mundum universum, seipsum autem perdens, aut damno affectus ?

26 Qui enim erubuerit me et meos sermones, hunc filius hominis erubescet, quum vene-

ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων.

27 Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.

28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι.

29 Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.

30 Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας,

31 Οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ.

32 Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ.

33 Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοι, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει.

34 Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην.

35 Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

36 Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.

rit in gloria sua et Patris, et sanctorum angelorum.

27 Dico autem vobis vere, Sunt aliqui hic stantium, qui non gustabunt mortem, donec videant regnum Dei.

28 Factum est autem post verba hæc fere dies octo, et assumens Petrum et Joannem et Jacobum, ascendit in montem orare.

29 Et facta est in orando ipsum facies vultus ejus altera, et vestitus ejus albus refulgens.

30 Et ecce viri duo colloquebantur illi, qui erant Moses et Elias :

31 Qui visi in gloria, dicebant exitum ejus, quem futurus erat implere in Hierusalem.

32 At Petrus et qui cum illo erant gravati somno : evigilantes autem viderunt gloriam ejus, et duos viros simul stantes illi.

33 Et factum est in discedere ipsos ab illo, ait Petrus ad Jesum : Præceptor, pulchrum est nos hic esse : et faciamus tabernacula tria, unum tibi, et Mosi unum, et unum Eliæ, nôn sciens quid diceret.

34 Hæc autem illo dicente, facta est nubes, et obumbravit eos : timuerunt autem in illos intrare in nubem.

35 Et vox facta est de nube dicens : Hic est filius meus dilectus, ipsum audite.

36 Et in fieri vocem, inventus est Jesus solus : et ipsi tacuerunt, et nemini enunciaverunt in illis diebus nihil eorum quæ viderant.

37 Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς.

38 Καὶ ἰδοὺ, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστί μοι·

39 Καὶ ἰδοὺ. πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρίβον αὐτόν·

40 Καὶ ἐδεήθην τῶν μαθητῶν σου, ἵνα ἐκβάλλωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν.

41 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν ; προσάγαγε ὧδε τὸν υἱόν σου.

42 Ἔτι δὲ προσερχομένου αὐτῷ, ἔῤῥηξεν αὐτὸν τὸ δαιμόνιον, καὶ συνεσπάραξεν· ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ.

43 Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ. Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ.

44 Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι, εἰς χεῖρας ἀνθρώπων.

45 Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

46 Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μείζων αὐτῶν

47 Ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησε παρ' ἑαυτῷ,

37 Factum est autem in sequenti die, descendentibus illis de monte, occurrit illi turba multa.

38 Et ecce vir de turba exclamavit dicens : Magister, obsecro te, respice in filium meum, quia unigenitus est mihi :

39 Et ecce spiritus apprehendit eum, et subito clamat, et discerpit eum cum spuma, et vix descedit ab ipso, conterens eum.

40 Et rogavi discipulos tuos, ut ejicerent illum, et non potuerunt.

41 Respondens autem Jesus, dixit : O generatio infidelis, et perversa, usquequo ero apud vos, et partiar vos ? adduc huc filium tuum.

42 Adhuc autem accedente eo, laceravit illum dæmonium, et dissipavit : increpavit autem Jesus spiritum immundum, et sanavit puerum, et reddidit illum patri ejus.

43 Stupebant autem omnes in magnitudine Dei. Omnibus autem mirantibus in omnibus quæ faciebat Jesus, dixit ad discipulos suos :

44 Ponite vos in aures vestras sermones istos : nam filius hominis futurus est tradi in manus hominum.

45 Illi autem ignorabant verbum istud, et erat occultum ab ipsis, ut non sentirent illud : et timebant interrogare eum de verbo hoc.

46 Intravit autem ratiocinatio in eos, quis esset major eorum.

47 At Jesus videns ratioci-

λογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ' ἑαυτῷ,

48 Καὶ εἶπεν αὐτοῖς· Ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἂν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με· ὁ γὰρ μικρότερος ἐν ἂσιν ὑμῖν ὑπάρχων, ἔτος ἔσται μέγας.

49 Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν· Ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν.

50 Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κωλύετε· ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν.

51 Ἐγένετο δὲ τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ,

52 Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ· καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ.

53 Καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ.

54 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτοὺς, ὡς καὶ Ἠλίας ἐποίησε ;

55 Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν· Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς·

56 Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην.

57 Ἐγένετο δὲ πορευομένων αὐ-

nationem cordis illorum, assumens puerum, statuit illum secus se :

48 Et ait illis : Quicumque susceperit istum puerum in nomine meo, me recipit : et quicumque me receperit, recipit mittentem me : qui enim minor in omnibus vobis existens, hic erit magnus.

49 Respondens autem Joannes, dixit : Præceptor, vidimus quendam in nomine tuo ejicientem dæmonia, et prohibuimus eum, quia non sequitur nobiscum.

50 Et ait ad illum Jesus : Ne prohibete : qui enim non est adversus nos, pro nobis est.

51 Factum est autem in compleri dies assumptionis ejus, et ipse faciem suam firmavit ire in Hierusalem :

52 Et misit nuncios ante conspectum suum : et euntes intraverunt in vicum Samaritanorum, ut pararent illi.

53 Et non receperunt eum, quia facies ejus erat iens in Hierusalem.

54 Videntes autem discipuli ejus Jacobus et Joannes, dixerunt : Domine, vis dicamus ignem descendere de cælo, et consumere illos, ut et Elias fecit ?

55 Conversus autem increpavit illos, et dixit : Non scitis cujus spiritus estis vos.

56 Nam filius hominis non venit animas hominum perdere, sed salvare. Et abierunt in alium vicum.

57 Factum est autem ambu

τῶν ἐν τῇ ὁδῷ, εἶπέ τις πρὸς αὐτόν· Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε.

58 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

59 Εἶπε δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι. Ὁ δὲ εἶπε· Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου.

60 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ.

61 Εἶπε δὲ καὶ ἕτερος· Ἀκολουθήσω σοι, Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου.

62 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Κεφ. ί. 10.

1 Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον ὃ ἔμελλεν αὐτὸς ἔρχεσθαι.

2 Ἔλεγεν οὖν πρὸς αὐτούς· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

3 Ὑπάγετε· ἰδὲ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων.

4 Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε

lantibus illis in via, dixit quidam ad illum: Sequar te quocumque abieres, Domine.

58 Et dixit illi Jesus: Vulpes foveas habent, et volucres cæli nidos: verum filius hominis non habet ubi caput reclinet.

59 Ait autem ad alterum: Sequere me. Ille autem dixit: Domine, permitte mihi abeunti primum sepelire patrem meum.

60 Dixit autem ei Jesus: Sine mortuos sepelire suos mortuos: tu autem abiens annuncia regnum Dei.

61 Ait autem et alter: Sequar te, Domine: primum autem permitte mihi renuntiare his qui ad domum meam.

62 Ait autem ad illum Jesus: Nemo immittens manum suam ad aratrum, et respiciens in quæ retro, aptus est ad regnum Dei.

CAPUT X.

1 POST autem hæc designavit Dominus et alios septuaginta, et misit illos per binos ante faciem suam, in omnem civitatem et locum quo futurus erat ipse venire.

2 Dicebat igitur ad illos: Ipsa quidem messis multa, at operarii pauci: rogate ergo dominum messis, ut emittat operarios in messem suam.

3 Ite, ecce ego mitto vos sicut agnos in mediò luporum.

4 Ne portate marsupium, non peram, neque calceamenta: et neminem per viam salutaveritis.

5 Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ·

6 Καὶ ἐὰν μὲν ἦ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει.

7 Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι. Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

8 Καὶ εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν,

9 Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· Ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

10 Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε·

11 Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

12 Λέγω δὲ ὑμῖν, ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ.

13 Οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ, καὶ σποδῷ καθήμεναι μετενόησαν.

14 Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν.

15 Καὶ σὺ Καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ.

16 Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ

5 In quamcumque domum intraveritis, primum dicite: Pax domui huic.

6 Et si quidem fuerit ibi filius pacis, requiescet super illum pax vestra: si vero non, ad vos revertetur.

7 In eadem autem domo manete, edentes et bibentes quæ apud illos: dignus enim operarius mercede sua est. ne transite de domo in domum.

8 Et in quamcumque civitatem intraveritis, et susceperint vos, manducate opposita vobis.

9 Et curate qui in illa infirmos, et dicite illis: Appropinquavit in vos regnum Dei.

10 In quamcumque autem civitatem intraveritis, et non susceperint vos, exeuntes in plateas ejus, dicite:

11 Etiam pulverem adhærentem nobis de civitate vestra, abstergimus vobis: tamen hoc scitote, quia appropinquavit super vos regnum Dei.

12 Dico autem vobis, quia Sodomis in die illa remissius erit, quam civitati illi.

13 Væ tibi Chorazin, væ tibi Bethsaida: quia si in Tyro et Sidone factæ fuissent virtutes quæ factæ in vobis, olim utique in cilicio et cinere sedentes pœnituissent.

14 Veruntamen Tyro et Sidoni remissius erit in judicio quam vobis.

15 Et tu Capernaum usque ad cælum exaltata, usque ad infernum demergeris.

16 Audiens vos, me audit et spernens vos, me spernit

ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με.

17 Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετα χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.

18 Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.

19 Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ.

20 Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραφη ἐν τοῖς οὐρανοῖς.

21 Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

22 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, εἶπε· Πάντα παρεδόθη μοι ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ· καὶ τίς ἐστὶν ὁ πατὴρ, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούλεται ὁ υἱὸς ἀποκαλύψαι.

23 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.

24 Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

25 Καὶ ἰδοὺ, νομικός τις ἀνέστη,

at me spernens, spernit mittentem me.

17 Reversi sunt autem septuaginta cum gaudio, dicentes: Domine, etiam dæmonia subjiciuntur nobis in nomine tuo.

18 Ait autem illis: Videbam Satanam sicut fulgur de cælo cadentem.

19 Ecce do vobis potestatem calcandi supra serpentes et scorpiones, et super omnem virtutem inimici: et nihil vobis nocebit.

20 Veruntamen in hoc ne gaudete, quia spiritus vobis subjiciuntur: gaudete autem magis quod nomina vestra scripta sunt in cælis.

21 In ipsa hora exultavit spiritu Jesus, et dixit: Confiteor tibi Pater, Domine cæli et terræ, quod abscondisti hæc à sapientibus et prudentibus, et revelasti ea parvulis: etiam Pater, quoniam sic factum est beneplacitum ante te.

22 Omnia mihi tradita sunt à Patre meo: et nemo scit quis sit Filius, si non Pater: et quis sit Pater, si non Filius, et cui voluerit Filius revelare.

23 Et conversus ad discipulos, privatim dixit: Beati oculi videntes quæ videtis.

24 Dico enim vobis, quod multi Prophetæ et reges voluerunt videre quæ vos videtis, et non viderunt: et audire quæ auditis, et non audierunt.

25 Et ecce Legisperitus qui-

ἐκπειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

26 Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις;

27 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν.

28 Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ.

29 Ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν· Καὶ τίς ἐστί μου πλησίον;

30 Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.

31 Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

32 Ὁμοίως δὲ καὶ Λευίτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε.

33 Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη.

34 Καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ·

35 Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅτι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

dam surrexit, tentans illum, et dicens: Magister, quid faciens vitam æternam possidebo?

26 Ille autem dixit ad eum: in Lege quid scriptum est? quomodo legis?

27 Ille autem respondens dixit: Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex tota fortitudine tua, et ex omni cogitatione tua, et proximum tuum sicut teipsum.

28 Dixit autem illi: Rectè respondisti: hoc fac, et vives

29 Ille autem volens justificare seipsum, dixit ad Jesum: Et quis est meus proximus?

30 Suscipiens autem Jesus, dixit: Homo quidam descendebat ab Hierusalem in Jericho, et in latrones incidit: qui etiam exuentes eum, et plagas imponentes, abierunt, relinquentes semivivum existentem.

31 Secundum sortem autem sacerdos quidam descendit in via illa, et videns illum, præterivit.

32 Similiter autem et Levita, factus secundum locum, veniens et videns, pertransiit.

33 Samaritanus autem quidam iter faciens, venit secus eum, et videns eum, visceribus commotus est.

34 Et accedens alligavit vulnera ejus, infundens oleum et vinum: ascendere faciens autem illum in proprium jumentum, duxit in diversorium, et curam egit ejus.

35 Et in crastinum exiens ejiciens duos denarios dedit tabernario, et ait illi: Curam

λήθητι αὐτοῦ, καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι.

36 Τίς ἓν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;

37 Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

38 Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς.

39 Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ.

40 Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.

41 Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά.

42 Ἑνος δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

habe illius : et quodcumque adinsumpseris, ego in redire me reddam tibi.

36 Quis igitur horum trium videtur tibi proximus fuisse incidentis in latrones ?

37 Ille autem dixit : Faciens misericordiam cum illo. ait ergo illi Jesus : Vade, et tu fac similiter.

38 Factum est autem in ire eos, et ipse intravit in vicum quendam : mulier autem quædam nomine Martha excepit il lum in domum suam.

39 Et huic erat soror vocata Maria, quæ etiam sedens secus pedes Jesu, audiebat verbum illius.

40 At Martha distrahebatur circa multum ministerium stans autem ait : Domine, non curæ est tibi quod soror mea solam me reliquit ministrare ? dic ergo illi mihi simul susci piat.

41 Respondens autem dixit illi Jesus : Martha, Martha, solicita es, et turbaris circa multa.

42 Unius vero est usus. Maria autem bonam partem elegit quæ non auferetur ab ea

Κεφ. ιά. 11.

1 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ.

2 Εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· Πάτερ ἡμῶν ὁ

CAPUT XI.

1 Et factum est in esse ip sum in loco quodam orantem, ut cessavit, dixit quidam discipulorum ejus ad eum. Domine, doce nos orare, sicut et Joannes docuit discipulos suos.

2 Ait autem illis : Quum oratis, dicite : Pater noster qui

ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

3 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν.

4 Καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

5 Καὶ εἶπε πρὸς αὐτούς· Τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ εἴπῃ αὐτῷ· Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους,

6 Ἐπειδὴ φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ·

7 Κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ Μή μοι κόπους πάρεχε· ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην εἰσίν· οὐ δύναμαι ἀναστὰς δοῦναί σοι.

8 Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς, διὰ τὸ εἶναι αὐτοῦ φίλον, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρῄζει.

9 Κἀγὼ ὑμῖν λέγω· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

10 Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

11 Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; εἰ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;

12 Ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον;

13 Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρ-

in cælis, sanctificetur nomen tuum: adveniat regnum tuum fiat voluntas tua, sicut in cælo et in terra.

3 Panem nostrum quotidianum da nobis juxta diem.

4 Et dimitte nobis peccata nostra, et enim ipsi dimittimus omni debenti nobis: et ne inducas nos in tentationem, sed libera nos à malo.

5 Et ait ad illos: Quis ex vobis habebit amicum, et ibit ad illum media nocte, et dicet illi: Amice, commoda mihi tres panes:

6 Quoniam amicus meus venit de via ad me, et non habeo quod apponam ei.

7 Et ille deintus respondens dicat: Ne mihi molestias exhibe: jam ostium clausum est, et pueri mei mecum in cubili sunt: non possum surgens dare tibi.

8 Dico vobis, si et non dederit ei surgens propter esse illius amicum, propter improbitatem ejus excitatus dabit illi quotquot habet opus.

9 Et ego vobis dico: Petite, et dabitur vobis: quærite, et invenietis: pulsate, et aperietur vobis.

10 Omnis enim petens accipit, et quærens invenit, et pulsanti aperietur.

11 Quem autem vestrum patrem petet filius panem, num lapidem dabit illi? si et piscem, num pro pisce serpentem dabit illi?

12 Aut et si petierit ovum num dabit illi scorpionem?

13 Si ergo vos mali subsis-

χοντες, οἴδατε ἀγαθὰ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν ;

14 Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν· ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι.

15 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια·

16 Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ.

17 Αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα, εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει.

18 Εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ ; ὅτι λέγετε, ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια,

19 Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι ; διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται.

20 Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

21 Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ.

22 Ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν, τὴν πανοπλίαν αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

23 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα

tentes, nostis bona dona dare filiis vestris, quanto magis Pater de cælo dabit Spiritum sanctum petentibus se ?

14 Et erat ejiciens dæmonium, et illud erat mutum. Factum est autem dæmonio egresso, loquutus est mutus : et admiratæ sunt turbæ.

15 Quidam autem ex eis dixerunt : in Beelzebul principe dæmoniorum ejicit dæmonia.

16 Alii autem tentantes, signum ab eo quærebant de cælo

17 Ipse autem videns cogitationes eorum, dixit eis : Omne regnum in seipsum divisum desolatur, et domus supra domum cadit.

18 Si autem et Satanas in seipsum divisus est, quomodo stabit regnum ejus ? quia dicitis in Beelzebul ejicere me dæmonia.

19 Si autem ego in Beelzebul ejicio dæmonia, filii vestri in quo ejiciunt ? propter hoc judices vestri ipsi erunt.

20 Si autem in digito Dei ejicio dæmonia, profecto pervenit in vos regnum Dei.

21 Quum fortis armatus custodit suum atrium, in pace sunt obtingentia ipsius.

22 Postquam autem fortior eo superveniens vicerit eum, omnem armaturam ejus tollit, in quia confidebat, et spolia ejus distribuit.

23 Non existens cum me, contra me est : et non colligens cum me, dispergit.

24 Quum immundus spiritus

ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον, λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον.

25 Καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον.

26 Τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.

27 Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας.

28 Αὐτὸς δὲ εἶπε· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

29 Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

30 Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις, ἔτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.

31 Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ, πλεῖον Σολομῶνος ὧδε.

32 Ἄνδρες Νινευῖ ἀναστήσονται ἐν τῇ κρισει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

33 Οὐδεὶς δὲ λύχνον ἅψας, εἰς

exierit ab homine, perambulat per inaquosa loca, quærens requiem: et non invenient, dicit: Revetar in domum meam, unde exivi.

25 Et veniens, invenit scopis versam et ornatam.

26 Tunc vadit et assumit septem alios spiritus nequiores seipso, et ingressi habitant ibi: et fiunt novissima hominis illius pejora prioribus.

27 Factum est autem, in dicere ipsum hæc, extollens quædam mulier vocem ex turba, dixit illi: Beatus uterus qui gestavit te, et ubera quæ suxisti.

28 Ille autem dixit: Quinimo beati audientes verbum Dei, et custodientes illud.

29 At turbis congregatis, cœpit dicere: Generatio hæc mala est: signum quærit, et signum non dabitur ei, si non signum Jonæ prophetæ.

30 Sicut enim factus est Jonas signum Ninivitis, ita erit et Filius hominis generationi isti.

31 Regina Austri excitabitur in judicio cum viris generationis hujus, et condemnabit illos: quia venit à terminis terræ audire sapientiam Solomonis: et ecce plus Solomone hic.

32 Viri Ninivitæ resurgent in judicio cum generatione hac, et condemnabunt illam: quia pœnitentiam egerunt ad proclamationem Jonæ: et ecce plus Jona hic.

33 Nemo autem lucernam

κρυπτὴν τίθησιν, οὐ δεὐπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν.

34 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ὅταν ἓν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν· ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.

35 Σκόπει ἓν μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστίν·

36 Εἰ ἓν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον τὶ μέρος σκοτεινὸν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.

37 Ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα αὐτὸν φαρισαῖος τις ὅπως ἀριστήσῃ παρ' αὐτῷ. Εἰσελθὼν δὲ ἀνέπεσεν.

38 Ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.

39 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· Νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας.

40 Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε;

41 Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ, πάντα καθαρὰ ὑμῖν ἐστιν.

42 Ἀλλ' οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

43 Οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.

accendens in abscondito ponit, neque sub modio, sed supra candelabrum, ut ingredientes lumen videant.

34 Lucerna corporis est oculus: quum ergo oculus tuus simplex fuerit, totum corpus tuum lucidum est: si autem sceleratus fuerit, etiam corpus tuum tenebrosum.

35 Adverte ergo ne lumen quod in te, tenebræ sint.

36 Si ergo corpus tuum totum lucidum, non habens aliquam partem tenebrosam, erit lucidum totum, ut quum lucerna fulgore illuminat te.

37 In autem loqui, rogavit illum Pharisæus quidam ut pranderet apud se: ingressus autem recubuit.

38 At Pharisæus videns admiratus est, quod non prius ablutus esset ante prandium.

39 Ait autem Dominus ad illum: nunc vos Pharisæi quod deforis calicis et catini mundatis: quod autem intus vestrum plenum est rapina et malitia.

40 Stulti, nonne faciens quod deforis, et quod deintus fecit?

41 Verum tamen inexistentia date eleëmosynam, et ecce omnia munda vobis sunt.

42 Sed væ vobis Pharisæis quia decimatis mentham, et rutam et omne olus, et præteritis judicium et charitatem Dei. hæc oportebat facere, et illa non omittere.

43 Væ vobis Pharisæis, quia diligitis primam sessionem in synagogis, et salutationes in foris.

44 Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί· ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι οἱ περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.

45 Ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ· Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

46 Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις.

47 Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.

48 Ἄρα μαρτυρεῖτε, καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα.

49 Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ Θεοῦ εἶπεν· Ἀποστελῶ εἰς αὐτοὺς προφήτας, καὶ ἀποστόλους· καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ ἐκδιώξουσιν·

50 Ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης,

51 Ἀπὸ τοῦ αἵματος Ἄβελ, ἕως τοῦ αἵματος Ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.

52 Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.

53 Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτοὺς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων,

44 Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia estis ut monumenta non apparentia, et homines deambulantes supra non sciunt.

45 Respondens autem quidam Legis peritorum ait illi: Magister, hæc dicens et nos notas.

46 Ille autem ait: Et vobis Legisperitis væ, quia oneratis homines oneribus difficulter portabilibus, et ipsi uno digitorum vestrorum non attingitis onera.

47 Væ vobis, quia ædificatis monumenta Prophetarum, at patres vestri occiderunt illos.

48 Profecto testificamini, et consentitis operibus patrum vestrorum, quoniam ipsi quidem occiderunt eos, vos autem ædificatis eorum sepulchra.

49 Propter hoc et sapientia Dei dixit: Mittam ad illos Prophetas et Apostolos, et ex illis occident, et prosequentur.

50 Ut inquiratur sanguis omnium Prophetarum, effusus à constitutione mundi, à genetatione ista:

51 A sanguine Abel, usque ad sanguinem Zachariæ, perditi inter altare et ædem: etiam dico vobis, requiretur à generatione hac.

52 Væ vobis Legisperitis, quia tulistis clavem scientiæ: ipsi non introistis, et introeuntes prohibuistis.

53 Dicente autem illo hæc ad illos, cœperunt Scribæ et Pharisæi graviter insistere, et interrogare ipsum de multis:

54 Ἐνεδρεύοντες αὐτὸν, καὶ ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

54 Insidiantes ei, et quærentes venari aliquid de ore ejus, ut accusarent eum.

Κεφ. ιβ'. 12.

CAPUT XII.

1 Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον· Προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.

1 In quibus adcongregatis myriadibus turbæ, ut conculcarent alii alios, cœpit dicere ad discipulos suos primum : Attendite vobis-ipsis à fermento Pharisæorum, quod est hypocrisis.

2 Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται· καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

2 Nihil enim coopertum est, quod non reveletur : et absconditum, quod non sciatur.

3 Ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται· καὶ ὃ πρὸς τὸ ἓς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

3 Propter quæ, quæ in tenebris dixistis, in lumine audientur : et quod ad aurem loquuti estis in cubiculis, prædicabitur supra domos.

4 Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.

4 Dico autem vobis amicis meis : Ne timeatis ab occidentibus corpus, et post hæc non habentibus abundantius quid facere.

5 Ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν· ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε.

5 Ostendam autem vobis quem timeatis : timete illum post occidere, auctoritatem habentem injicere in gehennam : ita dico vobis, hunc timete.

6 Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ ;

6 Nonne quinque passeres væneunt assariis duobus, et unus ex illis non est in oblivione coram Deo.

7 Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται, μὴ φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε.

7 Sed et capilli capitis vestri omnes numerati sunt. ne ergo timete : multis passeribus præstatis vos.

8 Λέγω δὲ ὑμῖν· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ·

8 Dico autem vobis : Omnis quicumque confessus fuerit in me coram hominibus, et filius nominis confitebitur in illo coram angelis Dei.

9 Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον

9 At negans me coram ho-

τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ.

10 Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται.

11 Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε·

12 Τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

13 Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν.

14 Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;

15 Εἶπε δὲ πρὸς αὐτούς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.

16 Εἶπε δὲ παραβολὴν πρὸς αὐτοὺς, λέγων· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα,

17 Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;

18 Καὶ εἶπε· Τοῦτο ποιήσω, καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου.

19 Καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλὰ, ἀναπαύου, φάγε, πίε, εὐφραίνου.

20 Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυ-

minibus, negabitur coram angelis Dei.

10 Et omnis qui dicit verbum in filium hominis, remittetur illi: at in sanctum Spiritum blasphemanti non remittetur.

11 Quum autem adduxerint vos in synagogas et principatus et potestates, ne curate qualiter aut quid excusetis, aut quid dicatis.

12 Nam sanctus Spiritus docebit vos in ipsa hora, quæ oportet dicere.

13 Ait autem quidam ei de turba: Magister, dic fratri meo partiri cum me hæreditatem.

14 Ille autem dixit ei: Homo, Quis me constituit judicem aut divisorem super vos?

15 Dixit autem ad illos: Videte et cavete ab avaritia quia non in redundare cuiquam vita ejus est ex substantia ipsius.

16 Dixit autem similitudinem ad illos, dicens: Hominis cujusdam divitis bene tulit regio.

17 Et ratiocinabatur in seipso, dicens: Quid faciam? quia non habeo quo congregabo fructus meos?

18 Et dixit: Hoc faciam: Destruam mea horrea, et majora ædificabo, et congregabo illuc omnia nata mea, et bona mea.

19 Et dicam animæ meæ: Anima, habes multa bona posita in annos plurimos, requiesce, comede, bibe, oblectare.

20 Dixit autem illi Deus: Stulte, hac nocte animam tuam

χήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται ;

21 Οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς Θεὸν πλουτῶν

22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι, τί ἐνδύσησθε.

23 Ἡ ψυχὴ πλεῖον ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος.

24 Κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν· οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν ;

25 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα ;

26 Εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε ;

27 Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

28 Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς ἕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι :

29 Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε.

30 Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρήζετε τούτων.

31 Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

repetunt à te : quæ autem parasti, cui erunt ?

21 Sic thesaurizans sibiipsi, et non in Deum ditescens.

22 Dixit autem ad discipulos suos : Propter hoc vobis dico : Ne soliciti sitis animæ vestræ, quid manducetis, neque corpori quid induamini.

23 Anima plus est alimento, et corpus, vestimento.

24 Considerate corvos, quia non seminant, neque metunt, quibus non est cellarium, neque horreum, et Deus alit illos : quanto magis vos præstatis volucribus ?

25 Quis autem ex vobis cogitans solicitè potest apponere ad ætatem suam cubitum unum ?

26 Si ergo neque minimum potestis, quid de cæteris solicitu estis.

27 Considerate lilia, quomodo crescunt : non laborant, neque nent : Dico autem vobis, Neque Solomon in omni gloria sua circumamiciebatur sicut unum istorum.

28 Si autem fœnum in agro hodie existens, et cras in clibanum missum, Deus sic circumamicit, quanto magis vos exiguæ fidei ?

29 Et vos ne quærite quid manducetis, aut quid bibatis, et ne suspendamini ex sublimi.

30 Hæc enim omnia gentes mundi quærunt : vester autem pater scit quoniam indigetis his.

31 Verum tamen quærite regnum Dei, et hæc omnia adjicientur vobis.

32 Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν.

33 Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

34 Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

35 Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι,

36 Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ.

37 Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγορέντας· ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

38 Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ ἕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

39 Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ.

40 Καὶ ὑμεῖς ἓν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

41 Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;

42 Εἶπε δὲ ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς

32 Ne time, pusillus grex, quia bene visum est Patri vestro dare vobis regnum.

33 Vendite substantias vestras, et date eleëmosynam. facite vobis crumenas non vetere rascentes, thesaurum non deficientem, in cælis, quo fur non appropriat, neque tinea corrumpit.

34 Ubi enim est thesaurus vester, ibi et cor vestrum erit.

35 Sint vestri lumbi præcincti, et lucernæ accensæ.

36 Et vos similes hominibus expectantibus dominum suum, quando revertatur à nuptiis ut veniente et pulsante, confestim aperiant ei.

37 Beati servi illi, quos veniens dominus invenerit vigilantes. Amen dico vobis, quod succingetur, et faciet discumbere illos, et prodiens ministrabit illis.

38 Et si venerit in secunda vigilia, et in tertia vigilia venerit, et invenerit ita, beati sunt servi illi.

39 Hoc autem scitote, quoniam si sciret paterfamilias qua hora fur veniret, vigilaret utique, et non utique sineret perfodi domum suam.

40 Et vos igitur estote parati: quia qua hora non putatis, filius hominis venit.

41 Ait autem ei Petrus: Domine, ad nos parabolam hanc dicis, an et ad omnes?

42 Dixit autem Dominus: Quisnam est fidelis dispensator et prudens, quem constituit do-

θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον ;

43 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα ἕτως.

44 Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

45 Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι,

46 Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

47 Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς·

48 Ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ· καὶ ᾧ παρέθετο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν.

49 Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη ;

50 Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως ἔ τελεσθῇ ;

51 Δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ ; οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν.

52 Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ καὶ δύο ἐπὶ τρισί.

53 Διαμερισθήσεται πατὴρ ἐφ'

minus super famulitio suo, ad dandum in tempore tritici mensuram ?

43 Beatus servus ille, quem veniens dominus ejus invenerit facientem ita.

44 Vere dico vobis, quoniam super omnibus substantiis ipsius constituet illum.

45 Si autem dixerit servus ille in corde suo : Tardat dominus meus venire, et cœperit percutere pueros, et ancillas, edereque et bibere et inebriari :

46 Veniet dominus servi illius in die qua non exspectat, et in hora qua non cognoscit : et dissecabit eum, et partem ejus cum infidelibus ponet.

47 Ille autem servus noscens voluntatem domini sui, et non apparans, neque faciens ad voluntatem ejus, cædetur multis.

48 Qui autem non noscens, faciens autem digna plagis, cædetur paucis : omni autem cui datum est multum, multum quæretur ab eo : et cui deposuerunt multum, abundantius reposcent eum.

49 Ignem veni jacere in terram, et quid volo si jam accendatur ?

50 Baptismâ autem habeo baptizari, et quomodo coarctor, usquequo perficiatur ?

51 Putatis quia pacem veni dare in terra ? non, dico vobis, sed discidium.

52 Erunt enim ex nunc quinque in domo una dispartiti, tres in duos, et duo in tres.

53 Dispartietur pater in ﬠ

υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί· μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρί· πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.

54 Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· Ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, Ὄμβρος ἔρχεται· καὶ γίνεται ἕτω·

55 Καὶ ὅταν νότον πνέοντα, λέγετε· Ὅτι καύσων ἔσται· καὶ γίνεται.

56 Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε ;

57 Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον ;

58 Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ, δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ· μήποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλλῃ εἰς φυλακήν.

59 Λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

Κεφ. ιγ'. 13.

1 Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν.

2 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι ἅτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν ;

3 Οὐχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε.

4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε

lium, et filius in patrem : mater in filiam, et filia in matrem : socrus in nurum suam, et nurus in socrum suam.

54 Dicebat autem et turbis : Quum videritis nubem orientem ab occasibus, statim dicitis : Imber venit, et fit ita.

55 Et quum Austrum flantem, dicitis : quia æstas erit : et fit.

56 Hypocritæ, faciem cæli et terræ nostis probare, at tempus hoc quomodo non probatis ?

57 Quid autem et à vobis ipsis non judicatis quod justum ?

58 Quum enim vadis cum adversario tuo ad principem, in via da operam liberari ab illo : ne forte trahat te ad judicem, et judex te tradat exactori, et exactor jaciat te in carcerem.

59 Dico tibi : Non egredieris illinc, usquequo etiam novissimum minutum reddas

CAPUT XIII.

1 ADERANT autem quidam in ipso tempore, nuntiantes illi de Galilæis, quorum sanguinem Pilatus miscuit cum sacrificiis eorum.

2 Et respondens Jesus dixit illis : Putatis quod Galilæi hi peccatores præ omnibus Galilæis fuerint, quia talia passi sunt ?

3 Non, dico vobis, sed si non pœniteamini, omnes similiter peribitis.

4 Vel illi decem et octo, supra quos cecidit turris in Siloam, et occidit eos : putatis quia

ὅτι ἄρα ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ;

5 Οὐχί, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως ἀπολεῖσθε.

6 Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε καρπὸν ζητῶν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν.

7 Εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ, τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ;

8 Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν, καὶ βάλω κοπρίαν,

9 Κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

10 Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι·

11 Καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ· καὶ ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές.

12 Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς, προσεφώνησε· καὶ εἶπεν αὐτῇ· Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου.

13 Καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν Θεόν.

14 Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν, ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.

15 Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος, καὶ εἶπεν· Ὑποκριταὶ, ἕκαστος ὑ-

ipsi debitores fuerint præter omnes homines habitantes in Hierusalem?

5 Non dico vobis, sed si non pœnitueritis, omnes similiter peribitis.

6 Dicebat autem hanc similitudinem: Ficum habebat quidam in vinea sua plantatam, et venit fructum quærens: in illa, et non invenit.

7 Dixit autem ad venitorem: Ecce tres annos venio quærens fructum in ficulnea hac, et non invenio. Exscinde illam: ut quid etiam terram occupat?

8 Is autem respondens, dicit illi: Domine, relinque eam et hunc annum, usque dum fodiam circa illam, et mittam stercus.

9 Et si quidem fecerit fructum: si verò non, in futurum exscindes eam.

10 Erat autem docens in una synagogarum in Sabbatis.

11 Et ecce mulier erat spiritum habens infirmitatis annos decem et octo: et erat concurvata, et non potens recurvare in omnino.

12 Videns autem eam Jesus, advocavit, et ait illi: Mulier, absoluta es infirmitatis tuæ.

13 Et imposuit illi manus, et confestim erecta est, et glorificabat Deum.

14 Respondens autem archisynagogus, indignans quia Sabbato curasset Jesus, dicebat turbæ: Sex dies sunt in quibus oportet operari: in his ergo venientes curamini, et non die Sabbati.

15 Respondit ergo ei Dominus et dixit. Hypocrita, unus-

μῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει;

16 Ταύτην δὲ, θυγατέρα Ἀβραὰμ ὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;

17 Καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.

18 Ἔλεγε δέ· Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ; καὶ τίνι ὁμοιώσω αὐτήν;

19 Ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ, καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ.

20 Καὶ πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ;

21 Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

22 Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

23 Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς·

24 Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν.

25 Ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς

quisque vestrum Sabbato non solvit bovem suum, aut asinum à præsepio, et abducens potum dat?

16 Hanc autem filiam Abrahæ existentem, quam ligavit Satanas ecce decem et octo annos, non oportuit solvi à vinculo isto die Sabbati?

17 Et hæc dicente eo, erubescebant omnes oppositi ei: et omnis turba gaudebat in universis gloriosis factis ab eo.

18 Dicebat autem: Cui simile est regnum Dei, et cui similabo illud?

19 Simile est grano sinapis, quod accipiens homo misit in hortum suum, et crevit, et factum est in arborem magnam, et volucres cæli nidulati sunt in ramis ejus.

20 Et iterum dixit: cui similabo regnum Dei?

21 Simile est fermento, quod accipiens mulier abscondit in farinæ sata tria, donec fermentatum est totum.

22 Et transibat per civitates et vicos docens, et iter faciens in Hierusalem.

23 Ait autem quidam illi Domine, num pauci servantur? Ipse autem dixit ad illos:

24 Contendite intrare per angustam portam: quia multi, dico vobis, quærent intrare, et non poterunt.

25 Ex quo autem surrexerit paterfamilias, et clauserit ostium, et cœperitis foris stare, et pulsare ostium, dicentes: Domine, Domine, aperi nobis.

ἐρεῖ ὑμῖν Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ.

26 Τότε ἄρξεσθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας.

27 Καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας.

28 Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω.

29 Καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ βορρᾶ καὶ νότου· καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

30 Καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶ πρῶτοι οἳ ἔσονται ἔσχατοι.

31 Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες φαρισαῖοι, λέγοντες αὐτῷ· Ἔξελθε, καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι.

32 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· Ἰδοὺ, ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι.

33 Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι· ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλήμ.

34 Ἰερουσαλὴμ, Ἰερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;

35 Ἰδοὺ, ἀρίεται ὑμῖν ὁ οἶκος

et respondens dicet vobis: Non novi vos, unde sitis.

26 Tunc incipietis dicere: Manducavimus coram te, et bibimus, et in plateis nostris docuistis.

27 Et dicet: Dico vobis, Non novi vos unde sitis: abscedite à me omnes operarii iniquitatis.

28 Ibi erit fletus et stridor dentium, quum videritis Abraham, et Isaac, et Jacob, et omnes Prophetas in regno Dei, vos autem expulsos foras.

29 Et venient ab Orientibus et Occidentibus, et Aquilone, et Austro, et recumbent in regno Dei.

30 Et ecce sunt novissimi qui erunt primi, et sunt primi qui erunt novissimi.

31 In ipsa die accesserunt quidam Pharisæi, dicentes illi: Exi et vade hinc, quia Herodes vult te occidere.

32 Et ait illis: Euntes dicite vulpi illi: Ecce ejicio dæmonia, et sanitates perficio hodie et cras, et tertiâ consummor.

33 Verumtamen oportet me hodie et cras et perendie ambulare: quia non capit Prophetam perire extra Hierusalem.

34 Hierusalem, Hierusalem, occidens Prophetas, et lapidans missos ad te, quoties volui congregare filios tuos, quemadmodum avis congregat suam pullitiem sub alas, et non voluistis?

35 Ecce relinquitur vobis

ὑμῶν ἔρημος· λέγω δε ὑμῖν, ὅτι οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Κεφ. ιδ. 14.

1 Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν.

2 Καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ.

3 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ φαρισαίους, λέγων· Εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν; Οἱ δὲ ἡσύχασαν.

4 Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε.

5 Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπε· Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου

6 Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα.

7 Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολὴν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς·

8 Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ·

9 Καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· Δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.

10 Ἀλλ' ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώ-

domus vestra deserta. Dico autem vobis, quia non me videbitis, donec veniat quum dicetis: Benedictus veniens in nomine Domini.

CAPUT XIV.

1 ET factum est in venire eum in domum cujusdam principum Pharisæorum Sabbato manducare panem, et ipsi erant observantes eum.

2 Et ecce homo quidam erat hydropicus ante illum.

3 Et respondens Jesus dixit ad Legisperitos et Pharisæos, dicens: Si licet Sabbato curare?

4 Illi autem tacuerunt. Et apprehendens sanavit eum, et dimisit.

5 Et respondens ad illos dixit: Cujus vestrum asinus aut bos in puteum cadet, et non continuo extrahet illum in die Sabbati?

6 Et non poterant respondere illi ad hæc.

7 Dicebat autem ad vocatos parabolam, attendens quomodo primos accubitus eligerent, dicens ad illos:

8 Quum vocatus fueris ab aliquo ad nuptias, ne discumbas in primo accubitu, ne quando honoratior te sit vocatus ab illo.

9 Et veniens te et illum vocans, dicat tibi: Da huic locum: et tunc incipias cum pudore ultimum locum obtinere.

10 Sed quum vocatus fueris, vadens recumbe in novissimum locum, ut quum venerit qui te vocavit, dicat tibi · Amice

τερον τό.ε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοί.

11 Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

12 Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα·

13 Ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχὲς, ἀναπήρους, χωλοὺς, τυφλούς·

14 Καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.

15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν αὐτῷ· Μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

16 Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς·

17 Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα.

18 Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτὸν, ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

19 Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά, ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

20 Καὶ ἕτερος εἶπε· Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.

21 Καὶ παραγενόμενος ὁ δοῦλος

ascende superius, tunc erit tibi gloria coram simul discumbentibus tibi.

11 Quia omnis extollens seipsum humiliabitur, et humilians seipsum exaltabitur.

12 Dicebat autem et vocanti ipsum: Quum facis prandium aut cœnam, ne voca amicos tuos, neque fratres tuos, neque cognatos tuos, neque vicinos divites, ne quando et ipsi te vicissim vocent, et fiat tibi retributio.

13 Sed quum facis epulum, voca pauperes, mancos, claudos cæcos.

14 Et beatus eris, quia non habent retribuere tibi: retribuetur enim tibi in resurrec tione justorum.

15 Audiens autem quidam simul recumbentium hæc, dixit illi: Beatus qui manducabit panem in regno Dei.

16 Ipse autem dixit ei: Homo quidam fecit cœnam mag nam, et vocavit multos.

17 Et misit servum suum hora cœnæ dicere vocatis: venite, quia jam parata sunt omnia.

18 Et cœperunt ab una excusare omnes. Primus dixit ei: Agrum emi, et habeo necesse exire, et videre illum: rogo te, habe me excusatum.

19 Et alter dixit: Juga boum emi quinque, et eo probare illa: rogo te, habe me excusatum.

20 Et alius dixit: Uxorem duxi, et propter hoc non possum venire.

21 Et adveniens servus ille

ἐκεῖνος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα, τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ· Ἐξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε.

22 Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί.

23 Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· Ἐξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου.

24 Λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

25 Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί· καὶ στραφεὶς εἶπε πρὸς αὐτούς·

26 Εἴτις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι.

27 Καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής.

28 Τίς γὰρ ἐξ ὑμῶν, ὁ θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν,

29 Ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ,

30 Λέγοντες· Ὅτε ἧτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἰσχυσεν ἐκτελέσαι.

31 Ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρῶτον βουλεύσεται εἰ δυνατός ἐστι μετὰ δεκα-

nuntiavit domino suo hæc. Tunc iratus paterfamilias dixit servo suo : Exi cito in plateas et vicos civitatis, et pauperes, et mancos, et claudos, et cæcos introduc huc.

22 Et ait servus : Domine factum est ut imperasti, et adhuc locus est.

23 Et ait dominus ad servum : Exi in vias et sepes, et coge intrare, ut impleatur domus mea.

24 Dico enim vobis, quia nemo virorum illorum vocatorum gustabit meam cœnam.

25 Ibant autem cum eo turbæ multæ : et conversus dixit ad illos :

26 Si quis venit ad me, et non odit patrem suum, et matrem, ut uxorem, et filios, et fratres, et sorores, adhuc autem et suam animam, non potest meus esse discipulus.

27 Et qui non bajulat crucem suam, et venit post me, non potest meus esse discipulus.

28 Quis enim ex vobis volens turrim ædificare, nonne prius sedens computat sumptum, si habeat ea quæ ad perfectionem ?

29 Ut ne quando ponente ipso fundamentum, et non potente perficere, omnes videntes incipiant illudere ei,

30 Dicentes : Quia hic homo cœpit ædificare, et non potuit consummare.

31 Aut quis rex iturus committere alteri regi in bellum, non sedens prius consultat si

λεύεται εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν ;

32 Εἰ δὲ μήγε, ἔτι αὐτοῦ πόρρω ὄντος, πρεσβείαν ἀποστείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην.

33 Οὕτως οὖν, πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής.

34 Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται ;

35 Οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Κεφ. ιέ. 15.

1 Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ, ἀκούειν αὐτοῦ.

2 Καὶ διεγόγγυζον οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέγοντες· Ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς.

3 Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων·

4 Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς, ἕως εὕρῃ αὐτό·

5 Καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων,

6 Καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας· λέγων αὐτοῖς· Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός.

7 Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπ' ἐννενηκονταpotens est in decem milibus occurrere cum viginti millibus venienti ad se ?

32 Si autem non, adhuc longe illo existente, legationem mittens rogat quæ ad pacem.

33 Sic ergo omnis ex vobis, qui non renuntiat omnibus suis substantiis, non potest meus esse discipulus.

34 Bonum sal : si autem sal infatuetur, in quo condietur ?

35 Neque in terram, neque in sterquilinium appositum est : foras mittunt illud. habens aures audiendi, audiat.

CAPUT XV.

1 ERANT autem appropinquantes ei omnes publicani et peccatores, audire illum.

2 Et murmurabant Pharisæi et Scribæ, dicentes : Quia hic peccatores recipit, et manducat cum illis.

3 Ait autem ad illos parabolam istam, dicens :

4 Quis homo ex vobis habens centum oves, et perdens unam ex illis, nonne dimittit nonaginta novem in deserto, et vadit ad perditam, donec inveniat eam ?

5 Et inveniens imponit in humeros suos gaudens.

6 Et veniens in domum convocat amicos et vicinos, dicens illis : Congratulamini mihi, quia inveni ovem meam perditam.

7 Dico vobis, quod ita gaudium erit in cælo super uno peccatore pœnitente, quam

εννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

8 Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως οὗ εὕρῃ·

9 Καὶ εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας, λέγουσα· Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα;

10 Οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

11 Εἶπε δέ· Ἄνθρωπός τις εἶχε δύο υἱούς·

12 Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον.

13 Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.

14 Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι.

15 Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.

16 Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ.

17 Εἰς ἑαυτὸν δὲ ἐλθὼν, εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι.

super nonaginta novem justis qui non opus habent pœnitentia.

8 Aut quæ mulier drachmas habens decem, si perdiderit drachmam unam, nonne accendit lucernam, et everrit domum, et quærit diligenter, usque quo inveniat?

9 Et inveniens convocat amicas et vicinas, dicens: Congratulamini mihi, quia inveni drachmam quam perdideram.

10 Ita, dico vobis, gaudium fit coram angelis Dei super uno peccatore pœnitente.

11 Ait autem: Homo quidam habuit duos filios.

12 Et dixit junior eorum patri: Pater, da mihi competentem partem substantiæ, et divisit illis vitam.

13 Et post non multos dies congregans omnia junior filius peregrè profectus est in regionem longinquam, et ibi dissipavit substantiam suam vivens profusè.

14 Consumente autem ipso omnia, facta est fames valida per regionem illam, et ipse cœpit defici.

15 Et abiens adhæsit uni civium regionis illius: et misit illum in agros suos pascere porcos.

16 Et desiderabat implere ventrem suum de siliquis quas manducabant porci: et nemo dabat illi.

17 In se autem veniens, dixit: Quot mercenarii patris mei abundant panibus, ego autem fame pereo?

18 Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου,

19 Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

20 Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ, ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.

21 Εἶπε δὲ αὐτῷ ὁ υἱὸς· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιον σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

22 Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας·

23 Καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν·

24 Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι.

25 Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χωρῶν·

26 Καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων αὐτοῦ, ἐπυνθάνετο τί εἴη ταῦτα.

27 Ὁ δὲ εἶπεν αὐτῷ· Ὅτι ὁ ἀδελφός σου ἥκει· καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.

28 Ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν

18 Surgens ibo ad patrem meum, et dicam ei: Pater, peccavi in cælum, et corum te

19 Et non amplius sum dignus vocari filius tuus, fac me sicut unum mercenariorum tuorum.

20 Et surgens venit ad patrem suum. Adhuc autem eo longè absente, vidit illum pater ipsius, et misericordia motus est, et currens cecidit super collum ejus, et osculatus est eum.

21 Dixit autem ei filius: Pater, peccavi in cœlum et coram te, et non amplius sum dignus vocari filius tuus.

22 Dixit autem pater ad servos suos: Afferte stolam primam, et induite illum, et date annulum in manum ejus, et calceamenta in pedes.

23 Et afferentes vitulum saginatum occidite, et comedentes oblectemur.

24 Quia hic filius meus mortuus erat, et revixit: et perditus fuerat, et inventus est: et cœperunt oblectari.

25 Erat autem filius ejus senior in agro: et ut veniens appropinquavit domui, audivit symphoniam et choros.

26 Et advocans unum puerorum, interrogavit quid essent hæc.

27 Is autem dixit illi: Quia frater tuus venit: et occidit pater tuus vitulum saginatum: quia valentem illum recepit

28 Indignatus est autem, et

εἰσελθεῖν· ὁ ἓν παλὴρ αὐτοῦ ἐξελθὼν, παρεκάλει αὐτόν.

29 Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ παλρί· Ἰδοὺ, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐνολλήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μελὰ τῶν φίλων μου εὐφρανθῶ·

30 Ὅτε δὲ ὁ υἱός σου ἕτος, ὁ καλαφαγών σου τὸν βίον μελὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σίλευλόν·

31 Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντολε μετ' ἐμοῦ εἶ, καὶ πάνλα τὰ ἐμὰ, σά ἐσλιν·

32 Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου ἕτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

Κεφ. ις'. 16.

1 Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον, καὶ ἕτος διεβλήθη αὐτῷ, ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.

2 Καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· Τί τοῦτο ἀκούω περὶ σου; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου· οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.

3 Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι.

4 Ἔγνων τί ποιήσω, ἵνα ὅταν μεταστα θῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.

5 Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ, ἔλεγε τῷ πρώτῳ· Πόσον ὀφείλεις τῷ κυρίῳ μου;

6 Ὁ δὲ εἶπεν· Ἑκατὸν βάτους

non volebat introire, ergo pater illius egressus advocabat illum

29 Is autem respondens dixit patri: Ecce tot annos servio tibi, et nunquam mandatum tuum præterivi, et mihi nunquam dedisti hœdum, ut eum amicis meis oblectarer.

30 Quum autem filius tuus hic, devorans tuam vitam cum meretricibus, venit, occidisti illi vitulum saginatum.

31 Is autem dixit illi: Fili, tu semper cum me es, et omnia mea tua sunt.

32 Oblectari autem et gaudere oportebat, quia frater tuus hic mortuus erat, et revixit: et perditus erat, et inventus est.

CAPUT XVI.

1 DICEBAT autem et ad discipulos suos: Homo quidam erat dives, qui habebat dispensatorem, et hic delatus est ei, ut dissipans substantias illius.

2 Et vocans illum, ait illi: Quid hoc audio de te? Redde rationem dispensationis tuæ, non enim poteris adhuc dispensare.

3 Ait autem in seipso dispensator: Quid faciam, quia dominus meus aufert dispensationem à me? fodere non valeo, mendicare erubesco.

4 Scio quid faciam, ut quum amotus fuero dispensatione, recipiant me in domos suas.

5 Et convocans unumquemque debitorum Domini sui, dicebat primo: Quantum debes domino meo?

6 Is autem dixit: Centum

ἐλαίου. Καὶ εἶπεν αὐτῷ· Δέξαι σου τὸ γράμμα, καὶ καθίσας ταχέως γράψον πεντήκοντα.

7 Ἔπειτα ἑτέρῳ εἶπε· Σὺ δὲ πόσον ὀφείλεις; Ὁ δὲ εἶπεν· Ἑκατὸν κόρους σίτου. Καὶ λέγει αὐτῷ· Δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα.

8 Καὶ ἐπήνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσι.

9 Κἀγὼ ὑμῖν λέγω· Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

10 Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν.

11 Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει;

12 Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;

13 Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

14 Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ φαρισαῖοι φιλάργυροι ὑπάρχοντες, καὶ ἐξεμυκτήριζον αὐτόν.

15 Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ ἐστιν.

16 Ὁ νόμος καὶ οἱ προφῆται

batos olei. Et dixit illi: Accipe tuum scriptum, et sedens citò scribe quinquaginta.

7 Deinde alii dixit: Tu verò quantum debes? is autem ait: Centum coros tritici, et ait illi: Accipe tuas literas, et scribe octoginta.

8 Et laudavit dominus dispensatorem injustitiæ, quia prudenter fecisset: quia filii seculi hujus prudentiores super filios lucis in generationem suam sunt.

9 Et ego vobis dico: Facite vobis ipsis amicos de mamona injustitiæ, ut quum defeceritis, recipiant vos in æterna tabernacula.

10 Fidelis in minimo, et in multo fidelis est: et in modico injustus, etiam in multo injustus est.

11 Si ergo in injusto mamona fideles non fuistis, verum quis vobis credet?

12 Et si in alieno fideles non fuistis, vestrum quis vobis dabit?

13 Nemo servus potest duobus dominis servire. aut enim unum odiet, et alterum diliget: aut uni adhærebit, et alterum contemnet. non potestis Deo servire et mamonæ.

14 Audiebant autem hæc omnia et Pharisæi avari subsistentes, et deridebant illum.

15 Et ait illis: Vos estis justificantes vos ipsos coram hominibus: at Deus novit corda vestra, quia quod in hominibus altum, abominatio ante Deum est.

16 Lex et Prophetæ usque

ἕως Ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

17 Εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν.

18 Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει· καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχεύει.

19 Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς·

20 Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος,

21 Καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ.

22 Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη·

23 Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ,

24 Καὶ αὐτὸς φωνήσας εἶπε· Πάτερ Ἀβραὰμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ.

25 Εἶπε δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι.

26 Καὶ ἐπὶ πᾶσι τούτοις, με-

ad Joannem : à tunc regnum Dei euangelizatur, et omnis in illud vim facit.

17 Facilius autum est, cælum et terram præterire, quam Legis unum apicem cadere.

18 Omnis repudians uxorem suam, et ducens alteram, mœchatur : et omnis repudiatam à viro ducens, mœchatur.

19 Homo autem quidem erat dives, et induebatur purpuram et byssum, oblectatus quotidie splendide.

20 Pauper autem quidam erat nomine Lazarus, qui ejectus erat ad januam ejus ulcerosus.

21 Et cupiens saturari de micis cadentibus de mensa divitis ; sed et canes venientes lingebant ulcera ejus.

22 Factum est autem mori pauperem, et asportari eum ab angelis in sinum Abrahæ : Mortuus est autem et dives, et sepultus est.

23 Et in inferno elevans oculos suos, existens in tormentis, vidit Abraham à longè, et Lazarum in gremiis ejus.

24 Et ipse clamans dixit : Pater Abraham miserere mei, et mitte Lazarum, ut intingat extremum digiti sui aqua, et refrigeret linguam meam : quia crucior in flamma hac.

25 Dixit autam Abraham : fili, recordare quia recepisti tu bona tua in vita tua, et Lazarus similiter mala : nunc autem hic consolatur, tu verò cruciaris.

26 Et omnibus his, inter nos

ταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς, μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν.

27 Εἶπε δέ· ἐρωτῶ ἓν σε πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου·

28 Ἔχω γὰρ πέντε ἀδελφοὺς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.

29 Λέγει αὐτῷ Ἀβραάμ· Ἔχουσι Μωσέα, καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν.

30 Ὁ δὲ εἶπεν· Οὐχὶ, πάτερ Ἀβραάμ· ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς, μετανοήσουσιν.

31 Εἶπε δὲ αὐτῷ· Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

et vos hiatus magnus firmatus est, ut volentes transire hinc ad vos, non possint: neque qui inde ad nos transmeent

27 Ait autem: Rogo ergo te, pater, ut mittas eum in domum patris mei.

28 Habeo enim quinque fratres, ut testetur illis, ut non et ipsi veniant in locum hunc tormenti.

29 Ait illi Abraham: Habent Mosen, et Prophetas: audiant illos.

30 Is autem dixit: Non pater Abraham: sed si quis ex mortuis ierit ad eos, pœnitebunt.

31 Ait autem illi: Si Mosen et Prophetas non audient, neque si quis ex mortuis resurrexerit, credent.

Κεφ. ιζ'. 17.

CAPUT XVII.

1 Εἶπε δὲ πρὸς τοὺς μαθητάς· ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται.

2 Λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.

3 Προσέχετε ἑαυτοῖς. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ.

4 Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ ἐπί σε, λέγων· μετανοῶ, ἀφήσεις αὐτῷ.

5 Καὶ εἶπον οἱ ἀπόστολοι τῷ Κυρίῳ· πρόσθες ἡμῖν πίστιν.

1 AIT autem ad discipulos: Impossibile est non venire scandala: væ autem per quem veniunt.

2 Expedit illi, si mola asinaria circumponatur circa collum ejus, et projiciatur in mare, quam ut scandalizet unum parvorum istorum.

3 Attendite vobis ipsis: si verò peccaverit in te frater tuus, increpa illum.

4 Et si pœnituerit, dimitte illi: et si septies die peccaverit in te, et septies die conversus fuerit ad te, dicens: Pœniteo, dimittes illi.

5 Et dixerunt Apostoli Domino: Appone nobis fidem.

6 Εἶπε δὲ ὁ Κύριος· εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν.

6 Dixit autem Dominus : Si haberetis fidem sicut granum sinapis, diceretis utique sycamino huic : Eradicare, et planitator in mare : et obediret utique vobis.

7 Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα, ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ εὐθέως· παρελθὼν ἀνάπεσαι·

7 Quis autem ex vobis servum habens arantem aut pascentem, qui regresso de agro dicat statim : Adveniens recumbe.

8 Ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ ;

8 Imo nonne dicet ei : Para quod cœnem, et circumcinctus ministra mihi, donec manducem et bibam, et post hac manducabis et bibes tu ?

9 Μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ ; οὐ δοκῶ.

9 Num gratiam habet servo illi, quia fecit præcepta ei ? non puto.

10 Οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε· ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.

10 Sic et vos quum feceritis omnia præcepta vobis, dicite, quod servi inutiles sumus, quia quod debuimus facere, fecimus.

11 Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας.

11 Et factum est in proficisci ipsum in Hierusalem, et is transibat per medium Samariæ et Galilææ.

12 Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν·

12 Et ingrediente eo in quendam vicum, occurrerunt ei decem leprosi viri, qui steterunt à longè.

13 Καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς.

13 Et ipsi levaverunt vocem, dicentes : Jesu præceptor, miserere nostri.

14 Καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν.

14 Et videns dixit eis : Euntes ostendite vos sacerdotibus. Et factum est in abeundo illos, mundati sunt.

15 Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν·

15 Unus autem ex illis videns quod sanatus esset, reversus est, cum voce magna glorificans Deum.

16 Καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης.

16 Et cecidit in faciem ante pedes ejus, gratias agens ei : et hic erat Samaritanus.

17 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;

18 Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος.

19 Καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

20 Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεκρίθη αὐτοῖς, καὶ εἶπεν· οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ μετὰ παρατηρήσεως,

21 Οὐδὲ ἐροῦσιν· ἰδοὺ ὧδε, ἢ, ἰδοὺ ἐκεῖ· ἰδοὺ γὰρ, ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητάς· ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε.

23 Καὶ ἐροῦσιν ὑμῖν· ἰδοὺ ὧδε, ἢ, ἰδοὺ ἐκεῖ· μὴ ἀπέλθητε, μηδὲ διώξητε.

24 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν, εἰς τὴν ὑπ' οὐρανὸν λάμπει, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ.

25 Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης.

26 Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

27 Ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἀπώλεσεν ἅπαντας.

28 Ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν·

29 Ἧι δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ

17 Respondens autem Jesus dixit: Nonne decem mundati sunt? at novem ubi?

18 Non sunt inventi redeuntes dare gloriam Deo, si non alienigena hic.

19 Et ait illi: Surgens vade: fides tua servavit te.

20 Interrogatus autem à Pharisæis, quando venit regnum Dei, respondit eis et dixit: Non venit regnum Dei cum observatione:

21 Neque dicent: Ecce hic, aut ecce illic: ecce enim regnum Dei intra vos est.

22 Ait autem et ad discipulos: Venient dies quando desideretis unum dierum filii hominis videre: et non videbitis.

23 Et dicent vobis: Ecce hic, aut ecce illic: ne abeatis neque sectemini.

24 Sicut enim fulgur coruscans ex ipsa quæ sub cælo, in eam quæ sub cælo fulget, ita erit filius hominis in die sua.

25 Primum autem oportet illum multa pati, et reprobari à generatione hac.

26 Et sicut factum est in diebus Noë, ita et erit in diebus filii hominis.

27 Edebant, bibebant, uxores ducebant, nubebant, usque quâ die intravit Noë in arcam, et venit diluvium, et perdidit omnes.

28 Similiter et sicut factum est in diebus Lot: edebant, bibebant, emebant, vendebant, plantabant, ædificabant.

29 Quâ autem die exiit Lot

ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας·

30 Κατὰ ταῦτα ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται.

31 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά· καὶ ὁ ἐν τῷ ἀγρῷ, ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω.

32 Μνημονεύετε τῆς γυναικὸς Λώτ.

33 Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτὴν, ζωογονήσει αὐτήν.

34 Λέγω ὑμῖν· ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται.

35 Δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό· μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται.

36 Δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται.

37 Καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ· ποῦ Κύριε; Ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

Κεφ. ιή. 18.

1 Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν,

2 Λέγων· Κριτής τις ἦν ἐν τινι πόλει, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος·

3 Χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν, λέγουσα· ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.

à Sodomis, pluit ignem et sulphur de cælo, et perdidit omnes.

30 Secundum hæc erit quâ die filius hominis revelatur.

31 In illa die, qui fuerit super domum, et vasa ejus in domo, ne descendat tollere illa: et qui in agro, similiter non redeat in quæ retrò.

32 Memores estote uxoris Lot.

33 Quicumque quæsierit animam suam servare, perdet illam: et quicumque perdiderit illam, vivificabit eam.

34 Dico vobis, illâ nocte erunt duo in lecto uno: unus assumetur, et alter relinquetur.

35 Duæ erunt molentes in idem: una assumetur, et altera relinquetur.

36 Duo erunt in agro, unus assumetur, et alter relinquetur.

37 Et respondentes dicunt illi: Ubi Domine? is autem dixit illis: ubi corpus, illuc congregabuntur aquilæ.

CAPUT XVIII.

1 DICEBAT autem et parabolam illis oportere semper orare, et non segnescere:

2 Dicens: Judex quidam erat in quadam civitate, Deum non timens, et hominem non reveritus.

3 Vidua autem erat in civitate illa, et veniebat ad eum, dicens: Vindica me de adversario meo.

4 Καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι·

5 Διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με.

6 Εἶπε δὲ ὁ Κύριος· ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει.

7 Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς;

8 Λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει, πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;

9 Εἶπε δὲ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς, τὴν παραβολὴν ταύτην·

10 Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης.

11 Ὁ φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ὁ Θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης.

12 Νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι.

13 Καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

14 Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

4 Et non volebat ad tempus. post autem hæc dixit in seipso: Si et Deum non timeo, et hominem non revereor:

5 Propter præbere mihi molestiam viduam hanc, vindicabo istam, ne in finem veniens sugillet me.

6 Ait autem Dominus: audite quid judex iniquus dicit:

7 At Deus non faciet vindictam electorum suorum clamantiem ad se die et nocte, et longanimis super illos?

8 Etiam dico vobis, quia faciet vindictam illorum in celeritate, veruntamen filius hominis veniens num inveniet fidem in terra?

9 Dixit autem ad quosdam persuasos in seipsis, quod essent justi, et nihilifacientes cæteros, parabolam istam:

10 Homines duo ascendebant in templum orare, unus Pharisæus, et alter publicanus.

11 Pharisæus stans apud se hæc orabat: Deus gratias ago tibi: quia non sum sicut cæteri hominum, raptores, injusti, adulteri, aut et ut hic publicanus.

12 Jejuno bis sabbato, decimo omnia quæ possideo.

13 Et publicanus à longe stans non volebat nec oculos ad cælum levare, sed percutiebat in pectus suum, dicens Deus propitius esto mihi peccatori.

14 Dico vobis, descendit hic justificatus in domum suam. quam ille: quia omnis exaltans seipsum humiliabitur: at humilians seipsum, exaltabitur

15 Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· ἰδόντες δὲ οἱ μαθηταὶ ἐπετίμησαν αὐτοῖς.

15 Afferebant autem ei et infantes, ut eos tangeret. Videntes autem discipuli increpabant illos.

16 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ, εἶπεν· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

16 At Jesus advocans illos, dixit: sinite pueros venire ad me, et ne prohibete eos: nam talium est regnum Dei.

17 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

17 Amen dico vobis, qui cumque non acceperit regnum Dei sicut puer, non intrabit in illud.

18 Καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων, λέγων· διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

18 Et interrogavit quidam eum princeps, dicens: Magister bone, quid faciens vitam æternam possidebo?

19 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός.

19 Dixit autem ei Jesus: quid me dicis bonum? nemo bonus si non unus Deus.

20 Τὰς ἐντολὰς οἶδας· μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς· τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου.

20 Mandata nosti: ne mœcheris, ne occidas, ne furaris, ne falso testeris: honora patrem tuum et matrem tuam.

21 Ὁ δὲ εἶπε· ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου.

21 Is autem ait: hæc omnia custodivi à juventute mea.

22 Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· ἔτι ἓν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι.

22 Audiens autem hæc Jesus, ait ei: adhuc unum tibi deest: omnia quæcumque habes vende, et da pauperibus, et habebis thesaurum in cælo, et veni sequere me.

23 Ὁ δὲ ἀκούσας ταῦτα, περίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος σφόδρα.

23 Ille autem audiens hæc, pertristis factus est: erat enim dives valde.

24 Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

24 Videns autem illum Jesus pertristem factum, dixit: quam difficile pecunias habentes intrabunt in regnum Dei.

25 Εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.

25 Facilius enim est camelum per foramen acus intrare, quam divitem in regnum Dei intrare.

26 Εἶπον δὲ οἱ ἀκούσαντες· καὶ τίς δύναται σωθῆναι,

26 Dixerunt autem audientes: et quis potest servari?

27 Ὁ δὲ εἶπε· τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ Θεῷ.

28 Εἶπε δὲ ὁ Πέτρος· ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.

29 Ὁ δὲ εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα, ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ,

30 Ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

31 Παραλαβὼν δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐτούς· ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν, τῷ υἱῷ τοῦ ἀνθρώπου.

32 Παραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθήσεται,

33 Καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται.

34 Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.

35 Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν·

36 Ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί εἴη τοῦτο.

37 Ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται.

38 Καὶ ἐβόησε, λέγων· Ἰησοῦ υἱὲ Δαβὶδ, ἐλέησόν με.

39 Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, Υἱὲ Δαβὶδ, ἐλέησόν με.

27 Is autem ait . impossibilia apud homines, possibilia sunt apud Deum.

28 Ait autem Petrus : ecce nos dimisimus omnia, et sequuti sumus te.

29 Is autem dixit eis : amen dico vobis, quod nemo est qui reliquit domum, aut parentes, aut fratres, aut uxorem, aut filios, propter regnum Dei,

30 Qui non recipiat multo plura in tempore hoc, et in seculo veniente vitam æternam.

31 Assumens autem duodecim, ait ad illos : ecce ascendimus in Hierosolyma, et consummabuntur omnia scripta per Prophetas, filio hominis.

32 Tradetur enim gentibus, et illudetur, et contumelia afficietur, et conspuetur :

33 Et flagellantes occident eum, et tertiâ die resurget.

34 Et ipsi nihil horum intellexerunt : et erat verbum istud absconditum ab eis, et non cognoscebant dicta.

35 Factum est autem in appropinquare ipsum in Jericho, cæcus quidam sedebat secus viam mendicans.

36 Audiens autem turbam præ tereuntem, interrogabat quid esset hoc.

37 Nuntiaverunt autem ei, quod Jesus Nazarenus transiret.

38 Et clamavit, dicens : Jesu filii David, miserere mei.

39 Et præeuntes increpabant eum ut taceret : ipse vero multo magis clamabat, fili David, miserere mei.

40 Σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν· ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτὸν,

41 Λέγων· τί σοι θέλεις ποιήσω; Ὁ δὲ εἶπε· Κύριε, ἵνα ἀναβλέψω.

42 Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ἀνάβλεψον· ἡ πίστις σου σέσωκέ σε.

43 Καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ δοξάζων τὸν Θεόν, καὶ πᾶς ὁ λαὸς ἰδὼν, ἔδωκεν αἶνον τῷ Θεῷ.

Κεφ. ιθ'. 19.

1 Καὶ εἰσελθὼν, διήρχετο τὴν Ἰεριχώ·

2 Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτος ἦν ἀρχιτελώνης, καὶ ἔτος ἦν πλούσιος,

3 Καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστὶ, καὶ οὐκ ἠδύναλο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν.

4 Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωραῖαν, ἵνα ἴδῃ αὐτόν· ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι.

5 Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν, καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας καλάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι.

6 Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξαλο αὐτὸν χαίρων.

7 Καὶ ἰδόντες ἅπαντες διεγόγγυζον, λέγοντες· ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καλαλῦσαι.

8 Σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· ἰδοὺ, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πλωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάνλησα, ἀποδίδωμι τετραπλοῦν

40 Stans autem Jesus jussit illum adduci ad se, appropinquante autem eo, interrogavit illum,

41 Dicens: quid tibi vis faciam? ille autem dixit: domine, ut respiciam.

42 Et Jesus dixit illi: respice: fides tua servavit te.

43 Et confestim respexit, et sequebatur illum glorificans Deum: et omnis populus videns dedit laudem Deo.

CAPUT XIX.

1 ET ingressus pertransibat Jericho.

2 Et ecce vir nomine vocatus Zachæus, et hic erat princeps publicanorum: et ipse erat dives.

3 Et quærebat videre Jesum quis esset, et non poterat præ turba: quia statura pusillus erat.

4 Et præcurrens coram, ascendit in sycomorum, ut videret eum: quia illa erat transiturus.

5 Et ut venit ad locum, suspiciens Jesus vidit illum, et dixit ad eum: Zachæe, festinans descende: hodie enim in domo tua oportet me manere.

6 Et festinans descendit, et excepit illum gaudens.

7 Et videntes omnes murmurabant, dicentes: quod ad peccatorem hominem introivit diversari.

8 Stans autem Zachæus dixit ad Dominum: ecce dimidia substantiarum mearum, Domine, do pauperibus, et si aliquem quid defraudavi, reddo quadruplum.

9 Εἶπε δὲ πρὸς αὐτὸν, ὁ Ἰησοῦς· ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν.

10 Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

11 Ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε παραβολὴν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλὴμ, καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι.

12 Εἶπεν οὖν· ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν, λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι.

13 Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπε πρὸς αὐτούς· πραγματεύσασθε ἕως ἔρχομαι.

14 Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτὸν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ, λέγοντες· οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς.

15 Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν, καὶ εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς ἔδωκε τὸ ἀργύριον, ἵνα γνῷ τίς τί διεπραγματεύσατο.

16 Παρεγένετο δὲ ὁ πρῶτος, λέγων· Κύριε, ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς.

17 Καὶ εἶπεν αὐτῷ· εὖ ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.

18 Καὶ ἦλθεν ὁ δεύτερος, λέγων· Κύριε, ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς.

19 Εἶπε δὲ καὶ τούτῳ· Καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων.

20 Καὶ ἕτερος ἦλθε, λέγων· Κύριε, ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ·

9 Ait autem ad eum Jesus quia hodie salus domui huic facta est, eo quod et ipse filius Abrahæ sit.

10 Venit enim filius hominis quærere et servare perditum

11 Audientibus autem illis hæc, adjiciens dixit parabolam, propter prope eum esse Hierusalem, et videri eis quod confestim esset regnum Dei appariturum.

12 Dixit ergo: homo quidam nobilis abiit in regionem longinquam accipere sibi ipsi regnum, et reverti.

13 Vocans autem decem servos suos, dedit eis decem minas, et ait ad illos: negotiamini dum venio.

14 At cives ejus oderant eum, et miserunt legationem post illum, dicentes: non volumus hunc regnare super nos.

15 Et factum est in redire ipsum accipientem regnum, ait vocari sibi servos hos, quibus dedit argentum, ut sciret quis quid negotiatus esset.

16 Adfuit autem primus, dicens: Domine, mina tua acquisivit decem minas.

17 Et ait illi: euge bone serve: quia in modico fidelis fuisti, esto potestatem habens super decem civitates.

18 Et venit secundus, dicens: Domine, mina tua fecit quinque minas.

19 Ait autem et huic: Et tu esto super quinque civitates.

20 Et alter venit, dicens: Domine, ecce mina tua, quam habui repositam in sudario

21 Ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας.

22 Λέγει δὲ αὐτῷ· ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε, ἤδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα·

23 Καὶ διατί οὐκ ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν, κἀγὼ ἐλθὼν σὺν τόκῳ ἂν ἔπραξα αὐτό;

24 Καὶ τοῖς παρεστῶσιν εἶπεν· ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι.

25 Καὶ εἶπον αὐτῷ· Κύριε, ἐχεῖ δέκα μνᾶς.

26 Λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, κἀ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

27 Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου.

28 Καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν, ἀναβαίνων εἰς Ἱεροσόλυμα.

29 Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγὴ καὶ Βηθανίαν, πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ,

30 Εἰπών· ὑπάγετε εἰς τὴν κατέναντι κώμην· ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισε· λύσαντες αὐτὸν ἀγάγετε.

31 Καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ· Διατί λύετε; οὕτως ἐρεῖτε αὐτῷ, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.

32 Ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς εἶπεν αὐτοῖς.

21 Timui enim te, quia homo austerus es: tollis quod non posuisti, et metis quod non seminasti.

22 Dicit autem ei: et ore tuo judico te, scelerate serve: sciebas quod ego homo austerus sum, tollens quod non posui, et metens quod non seminavi.

23 Et quare non dedisti argentum meum mensariis, et veniens ego cum usura utique exegissem illud?

24 Et astantibus dixit: auferte ab ille minam: et date decem minas habenti.

25 Et dixerunt ei: Domine, habet decem minas.

26 Dico enim vobis, quia omni habenti dabitur: ab autem non habente, et quod habet, auferetur ab eo.

27 Veruntamen inimicos meos illos, non volentes me regnare super se, adducite huc, et jugulate ante me.

28 Et dicens hæc, ibat ante ascendens in Hierosolyma.

29 Et factum est, quum appropinquasset ad Bethphage et Bethaniam, ad montem vocatum Olivarum, misit duos discipulorum suorum,

30 Dicens: ite in contra vicum: in quo introeuntes invenietis pullum alligatum, super quem nemo unquam hominum sedit: solventes illum adducite.

31 Et si quis vos interrogaverit: quare solvitis? sic dicetis ei: quiâ Dominus ejus opus habet.

32 Abeuntes autem missi, invenerunt sicut dixit illis

33 Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς· τί λύετε τὸν πῶλον ;

34 Οἱ δὲ εἶπον· Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.

35 Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν· καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν.

36 Πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ.

37 Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες, αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων,

38 Λέγοντες· εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις.

39 Καί τινες τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν· διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.

40 Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· λέγω ὑμῖν ὅτι ἐὰν ἕτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.

41 Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, λέγων·

42 Ὅτι εἰ ἔγνως καὶ σὺ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου·

43 Ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν,

44 Καὶ ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοί· καὶ οὐκ ἀφήσουσιν

33 Solventibus autem illis pullum, dixerunt domini ejus ad illos : quid solvitis pullum ?

34 Illi autem dixerunt : Dominus ejus opus habet.

35 Et duxerunt illum ad Jesum : et injicientes sua ipsorum vestimenta supra pullum imposuerunt Jesum.

36 Eunte autem illo, substernebant vestimenta sua in via.

37 Appropinquante autem eo jam ad descensum montis olearum, cœperunt omnis turba discipulorum gaudentes laudare Deum voce magnâ, de omnibus quas viderant virtutibus.

38 Dicentes : benedictus veniens rex in nomine Domini : pax in cælo, et gloria in excelsis.

39 Et quidam Pharisæorum de turba dixerunt ad illum : magister, increpa discipulos tuos.

40 Et respondens ait illis : dico vobis, quia si hi tacuerint, lapides clamabunt.

41 Et ut appropinquavit, videns civitatem, flevit super illam,

42 Dicens : quia si cognovisses et tu, et quidem in die tua hac, quæ ad pacem tuam : nunc autem abscondita sunt ab oculis tuis.

43 Quia venient dies in te, et circumdabunt inimici tui vallum tibi, et circumcingent te et coangustabant te undique.

44 Et solo æquabunt te, et filios tuos in te et non relin

ἐν σοὶ λίθον ἐπὶ λίθῳ ἐπὶ ὃν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.

45 Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας,

46 Λέγων αὐτοῖς· γέγραπται, ὁ οἶκός μου, οἶκος προσευχῆς ἐστιν· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

47 Καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ,

48 Καὶ οὐχ εὕρισκον τὸ τί ποιήσωσιν· ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων.

Κεφ. κ'. 20.

1 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων, διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις,

2 Καὶ εἶπον πρὸς αὐτὸν, λέγοντες· εἶπε ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἢ τίς ἐστὶν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην.

3 Ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτούς· ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον· καὶ εἴπατέ μοι·

4 Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων ;

5 Οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς, λέγοντες· ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ· διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ ;

6 Ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς· πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι.

7 Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν.

8 Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·

quent ra te lapidem super lapidem : eo quod non cognoveris tempus visitationis tuæ.

45 Et ingressus in templum, cœpit ejicere vendentes in illo, et ementes,

46 Dicens illis : scriptum est : domus mea, domus orationis est : vos autem illam fecistis speluncam latronum.

47 Et erat docens per diem in templo : at principes sacerdotum et Scribæ quærebant illum perdere, et primi plebis :

48 Et non inveniebant quid facerent : populus enim omnis suspensus erat illum audiens.

CAPUT XX.

1 Et factum est in uno dierum illorum, docente illo populum in templo, et evangelizante, superstiterunt principes Sacerdotum et Scribæ cum senioribus :

2 Et aiunt ad illum, dicentes : dic nobis in qua potestate hæc facis, aut quis est qui dedit tibi potestatem hanc ?

3 Respondens autem dixit ad illos : interrogabo vos et ego unum verbum, et dicite mihi .

4 Baptismus Joannis de cælo erat, an ex hominibus ?

5 Illi autem ratiocinabantur apud seipsos, dicentes : quia si dixerimus, de cælo, dicet : quare ergo non credidistis illi ?

6 Si autem dixerimus : ex hominibus, omnis populus lapidabit nos : persuasus enim est Joannem Prophetam esse.

7 Et responderunt non scire unde.

8 Et Jesus ait illis · neque

οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

9 Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους ἱκανούς.

10 Καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δῶσιν αὐτῷ· οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν, ἐξαπέστειλαν κενόν.

11 Καὶ προσέθετο πέμψαι ἕτερον δοῦλον· οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν κενόν.

12 Καὶ προσέθετο πέμψαι τρίτον· οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον.

13 Εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· τί ποιήσω ; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται.

14 Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία.

15 Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί ἓν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος ;

16 Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. Ἀκούσαντες δὲ εἶπον· μὴ γένοιτο.

17 Ὁ δὲ ἐμβλέψας αὐτοῖς, εἶπε· τί ἓν ἐστι τὸ γεγραμμένον τοῦτο· " λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, ἕτος ἐγένηθη εἰς κεφαλὴν γωνίας ;

18 Πᾶς, ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, συνθλασθήσεται ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν."

ego dico vobis in qua potestate hæc facio.

9 Cœpit autem ad populum dicere parabolam hunc : homo plantavit vineam, et elocavit eam colonis, et peregre fuit tempora sufficientia.

10 Et in tempore misit ad cultores servum, ut de fructu vineæ darent illi : at coloni cædentes eum dimiserunt inanem.

11 Et addidit mittere alterum servum : illi autem et illum cædentes et inhonorantes dimiserunt inanem.

12 Et addidit mittere tertium : illi autem et hunc vulnerantes ejecerunt.

13 Dixit autem dominus vineæ : quid faciam ? mittam filium meum dilectum : forsitan hunc videntes verebuntur.

14 Videntes autem illum coloni, ratiocinabantur ad seipsos, dicentes : hic est hæres : venite occidamus illum, ut nostra fiat hæreditas.

15 Et ejicientes illum extra vineam, occiderunt. Quid ergo faciet illis dominus vineæ ?

16 Veniet et perdet colonos istos, et dabit vineam aliis. Audientes autem dixerunt : ne fiat.

17 Ille autem aspiciens eos, ait : quid ergo est scriptum hoc : lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli :

18 Omnis cadens super illum lapidem, conquassabitur super quem autem ceciderit comminuet illum.

19 Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπε.

20 Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος.

21 Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις·

22 Ἔξεστιν ἡμῖν Καίσαρι φόρον δοῦναι, ἢ οὔ ;

23 Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς· τί με πειράζετε ;

24 Ἐπιδείξατέ μοι δηνάριον, τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν ; Ἀποκριθέντες δὲ εἶπον, Καίσαρος.

25 Ὁ δὲ εἶπεν αὐτοῖς· ἀπόδοτε τοίνυν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.

26 Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ, καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν.

27 Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν αὐτὸν,

28 Λέγοντες· διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ

19 Et quærebant principes sacerdotum et Scribæ mittere in illum manus in illa hora, et timuerunt populum : cognoverunt enim quod ad ipsos similitudinem hanc dixisset.

20 Et observantes miserunt insidiatores, simulantes seipsos justos esse, ut caperent ejus sermonem, ad tradendum illum principatui et potestati præsidis.

21 Et interrogaverunt eum, dicentes : Magister, scimus quia recte dicis et doces, et non accipis faciem, sed in veritate viam Dei doces.

22 Licet nobis Cæsari tributum dare, an non ?

23 Considerans autem illorum dolum, dixit ad eos : quid me tentatis ?

24 Ostendite mihi denarium : cujus habet imaginem et inscriptionem ? respondentes autem dixerunt, Cæsaris.

25 Is autem ait illis : Reddite ergo quæ Cæsaris Cæsari, et quæ Dei Deo.

26 Et non potuerunt reprehendere ejus verbum coram populo : et mirati in responso ejus, tacuerunt.

27 Accedentes autem quidam Sadducæorum, contradicentes resurrectionem non esse, interrogaverunt eum,

28 Dicentes : Magister, Moses scripsit nobis : si alicujus frater mortuus fuerit habens uxorem, et hic sine liberis moriatur, ut accipiat frater ejus uxorem, et suscitet semen fratri suo.

29 Ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος, λαβὼν γυναῖκα, ἀπέθανεν ἄτεκνος·

30 καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος·

31 καὶ ὁ τρίτος ἔλαβεν αὐτήν· ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ οὐ κατέλιπον τέκνα, καὶ ἀπέθανον·

32 Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.

33 Ἐν τῇ οὖν ἀναστάσει, τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.

34 Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται·

35 Οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται·

36 Οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγελοι γάρ εἰσι· καὶ υἱοί εἰσι τοῦ Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες.

37 Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ Μωσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει "Κύριον τὸν Θεὸν Ἀβραὰμ, καὶ τὸν Θεὸν Ἰσαὰκ, καὶ τὸν Θεὸν Ἰακώβ."

38 Θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν.

39 Ἀποκριθέντες δέ τινες τῶν γραμματέων, εἶπον διδάσκαλε, καλῶς εἶπας.

40 Οὐκ ἔτι δὲ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν.

41 Εἶπε δὲ πρὸς αὐτούς· πῶς λέγουσι τὸν Χριστὸν υἱὸν Δαβὶδ εἶναι;

42 Καὶ αὐτὸς Δαβὶδ λέγει ἐν

29 Septem ergo fratres erant: et primus, accipiens uxorem, mortuus est sine filiis.

30 Et accepit secundus uxorem, et ipse mortuus est sine filio.

31 Et tertius accepit illam. similiter autem et septem: et non reliquerunt natos, et mortui sunt.

32 Novissimè autem omnium mortua est et mulier.

33 In ergo resurrectione, cujus eorum sit uxor? nam septem habuerunt eam uxorem.

34 Et respondens ait illis Jesus: filii seculi hujus uxores ducunt et traduntur ad nuptias.

35 At digni habiti seculum illud contingere et resurrectionem ex mortuis, neque ducunt uxores, neque nubunt.

36 Neque enim mori ultra possunt: æquales angelis enim sunt, et filii sunt Dei, resurrectionis filii existentes.

37 Quia vero resurgent mortui, et Moses ostendit secus rubum, sicut dicit Dominum Deum Abraham, et Deum Isaac, et Deum Jacob.

38 Deus autem non est mortuorum, sed vivorum: omnes enim ei vivunt.

39 Respondentes autem quidam Scribarum, dixerunt: Magister, pulchre dixisti.

40 Non amplius autem audebant interrogare eum quicquam.

41 Dixit autem ad illos quomodo dicunt Christum filium David esse?

42 Et ipse David dicit in

βίβλῳ ψαλμῶν· " εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου,

43 Ἕως ἂν θῶ τοὺς ἐχθρούς σε ὑποπόδιον τῶν ποδῶν σου ;"

44 Δαβὶδ οὖν Κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν ;

45 Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ.

46 Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις.

47 Οἳ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρᾷ προσεύχονται· οὗτοι λήψονται περισσότερον κρίμα.

Κεφ. κά. 21.

1 Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους.

2 Εἶδε δὲ καὶ τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά,

3 Καὶ εἶπεν· ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν·

4 Ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ· αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν, ἔβαλε.

5 Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἶπε·

6 Ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται.

7 Ἐπηρώτησαν δὲ αὐτὸν, λέ-

libro Psalmorum : dixit Dominus Domino meo : sede à dextris meis :

43 Donec ponam inimicos tuos scabellum pedum tuorum ?

44 David ergo Dominum illum vocat : et quomodo filius est ?

45 Audiente autem omni populo, dixit discipulis suis :

46 Attendite à Scribis volentibus ambulare in stolis, et amantibus salutationes in foris, et primas cathedras in synagogis, et primos discubitus in cœnis.

47 Qui devorant domos viduarum, et specie longa precantur, hi accipient majorem damnationem.

CAPUT XXI.

1 RESPICIENS autem vidit mittentes munera sua in gazophylacium, divites.

2 Vidit autem et quandam viduam pauperculam mittentem illuc duo minuta.

3 Et dixit : Vere dico vobis, vidua pauper hæc plus omnibus misit.

4 Omnes enim hi ex abundanti sibi miserunt in munera Dei : hæc autem ex defectu omnem victum quem habuit, misit.

5 Et quibusdam dicentibus de templo, quod lapidibus pulchris et donis ornatum esset, dixit :

6 Hæc quæ videtis, venient dies in quibus non relinquetur lapis supra lapidem, qui non destruatur.

7 Interrogaverunt autem il

γοντες· διδάσκαλε, πότε οὖν ταῦτα ἔσται ; καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι ;

8 Ὁ δὲ εἶπε· βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ὅτι ἐγώ εἰμι· καὶ ὁ καιρὸς ἤγγικε, μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν.

9 Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον· ἀλλ' οὐκ εὐθέως τὸ τέλος.

10 Τότε ἔλεγεν αὐτοῖς· ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν.

11 Σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοὶ, καὶ λοιμοὶ ἔσονται· φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται.

12 Πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου.

13 Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον.

14 Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελεταῖν ἀπολογηθῆναι.

15 Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.

16 Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν.

17 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.

18 Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται.

19 Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

lum dicentes: Præceptor, quando igitur hæc erunt ? et quod signum quum futurum est hæc fieri ?

8 Ille autem dixit: Videte ne seducamini : multi enim venient in nomine meo, dicentes Quia ego sum : et tempus appropinquavit : ne ergo eatis post eos.

9 Quum autem audieritis prælia et seditiones, ne terreamini : oportet enim hæc fieri primùm, sed non statim finis.

10 Tunc dicebat illis : Excitabitur gens contra gentem, et regnum adversus regnum.

11 Terræmotusque magni per loca, et fames, et pestilentiæ erunt : terroresque et signa de cælo magna erunt.

12 Ante autem hæc omnia injicient in vos manus suas, et persequentur, tradentes in synagogas, et custodias, agentes ad reges et præsides propter nomen meum.

13 Continget autem vobis in testimonium.

14 Ponite ergo in corda vestra non præmeditari defendi.

15 Ego enim dabo vobis os et sapientiam cui non poterunt contradicere, neque resistere omnes adversantes vobis.

16 Trademini autem et à parentibus, et fratribus, et cognatis, et amicis, et morte afficient ex vobis.

17 Et eritis exosi omnibus propter nomen meum.

18 Et capillus de capite vestro non peribit.

19 In patientia vestra possidete animas vestras.

20 Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἰερουσαλὴμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς.

21 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη· καὶ οἱ ἐν μέσῳ αὐτῆς, ἐκχωρείτωσαν· καὶ οἱ ἐν ταῖς χώραις, μὴ εἰσερχέσθωσαν εἰς αὐτήν.

22 Ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι, τοῦ πλησθῆναι πάντα τὰ γεγραμμένα.

23 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ.

24 Καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἰερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν.

25 Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου·

26 Ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

27 Καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

28 Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.

29 Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα·

30 Ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν.

31 Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ.

20 Quum autem videritis circumdatam ab exercitibus Hierusalem, tunc scitote quia appropinquavit desolatio ejus.

21 Tunc qui in Judæa, fugiant ad montes : et qui in medio ejus, discedant : et qui in regionibus, non intrent in eam.

22 Quia dies ultionis hi sunt, impleri omnia scripta.

23 Væ autem in utero habentibus, et lactantibus in illis diebus : erit enim necessitas magna super terram, et ira in populo hoc.

24 Et cadent ore gladii, et captivi ducentur in omnes gentes : et Hierusalem erit calcata à gentibus, donec impleantur tempora gentium.

25 Et erunt signa in sole, et luna, et stellis, et in terra pressura gentium in dubitatione, resonante mari, et salo.

26 Exanimatis hominibus præ timore et expectatione invadentium in habitata : nam virtutes cælorum movebuntur.

27 Et tunc videbunt filium hominis venientem in nube cum potestate et gloria multa.

28 Incipientibus autem his fieri, respicite et levate capita vestra : quoniam appropinquat redemptio vestra.

29 Et dixit similitudinem illis : Videte ficum, et omnes arbores.

30 Quum protulerint jam, videntes à vobis ipsis agnoscitis quoniam jam prope æstas est.

31 Ita et vos quum videritis hæc facta, scitote quoniam prope est regnum Dei.

32 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται.

33 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

34 Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη.

35 Ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ προσωπον πάσης τῆς γῆς.

36 Ἀγρυπνεῖτε ἓν, ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

37 Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν.

38 Καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

32 Amen dico vobis, quia non præteribit generatio hæc, donec omnia fiant.

33 Cælum et terra transibunt: at verba mea non transibunt.

34 Attendite autem vobis ipsis, ne forte graventur vestra corda in crapula, et ebrietate, et curis vitalibus, et repentina in vos superveniat dies illa.

35 Tanquam laqueus enim superveniet in omnes sedentes super faciem omnis terræ.

36 Vigilate itaque in omni tempore rogantes, ut digni habeamini effugere ista omnia futura fieri, et stare ante filium hominis.

37 Erat autem diebus in templo docens, at noctibus exiens morabatur in monte vocato Olivarum.

38 Et omnis populus mane ibat ad eum in templo audire eum.

Κεφ. κβ'. 22.

1 Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη Πάσχα·

2 Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, τὸ, πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν.

3 Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα.

4 Καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ τοῖς στρατηγοῖς, τὸ, πῶς αὐτὸν παραδῷ αὐτοῖς.

5 Καὶ ἐχάρησαν· καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι.

CAPUT XXII.

1 APPROPINQUABAT autem festum Azymorum, dictum Pascha.

2 Et quærebant principes Sacerdotum et Scribæ hoc, quomodo tollerent eum: timebant enim plebem.

3 Intravit autem Satanas in Judam cognominatum Iscariotem, existentem ex numero duodecim.

4 Et abiens collocutus est principibus Sacerdotum, et magistratibus hoc, quomodo illum traderet eis.

5 Et gavisi sunt, et pacti sunt illi argentum dare

6 Καὶ ἐξωμολόγησε· καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

6 Et spopondit, et quærebat oportunitatem ad tradendum illum eis sine turba.

7 Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα.

7 Venit autem dies Azymorum, in qua oportebat occidi Pascha.

8 Καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπών· πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν.

8 Et misit Petrum et Joannem, dicens: Euntes parate nobis Pascha, ut manducemus.

9 Οἱ δὲ εἶπον αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμεν;

9 Illi autem dixerunt ei: Ubi vis paremus?

10 Ὁ δὲ εἶπεν αὐτοῖς· ἰδοὺ, εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν ᾗ εἰσπορεύεται.

10 Is autem dixit eis: Ecce introeuntibus vobis in civitatem, occurret vobis homo amphoram aquæ portans: sequimini eum in domum quo intrat.

11 Καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· λέγει σοι ὁ διδάσκαλος· ποῦ ἐστὶ τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;

11 Et dicetis patrifamilias domus: Dicit tibi Magister: Ubi est diversorium, ubi Pascha cum discipulis meis manducem?

12 Κἀκεῖνος ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε.

12 Et ipse vobis ostendet cœnaculum magnum stratum: ibi parate.

13 Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ πάσχα.

13 Euntes autem invenerunt sicut dixit illis, et paraverunt Pascha.

14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ.

14 Et quum facta esset hora, discubuit, et duodecim Apostoli cum eo.

15 Καὶ εἶπε πρὸς αὐτούς· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν.

15 Et ait ad eos: Desiderio desideravi hoc Pascha manducare vobiscum, ante quam patiar.

16 Λέγω γὰρ ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

16 Dico enim vobis, quia non amplius manducabo ex eo, donec impleatur in regno Dei.

17 Καὶ δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε· λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς.

17 Et accipiens calicem, gratias agens dixit: Accipite hoc, et dividite vobis ipsis:

18 Λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ.

18 Dico enim vobis, quod non bibam de generatione vitis, donec regnum Dei veniat.

19 Καὶ λαβὼν ἄρτον, εὐχαρισ-

19 Et accipiens panem, gra

τήσας ἔκλασε· καὶ ἔδωκεν αὐτοῖς, λέγων· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

20 Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.

21 Πλὴν ἰδοὺ, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης.

22 Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ παραδίδοται.

23 Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς, τὸ, τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.

24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν δοκεῖ εἶναι μείζων.

25 Ὁ δὲ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν· καὶ οἱ ἐξουσιάζοντες αὐτῶν, εὐεργέται καλοῦνται.

26 Ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος· καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν.

27 Τίς γὰρ μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν.

28 Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου.

29 Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου, βασιλείαν·

30 Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, ἐν τῇ βασιλείᾳ μου· καὶ καθίσησθε ἐπὶ θρόνων,

tias agens fregit, et dedit eis, dicens : Hoc est corpus meum, quod pro vobis datur : hoc facite in meam commemorationem.

20 Similiter et calicem post cœnam, dicens : Hic calix novum testamentum in sanguine meo, qui pro vobis effunditur.

21 Veruntamen ecce manus tradentis me mecum in mensa.

22 Et quidem filius hominis vadit secundum definitum : veruntamen væ homini illi, per quem traditur.

23 Et ipsi cœperunt conquirere apud seipsos hoc, quisnam esset ex eis hoc futurus facere.

24 Facta est autem et contentio in eis, hoc, quis eorum videretur esse major.

25 Is autem dixit eis : Reges gentium dominantur in eos : et potestatem habentes ipsorum, benefici vocantur.

26 Vos autem non sic : sed qui major in vobis, fiat sicut junior : et qui præcessor, sicut ministrator.

27 Quis enim major, recumbens, an ministrans ? nonne recumbens ? ego autem sum in medio vestrum sicut ministrans.

28 Vos autem estis permanentes cum me in tentationibus meis.

29 Et ego dispono vobis, sicut disposuit mihi pater meus regnum .

30 Ut edatis, et bibatis super mensam meam in regno meo · et sedeatis super thro-

κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

31 Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξητήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον·

32 Ἐγὼ δὲ ἐδεήθην περί σου, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου.

33 Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετά σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.

34 Ὁ δὲ εἶπε· λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

35 Καὶ εἶπεν αὐτοῖς· ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον· οὐδενός.

36 Εἶπεν οὖν αὐτοῖς· ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον, ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.

37 Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό, "καὶ μετὰ ἀνόμων ἐλογίσθη·" καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει.

38 Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· ἱκανόν ἐστι.

39 Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

40 Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς· προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.

41 Καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο,

nos, judicantes duodecim tribus Israël.

31 Ait autem Dominus: Simon, Simon, ecce Satanas expetivit vos, ad cribrandum sicut triticum.

32 Ego autem rogavi pro te, ut non deficiat fides tua: et tu aliquando conversus, confirma fratres tuos.

33 Is autem dixit ei: Domine, tecum paratus sum et in carcerem, et in mortem ire.

34 Ille autem dixit: Dico tibi, Petre, non cantabit hodie gallus, prius quam ter abneges nosse me.

35 Et dixit eis: Quando misi vos sine sacculo, et pera, et calceamentis, numquid aliquo defecti estis? Illi autem dixerunt: Nihil.

36 Dixit ergo eis: Sed nunc habens sacculum, tollat similiter et peram: et non habens, vendet pallium suum, et emet gladium.

37 Dico enim vobis, quoniam adhuc hoc scriptum oportet impleri in me, hoc: Et cum injustis reputatus est: etenim quæ de me, finem habent.

38 Illi autem dixerunt: Domine, ecce gladii hic duo: ille autem dixit eis: Satis est.

39 Et egressus ibat secundum consuetudinem in montem Olivarum: sequuti sunt autem illum et discipuli ejus.

40 Factus autem ad locum, dixit illis: Orate non intrare in tentationem.

41 Et ipse avulsus est ab eis, tanquam lapidis jactum, et ponens genua orabat,

42 Λέγων· πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω.

43 Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ, ἐνισχύων αὐτόν.

44 Καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο· ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν.

45 Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης,

46 Καὶ εἶπεν αὐτοῖς· τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

47 Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν.

48 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;

49 Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ;

50 Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὖς τὸ δεξιόν.

51 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· ἐᾶτε ἕως τούτου· Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν.

52 Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς, καὶ στρατηγοὺς τοῦ ἱεροῦ, καὶ πρεσβυτέρους· ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων;

53 Καθ' ἡμέραν ὄντος μου μεθ'

42 Dicens: Pater, si vis transferre calicem istum à me. verumtamen non voluntas mea, sed tua fiat.

43 Apparuit autem illi angelus de cœlo confortans eum.

44 Et factus in agonia, intentius orabat. Factus est autem sudor ejus sicut guttæ sanguinis delabentes in terram.

45 Et resurgens ab oratione veniens ad discipulos, invenit eos dormientes præ tristitia.

46 Et ait illis: Quid dormitis? resurgentes orate ut non intretis in tentationem.

47 Adhuc autem eo loquente, ecce turba, et dictus Judas, unus duodecim, antecedebat eos, et appropinquavit Jesu osculari eum.

48 At Jesus dixit illi: Juda, osculo filium hominis tradis?

49 Videntes autem qui circa ipsum futurum, dixerunt ei: Domine, num percutiemus in gladio?

50 Et percussit unus quidam ex illis servum principis Sacerdotum, et amputavit ejus auriculam dextram.

51 Respondens autem Jesus, ait: Sinite usque huc, et tangens auriculam ejus, sanavit eum.

52 Dixit autem Jesus ad accedentes ad se principes Sacerdotum, et magistratus templi, et seniores: Quasi ad latronem existis cum gladiis et lignis?

53 Quotidie existente me

ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ· ἀλλ' αὕτη ὑμῶν ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους.

54 Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν.

55 Ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν.

56 Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ, εἶπε· καὶ οὗτος σὺν αὐτῷ ἦν·

57 Ὁ δὲ ἠρνήσατο αὐτὸν, λέγων· γύναι, οὐκ οἶδα αὐτόν.

58 Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν, ἔφη· καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ Πέτρος εἶπεν· ἄνθρωπε, οὐκ εἰμί·

59 Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διϊσχυρίζετο, λέγων· ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν.

60 Εἶπε δὲ ὁ Πέτρος· ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. Καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ἀλέκτωρ.

61 Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ· καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ· ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς.

62 Καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος ἔκλαυσε πικρῶς.

63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες·

64 Καὶ περικαλύψαντες αὐτὸν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον· καὶ

cum vobis in templo non extendistis manus in me: sed hæc vestra est hora, et potestas tenebrarum.

54 Comprehendentes autem eum duxerunt, et induxerunt in domam principes Sacerdotum: at Petrus sequebatur à longe.

55 Accendentibus autem ignem in medio aulæ, et circumsedentibus illis, sedebat Petrus in medio eorum.

56 Videns autem eum ancilla quædam sedentem ad lumen: et attente intuita eum, dixit: Et hic cum illo erat.

57 Is autem negavit eum, dicens: Mulier, non novi illum.

58 Et post pusillum alius videns eum, dixit: Et tu de illis es. At Petrus ait: Homo, non sum.

59 Et interstante quasi hora una, alius quidam affirmabat, dicens: In veritate et hic cum illo erat: etenim Galilæus est.

60 Ait autem Petrus: Homo, non novi quid dicis: et continuo, adhuc loquente illo, cantavit gallus.

61 Et conversus Dominus respexit Petrum: et recordatus est Petrus verbi Domini, sicut dixerat ei: Quia prius quam gallus cantaverit, negabis me ter.

62 Et egressus foras Petrus flevit amarè.

63 Et viri tenentes Jesum illudebant ei, cædentes.

64 Et obvolventes eum, percutiebant ejus faciem, et inter

ἐπηρώτων αὐτὸν, λέγοντες· προφήτευσον, τίς ἐστιν ὁ παίσας σε.

65 Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν,

67 Λέγοντες· Εἰ σὺ εἶ ὁ Χριστός; εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε.

68 Ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε.

69 Ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.

70 Εἶπον δὲ πάντες· σὺ οὖν εἶ ὁ υἱὸς τοῦ Θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· ὑμεῖς λέγετε, ὅτι ἐγὼ εἰμι.

71 Οἱ δὲ εἶπον· τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

rogabant eum dicentes: Prophetiza, quis est qui percussit te?

65 Et alia multa blasphemantes dicebant in eum.

66 Et ut factus est dies, coactus est senatus plebis, principesque Sacerdotum et scribæ: et duxerunt illum in concilium suum,

67 Dicentes: Si tu es Christus, dic nobis. Ait autem illis. Si vobis dixero, non credetis.

68 Si autem et interrogavero, non respondebitis mihi, aut dimittetis.

69 Et nunc erit filius hominis sedens à dextris virtutis Dei.

70 Dixerunt autem omnes: Tu ergo es filius Dei? is autem ad eos ait: Vos dicitis, quia ego sum.

71 Illi autem dixerunt: quid adhuc opus habemus testimonio? Ipsi enim audivimus de ore ejus.

Κεφ. κγ'. 23.

1 Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγεν αὐτὸν ἐπὶ τὸν Πιλάτον.

2 Ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες· τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.

3 Ὁ δὲ Πιλάτος ἐπηρώτησεν αὐτὸν, λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη· σὺ λέγεις.

4 Ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· οὐδὲν

CAPUT XXIII.

1 ET surgens omnis multitudo eorum, duxit illum ad Pilatum.

2 Cœperunt autem accusare illum, dicentes: Hunc invenimus subvertentem gentem, et prohibentem Cæsari tributa dare, dicentem se Christum regem esse.

3 At Pilatus interrogavit eum, dicens: Tu es rex Judæorum? Ille autem respondens ei, ait: Tu dicis.

4 Et Pilatus dixit ad principes Sacerdotum, et turbas

εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.

Nullam invenio causam in homine hoc.

5 Οἱ δὲ ἐπίσχυον, λέγοντες· ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

5 Illi autem invalescebant, dicentes : Quia commovet populum, docens per universam Judæam, incipiens à Galilæa usque huc.

6 Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι.

6 Pilatus autem audiens Galilæam, interrogavit si homo Galilæus esset.

7 Καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἰεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

7 Et cognoscens quod de potestate Herodis esset, remisit eum ad Herodem, existentem et ipsum in Hierosolymis in illis diebus.

8 Ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν· ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ· καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον.

8 At Herodes videns Jesum, gavisus est valde : erat enim volens ex multo videre eum, propterea quod audiret multa de eo : et sperabat aliquod signum videre ab eo factum.

9 Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

9 Interrogabat autem eum in sermonibus multis : ipse autem nihil respondebat illi.

10 Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, εὐτόνως κατηγοροῦντες αὐτοῦ.

10 Stabant autem principes Sacerdotum et Scribæ constanter accusantes eum.

11 Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.

11 Nihil faciens autem illum Herodes cum exercitibus suis, et illudens, amiciens eum vestem splendidam, remisit eum Pilato.

12 Ἐγένοντο δὲ φίλοι ὅ, τε Πιλάτος καὶ ὁ Ἡρῴδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

12 Facti sunt autem amici hicque Pilatus et Herodes hac ipsa die cum invicem : præexistiterant enim in inimicitia existentes ad seipsos.

13 Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν,

13 Pilatus autem convocans principes sacerdotum, et magistratus et populum,

14 Εἶπε πρὸς αὐτούς· προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ

14 Dixit ad illos : Obtulistis mihi hominem hunc, quasi avertentem populum, et ecce ego coram vobis interrogans, nullam inveni in homine isto

αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ.

15 Ἀλλ' οὐδὲ Ἡρῴδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ.

16 Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

17 Ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.

18 Ἀνέκραξαν δὲ παμπληθεί, λέγοντες· αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν·

19 Ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν.

20 Πάλιν ἓν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν.

21 Οἱ δὲ ἐπεφώνουν, λέγοντες· σταύρωσον, σταύρωσον αὐτόν.

22 Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

23 Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν, καὶ τῶν ἀρχιερέων.

24 Ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν.

25 Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακήν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

26 Καὶ ὡς ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου ἐρχομένου ἀπ' ἀγροῦ,

causam, quorum accusatis adversus eum.

15 Sed neque Herodes : remisi enim vos ad illum, et ecce nihil dignum morte est factum ei.

16 Castigans ergo illum dimittam.

17 Necesse autem habebat dimittere eis per festum, unum

18 Exclamarunt autem universa turba, dicentes : Tolle hunc, dimitte autem nobis Barabbam :

19 Qui erat propter seditionem quandam factam in civitate, et homicidium, missus in carcerem.

20 Iterum ergo Pilatus adloquutus est, volens dimittere Jesum.

21 Illi autem inclamabant, dicentes : Crucifige, crucifige eum.

22 Ille autem tertiò dixit ad illos : Quid enim malum fecit iste ? nullam causam mortis inveni in eo : castigans ergo illum dimittam.

23 Illi autem instabant vocibus magnis, postulantes eum crucifigi, et invalescebant voces eorum, et principum Sacerdotum.

24 At Pilatus adjudicavit fieri petitionem eorum.

25 Dimisit autem illis propter seditionem et homicidium missum in carcerem, quem petebant : at Jesum tradidit voluntati eorum.

26 Et quum abducerent eum, apprehendentes Simonem quendam Cyrenæum venien

ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, φέρειν ὄπισθεν τοῦ Ἰησοῦ.

27 Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναικῶν αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν.

28 Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· Θυγατέρες Ἰερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν.

29 Ὅτι, ἰδοὺ, ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσι· μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν.

30 Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι· πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς· Καλύψατε ἡμᾶς.

31 Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται;

32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι.

33 Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν, καὶ τοὺς κακούργους· ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν.

34 Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον

35 Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν· ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός.

36 Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται, προσερχόμενοι, καὶ ὄξος προσφέροντες αὐτῷ,

37 Καὶ λέγοντες· εἰ σὺ εἶ ὁ

tem ab agro, imposuerunt illi crucem, ut ferret post Jesum.

27 Sequebatur autem illum multa turba populi, et mulierum, quæ et plangebant, et lamentabantur eum.

28 Conversus autem ad illas Jesus, dixit: Filiæ Hierusalem, ne flete super me, sed super vos ipsas flete, et super filios vestros.

29 Quoniam ecce venient dies, in quibus dicent: Beatæ steriles, et ventres qui non genuerunt, ut ubera quæ non lactaverunt.

30 Tunc incipient dicere montibus: Cadite super nos: et collibus: Operite nos.

31 Quia si in viridi ligno hæc faciunt, in arido quid fiet?

32 Ducebantur autem et alii duo malefici ut cum eo tollerentur.

33 Et postquam abierunt in locum vocatum Calvariam, ibi crucifixerunt eum, et malefícos, hunc quidem à dextris, hunc autem à sinistris.

34 At Jesus dicebat: Pater, dimitte illis: non enim sciunt quid faciunt. Dividentes vero vestimenta ejus miserunt sortem.

35 Et stabat populus spectans: deridebant autem et principes cum eis, dicentes: Alios servavit, servet seipsum, si hic est Christus Dei electus.

36 Illudebant autem ei et milites accedentes, et acetum offerentes ei:

37 Et dicentes: Si tu es

βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.

38 Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

39 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων· εἰ σὺ εἶ ὁ Χριστὸς, σῶσον σεαυτὸν καὶ ἡμᾶς.

40 Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;

41 Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.

42 Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

43 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

44 Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης.

45 Καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον.

46 Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν.

47 Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν Θεὸν, λέγων· ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.

48 Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτ-

rex Judæorum, serva teipsum.

38 Erat autem et superscriptio scripta super eum literis Græcis, et Romanis, et Hebraicis, HIC EST REX JUDÆORUM.

39 Unus autem pendentium maleficorum blasphemabat eum, dicens: Si tu es Christus, serva temetipsum et nos.

40 Respondens autem alter increpabat eum, dicens: Neque times tu Deum, quod in eadem damnatione es?

41 Et nos quidem juste: digna enim eorum quæ fecimus recipimus: hic vero nihil insolens egit.

42 Et dicebat Jesu: Memento mei, Domine, quum veneris in regnum tuum.

43 Et dixit illi Jesus: Amen dico tibi: Hodie mecum eris in paradiso.

44 Erat autem fere hora sexta, et tenebræ factæ sunt in universam terram, usque in horam nonam.

45 Et obscuratus est sol, est scissum est velum templi medium.

46 Et clamans voce maguâ Jesus ait: Pater, in manus tuas commendabo spiritum meum· et hæc dicens expiravit.

47 Videns autem centurio factum, glorificavit Deum, dicens: Vere homo hic justus erat.

48 Et omnes simul accedentes turbæ ad spectaculum istud, spectantes facta, percutientes

τοντες ἑαυτῶν τὰ στήθη, ὑπέστρεφον.

49 Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

50 Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος,

51 Οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν, ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων· ὃς καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ.

52 Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ἠτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

53 Καὶ καθελὼν αὐτὸ ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος.

54 Καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε.

55 Κατακολουθήσασαι δὲ καὶ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ.

56 Ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα· καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

Κεφ. κδ.' 24.

1 Τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς.

2 Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου,

3 Καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ.

4 Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ,

sua ipsorum pectora, reverte bantur.

49 Stabant autem omnes no ti ejus à longe, et mulieres consequutæ eum à Galilæa videntes hæc.

50 Et ecce vir nomine Joseph consiliarius existens, vir bonus, et justus :

51 Hic non erat suffragatus consilio et actioni eorum, ab Arimathæa civitate Judæorum, qui expectabat et ipse regnum Dei.

52 Hic accedens Pilato, petiit corpus Jesu.

53 Et detrahens ipsum, involvit id sindone, et posuit id in monumento exciso, ubi non erat nondum quisquam positus.

54 Et dies erat parasceve, et sabbatum illucescebat.

55 Subsequutæ autem mulieres, quæ fuerant venientes cum eo de Galilæa, viderunt monumentum et ut positum erat corpus ejus.

56 Reversæ autem paraverunt aromata et unguenta : et quidem sabbato quieverunt secundum mandatum.

CAPUT XXIV.

1 AT una sabbatorum diluculo profundo venerunt ad monumentum, portantes quæ paraverant aromata, et quædam cum eis.

2 Invenerunt autem lapidem revolutum à monumento.

3 Et ingressæ non invenerunt corpus Domini Jesu.

4 Et factum est dum dubitarent de isto, et ecce duo viri

δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις.

5 Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;

6 Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ,

7 Λέγων· ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.

8 Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

9 Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς.

10 Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα.

11 Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς.

12 Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

13 Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς.

14 Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων.

15 Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς

adstiterunt eis in vestibus fulgentibus.

5 Timentibus autem factis illis, et inclinantibus vultum in terram, dixerunt ad illas : Quid quæritis viventem cum mortuis ?

6 Non est hic, sed surrexit : recordamini ut loquutus est vobis, adhuc existens in Galilæa,

7 Dicens : Quia oportet filium hominis tradi in manus hominum peccatorum, et crucifigi, et tertiâ die resurgere.

8 Et recordatæ sunt verborum ejus.

9 Et reversæ à monumento nuntiaverunt hæc omnia undecim et omnibus cæteris.

10 Erat autem Magdalene Maria, et Joanna, et Maria Jacobi, et cæteræ cum eis, quæ dicebant ad Apostolos hæc.

11 Et visa sunt ante illos sicut deliramentum verba eorum, et non crediderunt illis.

12 At Petrus surgens cucurrit ad monumentum, et procumbens videt linteamina posita sola : et abiit, apud se mirans factum.

13 Et ecce duo ex illis erant euntes in ipsa die in vicum distantem stadia sexaginta ab Hierusalem, cui nomen Emmaus.

14 Et ipsi loquebantur ad invicem de omnibus eventis his.

15 Et factum est dum colloquerentur ipsi et conquirerent, et ipse Jesus appropinquans ibat cum illis.

16 Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν.

17 Εἶπε δὲ πρὸς αὐτούς· τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί;

18 Ἀποκριθεὶς δὲ εἷς ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;

19 Καὶ εἶπεν αὐτοῖς· ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ·

20 Ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν.

21 Ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο.

22 Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον,

23 Καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν.

24 Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον.

25 Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται.

26 Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ;

16 At oculi illorum tenebantur ut non agnoscerent eum.

17 Ait autem ad illos: Qui sermones hi, quos confertis ad invicem ambulantes, et estis tristes?

18 Respondens autem unus, cui nomen Cleopas, dixit ad eum: Tu solus peregrinaris in Hierusalem, et non cognovisti facta in illa in diebus his?

19 Et dixit ei: Quæ? Illi autem dixerunt ei: Quæ de Jesu Nazareno, qui fuit vir Propheta, potens in opere et sermone coram Deo et omni populo.

20 Quomodoque tradiderunt eum summi sacerdotes, et principes nostri in damnationem mortis, et cruci affixerunt eum.

21 Nos autem sperabamus, quia ipse esset futurus redimere Israël: sed et cum omnibus his, tertiam hanc diem agit hodie, ex quo hæc facta sunt.

22 Sed et mulieres quædam ex nobis terruerunt nos, factæ antelucanæ ad monumentum:

23 Et non invenientes corpus ejus, venerunt, dicentes et visionem angelorum vidisse, qui dicunt eum vivere.

24 Et abierunt quidam eorum qui cum nobis ad monumentum, et invenerunt ita sicut et mulieres dixerunt: ipsum vero non viderunt.

25 Et ipse dixit ad eos: O stulti et tardi corde ad credendum omnibus quæ loquuti sunt Prophetæ.

26 Nonne hæc oportuit pati Christum, et intrare in gloriam suam?

27 Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ.

28 Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι.

29 Καὶ παρεβιάσαντο αὐτὸν λέγοντες· μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς.

30 Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς.

31 Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν.

32 Καὶ εἶπον πρὸς ἀλλήλους· οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς;

33 Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς,

34 Λέγοντας· ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι.

35 Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

36 Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν.

37 Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν.

38 Καὶ εἶπεν αὐτοῖς· τί τεταραγμένοι ἐστὲ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;

27 Et incipiens à Mose, et ab omnibus Prophetis, interpretabatur illis in omnibus scripturis quæ de seipso.

28 Et appropinquaverunt ad vicum quo ibant, et ipse se finxit longius ire.

29 Et coëgerunt illum, dicentes: Mane nobiscum, quoniam ad vesperam est, et inclinavit dies. Et intravit ad manendum cum illis.

30 Et factum est cum discumberet cum eis, accipiens panem benedixit, et frangens porrigebat illis.

31 Eorum autem aperti sunt oculi, et cognoverunt eum: et ipse non apparens factus est ab eis.

32 Et dixerunt ad invicem: Nonne cor nostrum ardens erat in nobis, ut loquebatur nobis in via, et ut aperiebat nobis scripturas?

33 Et surgentes eadem hora, regressi sunt in Hierusalem, et invenerunt congregatos unde cim, et eos qui cum illis,

34 Dicentes, surrexit Dominus vere, et visus est Simoni.

35 Et ipsi enarrabant quæ in via, et quomodo agnitus est eis in fractione panis.

36 Hæc autem ipsis loquentibus, et ipse Jesus stetit in medio eorum, et dicit eis: Pax vobis.

37 Conturbati vero et conterriti facti, existimabant spiritum videre.

38 Et dixit eis: Quid turbati estis, et quare cogitationes ascendunt in cordibus vestris?

39 Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.

39 Videte manus meas, et pedes meos: quia ipse ego sum: palpate me, et videte. quia spiritus carnem et ossa non habet, sicut me videtis habentem.

40 Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.

40 Et hoc dicens ostendit eis manus et pedes.

41 Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· ἔχετέ τι βρῶσιμον ἐνθάδε;

41 Adhuc autem non credentibus illis præ gaudio, et mirantibus, dixit eis: Habetis aliquid esculentum hic?

42 Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου.

42 Illi autem obtulerunt ei piscis assi partem, et de apiario favo.

43 Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν.

43 Et sumens coram eis edit.

44 Εἶπε δὲ αὐτοῖς· οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς περὶ ἐμοῦ.

44 Dixit autem eis: Hæc verba quæ loquutus sum ad vos adhuc existens vobiscum, quoniam oportet impleri omnia scripta in lege Mosis, et Prophetis, et Psalmis de me.

45 Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς·

45 Tunc aperuit ipsorum sensum, ad intelligendum scripturas.

46 Καὶ εἶπεν αὐτοῖς· ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ,

46 Et dixit eis: Quoniam sic scriptum est, et sic oportebat pati Christum, et resurgere à mortuis tertia die.

47 Καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ.

47 Et prædicari in nomine ejus pœnitentiam et remissionem peccatorum in omnes gentes. incipientem ab Hierosolyma.

48 Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων.

48 Vos autem estis testes horum.

49 Καὶ ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

49 Et ecce ego mitto promissum Patris mei in vos. Vos autem sedete in civitate Hierusalem, quoadusque induamini virtutem ex alto.

50 Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν· καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς.

50 Eduxit autem eos foras usque in Bethaniam, et sustollens manus suas, benedixit eis

51 Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν.

52 Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης.

53 Καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

51 Et factum est dum bene diceret illis, disjunctus est ab eis, et sursum ferebatur in cælum.

52 Et ipsi adorantes eum, regressi sunt in Hierusalem, cum gaudio magno.

53 Et erant semper in templo, laudantes et benedicentes Deum. Amen.

ΤΟ ΚΑΤΑ

ΙΩΑΝΝΗΝ

ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφ. ά. 1.

1 Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος.

2 Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

3 Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν.

4 Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.

5 Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ καθέλαβεν.

6 Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ· ὄνομα αὐτῷ Ἰωάννης.

7 Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.

8 Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

9 Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ

EUANGELIUM

SECUNDUM

JOANNEM.

CAPUT I.

1 IN principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum.

2 Hoc erat in principio apud Deum.

3 Omnia per ipsum facta sunt, et sine ipso factum est neque unum, quod factum est.

4 In ipso vita erat, et vita erat lux hominum.

5 Et lux in tenebris lucet, et tenebræ eam non comprehenderunt.

6 Fuit homo missus à Deo, nomen ei Joannes.

7 Hic venit in testimonium, ut testaretur de lumine, ut omnes crederent per illum.

8 Non erat ille lux, sed ut testaretur de lumine.

9 Erat lux vera, quæ illu-

φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

10 Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο· καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.

11 Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

12 Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ·

13 Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

14 Καὶ ὁ λόγος σὰρξ ἐγένετο· καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας.

15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε, λέγων· οὗτος ἦν ὃν εἶπον· ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν.

16 Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος·

17 Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

18 Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν· σὺ τίς εἶ;

20 Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

21 Καὶ ἠρώτησαν αὐτόν· τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει· οὐκ

minat omnem hominem venientem in mundum.

10 In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit.

11 In propria venit, et proprii eum non receperunt.

12 Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri, credentibus in nomine ejus.

13 Qui non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo nati sunt.

14 Et Verbum caro factum est, et habitavit in nobis, et vidimus gloriam ejus, gloriam quasi unigeniti à Patre, plenum gratiæ et veritatis.

15 Joannes testatur de ipso, et clamavit, dicens: Hic erat quem dixi: Post me veniens, ante me factus est: quia prior me erat.

16 Et ex plenitudine ejus nos omnes accepimus, et gratiam pro gratia.

17 Quia lex per Mosen data est, gratia et veritas per Jesum Christum facta est.

18 Deum nemo vidit unquam: unigenitus filius existens in sinum Patris, ipse enarravit.

19 Et hoc est testimonium Joannis, quando miserunt Judæi ex Hierosolymis sacerdotes et Levitas, ut interrogarent eum, Tu quis es?

20 Et confessus est, et non negavit: et confessus est: non sum ego Christus.

21 Et interrogaverunt eum, Quid ergo? Elias es tu? Et

εἰμί· ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη· οὔ.

22 Εἶπον οὖν αὐτῷ· τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ;

23 Ἔφη· ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· εὐθύναλε τὴν ὁδὸν Κυρίου· καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.

24 Καὶ οἱ ἀπεσταλμένοι, ἦσαν ἐκ τῶν Φαρισαίων.

25 Καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης;

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων· ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε·

27 Αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν· οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.

28 Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.

29 Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

30 Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν·

31 Κἐγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων.

32 Καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν.

dicit: Non sum. Propheta es tu? Et respondit: Non.

22 Dixerunt ergo ei: Quis es, ut responsum demus mittentibus nos? Quid dicis de teipso?

23 Ait: Ego vox clamantis in deserto, Dirigite viam Domini, sicut dixit Esaias propheta.

24 Et missi erant ex Pharisæis.

25 Et interrogaverunt eum, et dixerunt ei: Quid ergo baptizas, si tu non es Christus, neque Elias, neque Propheta?

26 Respondit eis Joannes, dicens: Ego baptizo in aqua: medius autem vestrum stetit quem vos non nostis.

27 Ipse est ille post me venturus, qui ante me factus est, cujus ego non sum dignus ut solvam ejus corrigiam calceamenti.

28 Hæc in Bethabara facta sunt trans Jordanem, ubi erat Joannes baptizans.

29 Postridie conspicit Joannes Jesum venientem ad se, et ait: Ecce agnus Dei, tollens peccatum mundi.

30 Hic est de quo ego dixi: Post me venit vir, qui ante me factus est: quia prior me erat.

31 Et ego non sciebam eum: sed ut manifestetur Israël, propter hoc veni ego in aqua baptizans.

32 Et testatus est Joannes, dicens: vidi Spiritum descendentem quasi columbam de cælo, et mansit super eum.

33 Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

33 Et ego non sciebam eum, sed mittens me baptizare in aqua, ille mihi dixit: Super quem videris Spiritum descendentem, et manentem super eum, hic est baptizans in Spiritu sancto.

34 Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

34 Et ego vidi, et testatus sum quia hic est Filius Dei.

35 Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

35 Postridie iterum stabat Joannes, et ex discipulis ejus duo.

36 Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.

36 Et respiciens Jesum ambulantem, dicit: Ecce agnus Dei.

37 Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ.

37 Et audierunt eum duo discipuli loquentem, et sequuti sunt Jesum.

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς·

38 Conversus autem Jesus, et videns eos sequentes, dicit eis:

39 Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί, ὃ λέγεται ἑρμηνευόμενον, διδάσκαλε, ποῦ μένεις;

39 Quid quæritis? Illi autem dixerunt ei: Rabbi, quod dicitur interpretatum, Magister, ubi manes?

40 Λέγει αὐτοῖς· ἔρχεσθε καὶ ἴδετε. Ἦλθον καὶ εἶδον ποῦ μένει· καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη.

40 Dicit eis: venite et videte. venerunt et viderunt ubi maneret, et apud eum manserunt die illo: hora autem erat quasi decima.

41 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ.

41 Erat Andreas frater Simonis Petri, unus ex duobus audientibus à Joanne, et sequutis eum.

42 Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, ὁ Χριστός.

42 Invenit hic primus fratrem proprium Simonem, et dicit ei: Invenimus Messiam, quod est interpretatum Christus.

43 Καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

43 Et adduxit eum ad Jesum. Intuitus autem eum Jesus dixit: Tu es Simon filius Jona: tu vocaberis Cephas quod interpretatur Petrus.

44 Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰη-

44 Postridie voluit exire in

σοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι.

45 Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.

46 Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ.

47 Καὶ εἶπεν αὐτῷ Ναθαναὴλ· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· ἔρχου καὶ ἴδε.

48 Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι.

49 Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε.

50 Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββὶ σὺ εἶ ὁ υἱὸς τῦ Θεοῦ· σὺ εἶ ὁ βασιλεὺς τῦ Ἰσραήλ.

51 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει.

52 Καὶ λέγει αὐτῷ· ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

Galilæam, et invenit Philippum, et dicit ei Jesus: Sequere me.

45 Erat autem Philippus à Bethsaida, ex civitate Andreæ et Petri.

46 Invenit Philippus Nathanaëlem, et dicit ei: Quem scripsit Moses in lege, et Prophetæ, invenimus Jesum filium Joseph illum à Nazaret.

47 Et dixit ei Nathanaël: Ex Nazaret potest aliquid bonum esse? Dicit ei Philippus: Veni, et vide.

48 Vidit Jesus Nathanaëlem venientem ad se, et dicit de eo: Ecce vere Israëlita, in quo dolus non est.

49 Dicit ei Nathanaël: Unde me nosti? Respondit Jesus, et dixit ei: Ante quam Philippum vocares, existentem sub ficu, vidi te.

50 Respondit Nathanaël, et ait ei: Rabbi, tu es Filius Dei, tu es rex Israëlis.

51 Respondit Jesus et dixit ei: Quia dixi tibi: Vidi te sub ficu, credis? majora his videbis.

52 Et dicit ei: Amen, amen dico vobis: Amodo videbitis cælum apertum, et angelos Dei ascendentes et descendentes supra filium hominis.

Κεφ. Β'. 2.

1 Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας· καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ.

2 Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον.

CAPUT II

1 ET die tertia nuptiæ factæ sunt in Cana Galilææ: et erat mater Jesu ibi.

2 Vocatus est autem et Jesus et discipuli ejus ad nuptias.

3 Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· οἶνον οὐκ ἔχουσι.

4 Λέγει αὐτῇ ὁ Ἰησοῦς· τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου.

5 Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· ὅ, τι ἂν λέγῃ ὑμῖν, ποιήσατε.

6 Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ, κείμεναι, κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.

7 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· γεμίσατε τὰς ὑδρίας ὕδατος. Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω.

8 Καὶ λέγει αὐτοῖς· ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. Καὶ ἤνεγκαν.

9 Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν, οἱ ἠντληκότες τὸ ὕδωρ· φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος,

10 Καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.

11 Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

12 Μετὰ τοῦτο κατέβη εἰς Καπερναοὺμ, αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.

13 Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς.

14 Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς

3 Et deficiente vino, dicit mater Jesu ad eum: Vinum non habent.

4 Dicit ei Jesus: Quid mihi et tibi mulier? nondum venit hora mea.

5 Dicit mater ejus ministris: Quodcumque dixerit vobis, facite.

6 Erant autem ibi hydriæ lapideæ sex positæ secundum purificationem Judæorum, capientes singulæ metretas duas vel tres.

7 Dicit eis Jesus: Implete hydrias aquâ: et impleverunt eas usque ad summum.

8 Et dicit eis: Haurite nunc, et ferte architriclino· et tulerunt.

9 Ut autem gustavit architriclinus aquam vinum factam et non sciebat unde esset· at ministri sciebant qui aquam hauserant: vocat sponsum architriclinus,

10 Et dicit ei: Omnis homo primum bonum vinum ponit: et quum inebriati fuerint, tunc minus: tu servasti bonum vinum usque jam.

11 Hoc fecit initium signorum Jesus in Cana Galilææ, et manifestavit gloriam suam: et crediderunt in eum discipuli ejus.

12 Post hoc descendit in Capernaum, ipse et mater ejus, et fratres ejus, et discipuli ejus, et ibi manserunt non multis diebus.

13 Et prope erat Pascha Judæorum, et ascendit Hierosolymam Jesus.

14 Et invenit in templo ven·

πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους.

15 Καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας· καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε·

16 Καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου.

17 Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστίν· "Ὁ ζῆλος τῆς οἰκίας σου καταφάγεταί με."

18 Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;

19 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

20 Εἶπον οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;

21 Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.

22 Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγε· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς.

23 Ὡς δὲ ἦν ἐν Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.

24 Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας·

25 Καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τὶς μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου·

dentes boves, et oves, et columbas, et numularios sedentes.

15 Et faciens flagellum ex funiculis, omnes ejecit ex templo, et oves et boves: et numulariorum effudit monetam, et mensas subvertit.

16 Et columbas vendentibus dixit: Auferte ista hinc: ne facite domum patris mei domum mercatus.

17 Recordati sunt vero discipuli ejus, quia scriptum est: Zelus domus tuæ comedit me.

18 Responderunt ergo Judæi, et dixerunt ei: Quod signum ostendis nobis, quia hæc facis?

19 Respondit Jesus, et dixit eis: Solvite templum hoc, et in tribus diebus excitabo illud.

20 Dixerunt ergo Judæi: Quadraginta et sex annis ædificatum est templum hoc, et tu in tribus diebus excitabis illud?

21 Ille autem dicebat de templo corporis sui.

22 Quum ergo resurrexisset à mortuis, recordati sunt discipuli ejus quia hoc dicebat eis: et crediderunt scripturæ, et sermoni, quem dixit Jesus.

23 Quum autem esset in Hierosolymis in Pascha in festo, multi crediderunt in no mine ejus, videntes ejus signa quæ faciebat.

24 Ipse autem Jesus non credebat semetipsum eis, quia nosset omnes.

25 Et quia non opus haberet, ut quis testaretur de homi

αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Κεφ. γ'. 3.

1 ΗΝ δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων.

2 Οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ εἶπεν αὐτῷ· Ῥαββὶ, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ.

3 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ἀμὴν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τῦ Θεοῦ.

4 Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν ; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι ;

5 Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

6 Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεῦματος, πνεῦμά ἐστι.

7 Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν.

8 Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος.

9 Ἀπεκρίθη Νικόδημος, καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι ;

10 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις ;

11 Ἀμὴν, ἀμὴν λέγω σοι, ὅτι ὃ

ne : ipse enim sciebat quid esset in homine.

CAPUT III.

1 ERAT autem homo ex Pharisæis, Nicodemus nomen ei, princeps Judæorum.

2 Hic venit ad Jesum nocte, et dixit ei : Rabbi, scimus quia à Deo venisti Magister : nemo enim hæc signa potest facere, quæ tu facis, si non fuerit Deus cum eo.

3 Respondit Jesus, et dixit ei : Amen, amen dico tibi, si non quis natus fuerit rursum, non potest videre regnum Dei.

4 Dicit ad eum Nicodemus : Quomodo potest homo renasci senex existens ? num potest in ventrem matris suæ secundò introire, et renasci ?

5 Respondit Jesus : Amen, amen dico tibi, si non quis natus fuerit ex aqua et spiritu, non potest introire in regnum Dei.

6 Natum ex carne, caro est : et natum ex spiritu, spiritus est.

7 Non mireris quia dixi tibi : Oportet vos nasci rursum.

8 Spiritus ubi vult spirat, et vocem ejus audis, sed non nosti unde veniat, et quo vadat : sic est omnis natus ex spiritu.

9 Respondit Nicodemus, et dixit ei : Quomodo possunt hæc fieri ?

10 Respondit Jesus, et dixit ei : Tu es Magister Israël, et hæc non noscis ?

11 Amen, amen dico tibi,

οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε.

12 Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε;

13 Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ.

14 Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου·

15 Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

16 Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

17 Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.

18 Ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ.

19 Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα.

20 Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ.

21 Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα.

22 Μετὰ ταῦτα ἦλθεν ὁ Ἰη-

quia quod scimus loquimur, et quod vidimus testamur, et testimonium nostrum non accipitis.

12 Si terrena dixi vobis, et non creditis: quomodo, si dixero vobis cælestia, credetis?

13 Et nemo ascendit in cælum, si non ille ex cælo descendens, filius hominis existens in cælo.

14 Et sicut Moses exaltavit serpentem in deserto, ita exaltari oportet filium hominis:

15 Ut omnis credens in ipsum non pereat, sed habeat vitam æternam.

16 Sic enim dilexit Deus mundum, ut filium suum unigenitum daret, ut omnis credens in eum non pereat, sed habeat vitam æternam.

17 Non enim misit Deus filium suum in mundum, ut judicet mundum: sed ut salvetur mundus per ipsum.

18 Credens in eum, non judicatur: qui autem non credit, jam judicatus est, quia non credidit in nomine unigeniti filii Dei.

19 Hoc autem est judicium, quia lux venit in mundum, et dilexerunt homines magis tenebras quam lucem: erant enim mala eorum opera.

20 Omnis enim mala agens, odit lucem: et non venit ad lucem, ut non arguantur opera ejus.

21 At faciens veritatem, venit ad lucem, ut manifestentur ejus opera, quia in Deo sunt facta.

22 Post hæc venit Jesus et

σοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν· καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν.

23 Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο, καὶ ἐβαπτίζοντο.

24 Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.

25 Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ.

26 Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· Ῥαββεί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν

27 Ἀπεκρίθη Ἰωάννης, καὶ εἶπεν· Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.

28 Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

29 Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου· αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται.

30 Ἐκεῖνον δεῖ αὐξάνειν· ἐμὲ δὲ ἐλαττοῦσθαι.

31 Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστὶ,

32 Καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει.

33 Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν.

discipuli ejus in Judæam terram : et illic morabatur cum eis, et baptizabat.

23 Erat autem et Joannes baptizans in Ænon juxta Salim, quia aquæ multæ erant illic : et veniebant, et baptizabantur.

24 Nondum enim erat missus in carcerem Joannes.

25 Facta est ergo quæstio ex discipulis Joannis cum Judæis de purificatione.

26 Et venerunt ad Joannem, et dixerunt ei : Rabbi, qui erat tecum trans Jordanem, cui tu testatus es, ecce hic baptizat, et omnes veniunt ad eum.

27 Respondit Joannes, et dixit : Non potest homo accipere quicquam, si non fuerit datum ei de cælo.

28 Ipsi vos mihi testamini, quod dixerim : Non sum ego Christus, sed quia missus sum ante illum.

29 Habens sponsam, sponsus est : at amicus sponsi stans et audiens eum, gaudio gaudet propter vocem sponsi. hoc ergo gaudium meum impletum est.

30 Illum oportet crescere, me autem minui.

31 Superne veniens super omnes est : existens de terra, de terra est, et de terra loquitur : de cælo veniens, super omnes est.

32 Et quod vidit et audivit, hoc testatur, et testimonium ejus nemo accipit.

33 Accipiens ejus testimonium, signavit quia Deus verax est.

34 Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ· οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα.

35 Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.

36 Ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.

34 Quem enim misit Deus, verba Dei loquitur : non enim ex mensura dat Deus spiritum.

35 Pater diligit filium, et omnia dedit in manu ejus.

36 Credens in filium, habet vitam æternam : at non credens filio, non videbit vitam, sed ira Dei manet super ipsum.

Κεφ. δ'. 4.

1 Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης·

2 Καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ·

3 Ἀφῆκε τὴν Ἰουδαίαν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν.

4 Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας.

5 Ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας, λεγομένην Συχὰρ, πλησίον τοῦ χωρίου ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ.

6 Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη·

7 Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ· λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πιεῖν.

8 Οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι.

9 Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· Πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος ; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις.

10 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν

CAPUT IV.

1 UT ergo cognovit Dominus quia audierunt Pharisæi quod Jesus plures discipulos facit et baptizat quam Joannes :

2 Quamquam Jesus ipse non baptizaret, sed discipuli ejus.

3 Reliquit Judæam, et abiit iterum in Galilæam.

4 Oportebat autem eum transire per Samariam.

5 Venit ergo in civitatem Samariæ, dictam Sichar, juxta prædium quod dedit Jacob Joseph filio suo.

6 Erat autem ibi fons Jacob. ergo Jesus fatigatus ex itinere, sedebat sic supra fontem. hora erat quasi sexta.

7 Venit mulier de Samaria haurire aquam. dicit ei Jesus : Da mihi bibere.

8 Nam discipuli ejus abierant in civitatem, ut cibos emerent.

9 Dicit ergo ei mulier illa Samaritana : Quomodo tu Judæus existens à me bibere poscis, existente muliere Samaritana ? non enim coütuntur Judæi Samaritanis.

10 Respondit Jesus, et dixit

αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πιεῖν· σὺ ἂν ἤτησας αὐτὸν, καὶ ἔδωκεν ἂν σοι ὕδωρ ζῶν.

11 Λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν ;

12 Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ ;

13 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν.

14 Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

15 Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε.

17 Ἀπεκρίθη ἡ γυνὴ, καὶ εἶπεν· Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας· Ὅτι ἄνδρα οὐκ ἔχω·

18 Πέντε γὰρ ἄνδρας ἔσχες· καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ, τοῦτο ἀληθὲς εἴρηκας.

19 Λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ.

20 Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν.

21 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα,

ei : Si scires donum Dei, et quis est dicens tibi : Da mihi bibere, tu utique petisses il lum, et dedisset utique tibi aquam vivam.

11 Dicit ei mulier : Domine, neque haustorium habes, et puteus est profundus : unde ergo habes aquam vivam ?

12 Num tu major es patre nostro Jacob, qui dedit nobis puteum, et ipse ex eo bibit, et filii ejus, et pecora ejus ?

13 Respondit Jesus, et dixit ei : Omnis bibens ex aqua hac, sitiet iterum.

14 Qui autem biberit ex aqua quam ego dabo ei, non sitiet in æternum, sed aqua quam dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam

15 Dicit ad eum mulier . Domine, da mihi hanc aquam, ut non sitiam, neque veniam huc haurire.

16 Dicit ei Jesus : Vade, voca virum tuum, et veni huc.

17 Respondit mulier, et dixit : Non habeo virum. dixit ei Jesus : Pulchre dixisti, virum non habeo.

18 Quinque enim viros habuisti : et nunc quem habes, non est tuus vir : hæc vere dixisti.

19 Dicit ei mulier : Domine, video quia propheta es tu.

20 Patres nostri in monte hoc adoraverunt, et vos dicitis, quia in Hierosolymis est locus ubi oportet adorare.

21 Dicit ei Jesus : Mulier, crede mihi, quia venit hora

ὅτε ἄτε ἐν τῷ ὄρει τούτῳ, ἄτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί.

22 Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν.

23 Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.

24 Πνεῦμα ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

25 Λέγει αὐτῷ ἡ γυνή· Οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.

26 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι, ὁ λαλῶν σοι.

27 Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπε, Τί ζητεῖς; ἢ, τί λαλεῖς μετ' αὐτῆς;

28 Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ, καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις·

29 Δεῦτε, ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός;

30 Ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν.

31 Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ, λέγοντες· Ῥαββί, φάγε.

32 Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.

33 Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;

quando neque in monte hoc, neque in Hierosolymis adorabitis Patrem.

22 Vos adoratis quod non nostris: nos adoramus quod scimus: quia salus ex Judæis est.

23 Sed venit hora et nunc est, quando veri adoratores adorabunt Patrem in spiritu et veritate: etenim Pater tales quærit adorantes eum.

24 Spiritus Deus, et adorantes eum in spiritu et veritate oportet adorare.

25 Dicit ei mulier: Scio quia Messias venit, dictus Christus: quum venerit ille, annunciabit nobis omnia.

26 Dicit ei Jesus: Ego sum loquens tibi.

27 Et super hoc venerunt discipuli ejus, et mirabantur quia cum muliere loquebatur; nemo tamen dixit: Quid quæris? aut quid loqueris cum ea?

28 Reliquit ergo hydriam suam mulier, et abiit in civitatem, et dicit hominibus:

29 Venite, videte hominem qui dixit mihi omnia quæcumque feci: numquid ipse est Christus?

30 Exierunt ergo de civitate, et veniebant ad eum.

31 Interim vero rogabant eum discipuli ejus, dicentes: Rabbi, manduca.

32 Ille autem dixit eis: Ego cibum habeo manducare, quem vos non nostris.

33 Dicebant ergo discipuli ad invicem: Num aliquis attulit ei manducare?

34 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.

35 Οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.

36 Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων.

37 Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων.

38 Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

39 Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς, μαρτυρούσης· Ὅτι εἶπέ μοι πάντα, ὅσα ἐποίησα.

40 Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.

41 Καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ,

42 Τῇ τε γυναικὶ ἔλεγον· Ὅτι οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.

43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν.

44 Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

45 Ὅτε οὖν ἦλθεν εἰς τὴν Γα-

34 Dicit eis Jesus: Meus cibus est, ut faciam voluntatem mittentis me, et perficiam ejus opus:

35 Nonne vos dicitis, adhuc quadrimestre est, et messis venit? Ecce dico vobis, Levate oculos vestros, et videte regiones, quia albæ sunt ad messem jam.

36 Et metens mercedem accipit, et congregat fructum in vitam æternam, ut et seminans simul gaudeat, et metens.

37 In hoc enim verbum est verum, Quia alius est seminans, et alius metens.

38 Ego misi vos metere quod non vos laborastis: alii laboraverunt, et vos in laborem eorum introistis.

39 Ex civitate autem illa multi crediderunt in eum Samaritanorum, propter verbum mulieris testantis: Quia dixit mihi omnia quæcunque feci.

40 Quum ergo venissent ad illum Samaritani, rogaverunt eum manere apud eos: et mansit ibi duos dies.

41 Et multo plures crediderunt in eum propter sermonem ejus.

42 Et mulieri dicebant: non amplius propter tuam loquelam credimus: ipsi enim audivimus, et scimus quia hic est vere salvator mundi Christus.

43 Post duos autem dies exiit inde, et abiit in Galilæam

44 Ipse enim Jesus testatus est, quia propheta in propria patria honorem non habet.

45 Quum ergo venisset in

λιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες, ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

46 Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον· Καὶ ἦν τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ.

47 Οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν, καὶ ἠρώτα αὐτὸν ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ ἀποθνήσκειν.

48 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν· Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.

49 Λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου.

50 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, ὁ υἱός σου ζῇ. Καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· καὶ ἐπορεύετο.

51 Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν, λέγοντες· Ὅτι ὁ παῖς σου ζῇ.

52 Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχε· καὶ εἶπον αὐτῷ, ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός.

53 Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ὅτι ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.

54 Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

Galilæam, exceperunt eum Galilæi, omnia intuiti quæ fecerat in Hierosolymis in festo : et ipsi enim venerant ad festum.

46 Venit ergo Jesus iterum in Cana Galilææ, ubi fecit aquam vinum. Et erat quidam regulus, cujus filius infirmabatur in Capernaum.

47 Hic audiens quia Jesus venit ex Judæa in Galilæam, abiit ad eum, et rogabat eum, ut descenderet, et sanaret ipsius filium : futurus erat enim mori.

48 Dixit ergo Jesus ad eum : Si non signa et prodigia videritis, non credetis.

49 Dicit ad eum regulus : Domine, descende antequam moriatur puer meus.

50 Dicit ei Jesus : Vade, filius tuus vivit. et credidit homo sermoni, quem dixit ei Jesus : et ibat.

51 Jam autem eo descendente, servi ejus occurrerunt ei, et nuntiaverunt, dicentes . puer tuus vivit.

52 Interrogabat ergo ab eis horam in qua melius habuerit : et dixerunt ei : heri hora septima reliquit eum febris.

53 Cognovit ergo pater quia illa hora, in qua dixit ei Jesus, filius tuus vivit. et credidit ipse et domus ejus tota.

54 Hoc iterum secundum signum fecit Jesus veniens ex Judæa in Galilæam.

Κεφ. έ. 5.

1 Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα.

CAPUT V.

1 POST hæc erat festum Judæorum, et ascendit Jesus in Hierosolymam.

2 Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα·

3 Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.

4 Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

5 Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριακονταοκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ.

6 Τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέσθαι;

7 Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει.

8 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

9 Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος· καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει· ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

10 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον.

11 Ἀπεκρίθη αὐτοῖς· Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

12 Ἠρώτησαν οὖν αὐτόν· Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει;

2 Est autem in Hierosolymis super Probatica piscina cognominata Hebraice Bethesda, quinque porticus habens.

3 In his jacebat multitudo multa languentium, cæcorum, claudorum, aridorum, expectantium aquæ motum.

4 Angelus enim secundum tempus descendebat in piscinam, et turbabat aquam: igitur primus descendens post motionem aquæ, sanus fiebat, quo tandem detinebatur morbo.

5 Erat autem quidam homo ibi triginta octo annos habens in infirmitate.

6 Hunc videns Jesus jacentem, et cognoscens quia multum jam tempus haberet, dicit ei: Vis sanus fieri?

7 Respondit ei languidus Domine, hominem non habeo, ut quum turbata fuerit aqua mittat me in piscinam: dum autem venio ego, alius ante me descendit.

8 Dicit ei Jesus: Surge, tolle grabatum tuum, et ambula.

9 Et statim factus est sanus ille homo: et sustulit grabatum suum, et ambulabat. erat autem sabbatum in illo die.

10 Dicebant ergo Judæi curato: Sabbatum est, non licet tibi tollere grabatum.

11 Respondit eis: Faciens me sanum, ille mihi dixit: Tolle grabatum tuum, et ambula.

12 Interrogaverunt ergo eum: Quis est ille homo qui dixit tibi: Tolle grabatum tuum et ambula?

13 Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ.

14 Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

15 Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

16 Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ.

17 Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

18 Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

19 Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.

20 Ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε.

21 Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.

22 Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ·

23 Ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα, ὁ μὴ

13 At sanatus non sciebat quis esset : nam Jesus declinavit turba existente in loco.

14 Postea invenit eum Jesus in templo, et dixit illi : Ecce sanus factus es : ne amplius pecca, ut non deterius aliquid tibi fiat.

15 Abiit ille homo, et nuntiavit Judæis, Quia Jesus esset qui fecisset eum sanum.

16 Et propter hoc persequebantur Jesum Judæi, et quærebant eum occidere, quia hæc faciebat in sabbato.

17 At Jesus respondit eis . Pater meus usque modo operatur, et ego operor.

18 Propter hoc ergo magis quærebant eum Judæi interficere, quia non solum solvebat sabbatum, sed et patrem proprium dicebat Deum, æqualem seipsum faciens Deo.

19 Respondit itaque Jesus, et dixit iiis : Amen, amen dico vobis, non potest filius facere à seipso quicquam, si non quod viderit patrem facientem : quæcunque enim ille fecerit, hæc et filius similiter facit.

20 Nam pater diligit filium, et omnia demonstrat ei quæ ipse facit, et majora his demonstrabit ei opera, ut vos miremini.

21 Sicut enim pater suscitat mortuos, et vivificat, sic et filius quos vult vivificat.

22 Neque enim pater judicat quenquam, sed judicium omne dedit filio.

23 Ut omnes honorificent filium sicut honorificant pa-

τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν

24 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

25 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται.

26 Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ,

27 Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί.

28 Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ,

29 Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

30 Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

31 Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής.

32 Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.

33 Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ·

34 Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου

trem. Non honorificans filium, non honorificat patrem mittentem illum.

24 Amen, amen dico vobis, quia verbum meum audiens, et credens mittenti me, habet vitam æternam: et in judicium non venit, sed transivit ex morte in vitam.

25 Amen, amen dico vobis, quia venit hora, et nunc est, quando mortui audient vocem Filii Dei, et audientes vivent.

26 Sicut enim pater habet vitam in semetipso, sic dedit et filio vitam habere in semetipso.

27 Et potestatem dedit ei etiam judicium facere, quia filius hominis est.

28 Ne miramini hoc, quia venit hora, in qua omnes, qui in monumentis, audient vocem ejus.

29 Et procedent qui bona fecerunt, in resurrectionem vitæ: qui vero mala fecerunt, in resurrectionem judicii.

30 Non possum ego facere à meipso quicquam: sicut audio, judico, et judicium meum justum est: quia non quæro voluntatem meam, sed voluntatem mittentis me Patris.

31 Si ego testor de meipso, testimonium meum non est verum.

32 Alius est testans de me et scio quia verum est testimonium, quod testatur de me.

33 Vos misistis ad Joannem et testatus est veritati.

34 Ego autem non ab homi

τὴν μαρτυρίαν λαμβάνω· ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.

35 Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.

36 Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκε·

37 Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε·

38 Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν· ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

39 Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.

40 Καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε.

41 Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω·

42 Ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς.

43 Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

44 Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε;

45 Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε.

46 Εἰ γὰρ ἐπιστεύετε Μωσῇ,

ne testimonium accipio : sed hæc dico, ut vos servemini.

35 Ille erat lucerna ardens, et lucens : Vos autem voluistis exultare ad horam in luce ejus.

36 Ego autem habeo testimonium majus Joanne : nam opera quæ dedit mihi pater, ut perficiam ea, ipsa opera quæ ego facio, testantur de me quia pater me misit.

37 Et mittens me pater, ipse testatus est de me : neque vocem ejus audistis unquam, neque speciem ejus vidistis :

38 Et verbum ejus non habetis manens in vobis : quia quem misit ille, huic vos non creditis.

39 Scrutamini scripturas, quia vos putatis in ipsis vitam æternam habere, et illæ sunt testantes de me.

40 Et non vultis venire ad me, ut vitam habeatis.

41 Gloriam ab hominibus non accipio.

42 Sed cognovi vos, quia dilectionem Dei non habetis in vobis ipsis.

43 Ego veni in nomine patris mei, et non accipitis me : si alius venerit in nomine proprio, illum accipietis.

44 Quomodo potestis vos credere, gloriam ab invicem accipientes, et gloriam quæ à solo Deo non quæritis ?

45 Ne putate quia ego accusabo vos apud Patrem : est accusans vos Moses, in quo vos speratis.

46 Si enim crederetis Mosi,

ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν.

47 Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε ;

Κεφ. ϛ'. 6.

1 Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος·

2 Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων.

3 Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ.

4 Ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

5 Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι ;

6 Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν.

7 Ἀπεκρίθη αὐτῷ Φίλιππος· Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ.

8 Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου·

9 Ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστὶν εἰς τοσούτους ;

10 Εἶπε δὲ ὁ Ἰησοῦς· Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ· ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι.

11 Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰη-

crederetis utique mihi : de enim me ille scripsit.

47 Si autem illius literis non creditis, quomodo meis verbis credetis ?

CAPUT VI.

1 POST hæc abiit Jesus trans mare Galilææ Tiberiadis.

2 Et sequebatur eum turba multa, quia videbant ejus signa quæ faciebat super infirmis.

3 Adscendit autem in montem Jesus, et ibi sedebat cum discipulis suis.

4 Erat autem proximum Pascha, festum Judæorum.

5 Attollens ergo Jesus oculos, et intuitus quia multa turba venit ad eum, dicit ad Philippum : Unde ememus panes, ut manducent hi ?

6 Hoc autem dicebat tentans eum : ipse enim sciebat quid futurus esset facere

7 Respondit ei Philippus : Ducentorum denariorum panes non sufficiunt eis, ut unusquisque eorum modicum quid accipiat.

8 Dicit ei unus ex discipulis ejus, Andreas frater Simonis Petri :

9 Est puerulus unus hic, qui habet quinque panes hordeaceos, et duos pisciculos : sed hæc quid sunt inter tot ?

10 Dicit autem Jesus : Facite homines discumbere. erat autem fœnum multum in loco : discubuerunt ergo viri numero quasi quinque millia.

11 Accepit autem panes Je-

σοῦς, καὶ εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον.

12 Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ· Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται.

13 Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν.

14 Οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον· Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον.

15 Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν ἵνα ποίησωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.

16 Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν·

17 Καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ· καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς·

18 Ἥ τε θάλασσα, ἀνέμου μεγάλου πνέοντος, διηγείρετο.

19 Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τῶ πλοίῳ γινόμενον· καὶ ἐφοβήθησαν.

20 Ὁ δὲ λέγει αὐτοῖς· Ἐγώ εἰμι, μὴ φοβεῖσθε.

21 Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς πλοῖον· καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.

22 Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν ὅτι

sus, et gratias agens distribuit discipulis, at discipuli discumbentibus : similiter et ex pisciculis quantum volebant.

12 Ut autem impleti sunt, dicit discipulis suis : Colligite superabundantia fragmenta, ut non quid pereat.

13 Collegerunt ergo, et impleverunt duodecim cophinos fragmentorum ex quinque panibus hordeaceis, quæ superfuerunt comedentibus.

14 Illi ergo homines videntes quod fecerat signum Jesus, dicebant : hic est verè Propheta venturus in mundum.

15 Jesus ergo cognoscens quod futuri essent venire, et rapere eum, ut facerent eum regem, recessit iterum in montem ipse solus.

16 Ut autem serum factum est, descenderunt discipuli ejus ad mare.

17 Et ascendentes in navim, venerunt trans mare in Capernaum, et tenebræ jam factæ erant, et non venerat ad eos Jesus.

18 Et mare, vento magno flante, exurgebat.

19 Provecti ergo quasi stadia viginti quinque aut triginta, vident Jesum ambulantem supra mare, et prope navem factum ; et timuerunt.

20 Ille autem dicit eis · Ego sum, ne timete.

21 Voluerunt ergo accipere eum in navim, et statim navis facta est ad terram in quam ibant.

22 Postridie turba constituta trans mare, videns quia na-

πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον·

23 Ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ Κυρίου.

24 Ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθεταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦντες τὸν Ἰησοῦν·

25 Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ· Ῥαββὶ, πότε ὧδε γέγονας;

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.

27 Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν, ὁ Θεός.

28 Εἶπον οὖν πρὸς αὐτὸν· Τί ποιοῦμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;

29 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.

30 Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

31 Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· "Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν."

32 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς·

vicula alia non erat ibi, si non una illa in quam intrarant discipuli ejus, et quia non introisset cum discipulis suis Jesus in naviculam, sed soli discipuli ejus abiissent:

23 Aliæ vero supervenerunt naves à Tiberiade juxta locum ubi manducaverant panem, gratias agente Domino.

24 Quum ergo vidisset turba quia Jesus non esset ibi, neque discipuli ejus, ascenderunt ipsi in naviculas, et venerunt in Capernaum, quærentes Jesum.

25 Et invenientes eum trans mare, dixerunt ei: Rabbi, quando huc factus es?

26 Respondit eis Jesus, et dixit: Amen, amen dico vobis, Quæritis me, non quia vidistis signa, sed quia manducastis ex panibus, et saturati estis.

27 Operamini non cibum pereuntem, sed cibum manentem in vitam æternam, quem filius hominis vobis dabit: hunc enim pater signavit, Deus.

28 Dixerunt ergo ad eum: Quid faciamus, ut operemur opera Dei?

29 Respondit Jesus et dixit eis: Hoc est opus Dei, ut credatis in eum quem misit ille.

30 Dixerunt ergo ei: Quod ergo facis tu signum, ut videamus et credamus tibi? quid operaris?

31 Patres nostri manna manducaverunt in deserto, sicut est scriptum: Panem de cælo dedit eis manducare.

32 Dixit ergo eis Jesus

Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν·

33 Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

34 Εἶπον οὖν πρὸς αὐτόν· Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον.

35 Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε.

36 Ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε.

37 Πᾶν ὃ δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει· καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω·

38 Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

39 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

40 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ.

41 Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ,

42 Καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν Ἰησοῦς, ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει οὗτος· Ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;

43 Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς, καὶ

Amen, amen dico vobis, non Moses dedit vobis panem de cælo: sed pater meus dat vobis panem de cælo verum.

33 Nam panis Dei est ille descendens de cælo, et vitam dans mundo.

34 Dixerunt ergo ad eum, Domine, semper da nobis panem hunc.

35 Dixit autem eis Jesus: Ego sum panis vitæ: veniens ad me, non esuriet: et credens in me, non sitiet unquam.

36 Sed dixi vobis, quia et vidistis me, et non creditis.

37 Omne quod dat mihi Pater, ad me veniet: et venientem ad me non ejiciam foras.

38 Quia descendi de cælo, non ut faciam voluntatem meam, sed voluntatem mittentis me.

39 Hæc autem est voluntas mittentis me Patris, ut omne quod dedit mihi, non perdam ex eo: sed resuscitabo illud in novissimo die.

40 Hæc autem est voluntas mittentis me, ut omnis videns Filium, et credens in eum, habeat vitam æternam: et resuscitabo eum ego novissimo die.

41 Murmurabant ergo Judæi de illo, quia dixisset: Ego sum panis descendens de cælo.

42 Et dicebant: Nonne hic est Jesus filius Joseph, cujus nos novimus patrem et matrem? quomodo ergo dicit hic quia de cælo descendi?

43 Respondit ergo Jesus, et

εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων.

44 Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με, ἑλκύσῃ αὐτὸν· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

45 Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· "Καὶ ἔσονται πάντες διδακτοὶ τοῦ Θεοῦ." Πᾶς οὖν ὁ ἀκούσας παρὰ τοῦ πατρὸς, καὶ μαθὼν, ἔρχεται πρός με.

46 Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ· οὗτος ἑώρακε τὸν πατέρα.

47 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον.

48 Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.

49 Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον.

50 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ.

51 Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

52 Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν;

53 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.

54 Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν

dixit eis : Ne murmurate alii cum aliis.

44 Nemo potest venire ad me, si non Pater mittens me, traxerit eum : et ego resuscitabo eum novissimo die.

45 Est scriptum in Prophetis : Et erunt omnes docibiles Dei : omnis igitur audiens à Patre, et discens, venit ad me.

46 Non quia Patrem quisquam vidit, si non existens à Deo : hic vidit Patrem.

47 Amen, amen dico vobis, Credens in me, habet vitam æternam.

48 Ego sum panis vitæ.

49 Patres vestri manducaverunt manna in deserto, et mortui sunt.

50 Hic est panis de cælo descendens, ut quis ex ipso manducaverit et non moriatur.

51 Ego sum panis vivus, ille de cælo descendens : si quis manducaverit ex hoc pane, vivet in æternum : et panis autem quem ego dabo, caro mea est, quam ego dabo pro mundi vita.

52 Litigabant ergo ad invicem Judæi, dicentes, Quomodo potest hic nobis dare carnem manducare ?

53 Dixit ergo eis Jesus · Amen, amen dico vobis : Si non manducaveritis carnem filii hominis, et biberitis ejus sanguinem, non habetis vitam in vobis ipsis.

54 Manducans meam carnem, et bibens meum sangui-

αἰώνιον· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

55 Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις.

56 Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.

57 Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσει εἰς τὸν αἰῶνα.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ, διδάσκων ἐν Καπερναούμ.

60 Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ, εἶπον· Σκληρός ἐστιν οὗτος ὁ λόγος· Τίς δύναται αὐτοῦ ἀκούειν;

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει;

62 Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον.

63 Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι, καὶ ζωή ἐστιν·

64 Ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινες οἱ οὐ πιστεύουσιν· ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν, οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστὶν ὁ παραδώσων αὐτόν.

65 Καὶ ἔλεγε· Διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου.

nem, habet vitam æternam, et ego resuscitabo eum novissimo die.

55 Nam caro mea vere est cibus, et sanguis meus vere est potus.

56 Manducans meam carnem, et bibens meum sanguinem, in me manet, et ego in illo.

57 Sicut misit me vivens Pater, et ego vivo propter Patrem: et manducans me, et ipse vivet propter me.

58 Hic est panis de cælo descendens; non sicut manducaverunt patres vestri manna, et mortui sunt. Manducans hunc panem, vivet in æternum.

59 Hæc dixit in synagoga, docens in Capernaum.

60 Multi ergo audientes ex discipulis ejus, dixerunt: Durus est hic sermo: quis potest eum audire?

61 Sciens autem Jesus in seipso, quia murmurarent de hoc discipuli ejus, dixit eis: Hoc vos scandalizat?

62 Si ergo videritis filium hominis ascendentem ubi erat prius?

63 Spiritus est vivificans, caro non prodest quicquam. verba, quæ ego loquor vobis, spiritus sunt, et vita sunt.

64 Sed sunt ex vobis quidam qui non credunt. sciebat enim ab initio Jesus, qui essent non credentes, et quis esset traditurus eum.

65 Et dicebat: propter hoc dixi vobis, quia nemo potest venire ad me, si non fuerit datum ei à patre meo

66 Ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν.

67 Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

68 Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις·

69 Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

70 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν;

71 Ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτην· οὗτος γὰρ ἤμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα.

66 Ex hoc multi abierunt discipulorum ejus retro, et non amplius cum illo ambulabant.

67 Dixit ergo Jesus duodecim: Numquid et vos vultis abire?

68 Respondit ergo ei Simon Petrus: Domine, ad quem ibimus? verba vitæ æternæ habes.

69 Et nos credidimus et cognovimus, quia tu es Christus, Filius Dei viventis.

70 Respondit eis Jesus: Nonne ego vos duodecim elegi, et ex vobis unus diabolus est?

71 Dicebat autem Judam Simonis Iscariotem: hic enim futurus erat eum tradere, unus existens ex duodecim.

Κεφ. ζ'. 7.

1 Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

2 Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία.

3 Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· Μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα σου ἃ ποιεῖς·

4 Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι· εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ, ἐπίστευον εἰς αὐτόν.

6 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος

CAPUT VII.

1 ET ambulabat Jesus post hæc in Galilæa: non enim volebat in Judæa ambulare, quia quærebant eum Judæi interficere.

2 Erat autem prope festum Judæorum, Scenopegia.

3 Dixerunt igitur ad eum fratres ejus: Transi hinc, et vade in Judæam, ut et discipuli tui videant opera tua quæ facis.

4 Nemo quippe in occulto quid facit, et quærit ipse in manifesto esse. si hæc facis, manifesta teipsum mundo.

5 Neque enim fratres ejus credebant in eum.

6 Dicit ergo eis Jesus: Tempus meum nondum adest: at tempus vestrum semper est paratum.

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν.

8 Ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται.

9 Ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.

10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ.

11 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος ;

12 Καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις, οἱ μὲν ἔλεγον, Ὅτι ἀγαθός ἐστιν· ἄλλοι δὲ ἔλεγον, Οὐ· ἀλλὰ πλανᾷ τὸν ὄχλον.

13 Οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ, διὰ τὸν φόβον τῶν Ἰουδαίων.

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε.

15 Καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς ;

16 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἐστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με·

17 Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ.

18 Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.

19 Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νομον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ

7 Non potest mundus odisse vos, me autem odit, quia ego testor de illo, quia opera ejus mala sunt.

8 Vos ascendite ad festum hoc : ego nondum ascendo ad festum istud, quia tempus meum nondum impletum est.

9 Hæc autem dicens eis, mansit in Galilæa.

10 Ut autem ascenderunt fratres ejus, tunc et ipse ascendit ad festum, non manifestè, sed quasi in occulto.

11 Ipsi ergo Judæi quærebant eum in festo, et dicebant : Ubi est ille ?

12 Et murmur multus de eo erat in turbis. hi quidem dicebant, Quia bonus est. alii dicebant, Non : sed seducit turbam.

13 Nemo tamen palam loquebatur de illo, propter metum Judæorum.

14 Jam autem festo mediante, ascendit Jesus in templum, et docebat.

15 Et mirabantur Judæi, dicentes : Quomodo hic literas scit, non doctus ?

16 Respondit ergo eis Jesus, et dixit : Mea doctrina non est mea, sed mittentis me.

17 Si quis voluerit voluntatem ejus facere, cognoscet de doctrina, utrum ex Deo sit, an ego à meipso loquar.

18 Qui à semetipso loquens, gloriam propriam quærit : at quærens gloriam mittentis eum, hic verax est, et injustitia in illo non est.

19 Non Moses dedit vobis legem, et nemo ex vobis facit

τὸν νόμον ; Τί μὲ ζητεῖτε ἀποκτεῖναι ;

20 Ἀπεκρίθη ὁ ὄχλος, καὶ εἶπε· Δαιμόνιον ἔχεις· τίς σὲ ζητεῖ ἀποκτεῖναι ;

21 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

22 Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ Μωσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων· καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον.

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ ;

24 Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.

25 Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι ;

26 Καὶ ἴδε, παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι· μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός ;

27 Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν.

28 Ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς, καὶ λέγων· Κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε·

29 Ἐγὼ δὲ οἶδα αὐτόν, ὅτι παῤ' αὐτοῦ εἰμι, κἀκεῖνός με ἀπέστειλεν.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι· καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

31 Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου

legem ? Quid me quæritis interficere ?

20 Respondit turba et dixit : Dæmonium habes : quis te quærit interficere ?

21 Respondit Jesus, et dixit eis : Unum opus feci, et omnes miramini.

22 Propter hoc Moses dedit vobis circumcisionem, non quia ex Mose est, sed ex patribus, et in sabbato circumciditis hominem.

23 Si circumcisionem accipit homo in sabbato, ut non solvatur lex Mosi, Mihi indignamini quia totum hominem sanum feci in sabbato ?

24 Ne judicate secundum speciem, sed justum judicium judicate.

25 Dicebant ergo quidam ex Hierosolymitanis : Nonne hic est quem quærunt interficere ?

26 Et ecce palam loquitur, et nihil ei dicunt : numquid vere cognoverunt principes, quia hic est vere Christus ?

27 Sed hunc scimus unde sit : at Christus quum venerit, nemo scit unde sit.

28 Clamabat ergo in templo docens Jesus, et dicens : Et me scitis, et scitis unde sim : et à meipso non veni, sed est verus mittens me, quem vos non nostis.

29 Ego scio eum, quia ab ipso sum, et ipse me misit.

30 Quærebant ergo eum comprehendere : et nemo immisit in illum manum, quia nondum venerat hora ejus.

31 Multi autem de turba

ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον· Ὅτι ὁ Χριστὸς, ὅταν ἔλθῃ, μήτι πλείονα σημεῖα τούτων ποιήσει ὧν οὗτος ἐποίησεν ;

32 Ἤκουσαν οἱ φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα· καὶ ἀπέστειλαν οἱ φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν.

33 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με.

34 Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

35 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· Ποῦ οὗτος μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν ; μὴ εἰς τὴν διασποράν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας ;

36 Τίς ἐστὶν οὗτος ὁ λόγος ὃν εἶπε· Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ;

37 Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραξε, λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω.

38 Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

39 Τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· Οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.

40 Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης·

41 Ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός· ἄλλοι δὲ ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται ;

crediderunt in eum, et dicebant : Quia Christus quum venerit, numquid plura signa faciet his quæ hic fecit ?

32 Audierunt Pharisæi turbam murmurantem de illo hæc : et miserunt Pharisæi et principes Sacerdotum ministros, ut apprehenderent eum.

33 Dixit ergo Jesus : Adhuc modicum tempus vobiscum sum, et vado ad mittentem me.

34 Quæretis me, et non invenietis : et ubi sum ego, vos non potestis venire.

35 Dixerunt ergo Judæi ad semetipsos : Quo hic futurus est ire, quia nos non inveniemus eum ? numquid in dispersionem Græcorum futurus est ire, et docere Græcos ?

36 Quis est hic sermo quem dixit : quæretis me, et non invenietis : et ubi sum ego, vos non potestis venire ?

37 In autem novissimo die magno festivitatis stabat Jesus, et clamabat, dicens : Si quis sitit, veniat ad me, et bibat.

38 Credens in me, sicut dixit scriptura, flumina de ventre ejus fluent aquæ vivæ.

39 Hoc autem dixit de spiritu, quem futuri erant accipere credentes in eum : nondum enim erat spiritus sanctus, quia Jesus nondum erat glorificatus.

40 Multi ergo ex turba audientes sermonem, dicebant : Hic est vere propheta.

41 Alii dicebant : Hic est Christus : alii vero dicebant : Num enim ex Galilæa Christus venit ?

42 Οὐχὶ ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ, καὶ ἀπὸ Βηθλεὲμ, τῆς κώμης ὅπου ἦν Δαβὶδ, ὁ Χριστὸς ἔρχεται;

43 Σχίσμα ἦν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν.

44 Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.

45 Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διατί οὐκ ἠγάγετε αὐτόν;

46 Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.

47 Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε;

48 Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν φαρισαίων;

49 Ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικαλάρατοί εἰσι.

50 Λέγει Νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν·

51 Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ;

52 Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον, καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται.

53 Καὶ ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ·

42 Nonne scriptura dicit, quia ex semine David, et de Bethlehem vico, ubi erat David, Christus venit?

43 Dissensio itaque in turba facta est propter eum.

44 Quidam autem volebant ex ipsis apprehendere eum · sed nemo immisit super eum manus.

45 Venerunt ergo ministri ad Pontifices et Pharisæos : et dixerunt eis illi : Quare non adduxistis illum?

46 Responderunt ministri : Nunquam sic loquutus est homo, sicut hic homo.

47 Responderunt ergo eis Pharisæi : Numquid et vos seducti estis?

48 Numquid aliquis ex principibus credidit in eum, aut ex Pharisæis?

49 Sed turba hæc non noscens legem, maledicti sunt.

50 Dicit Nicodemus ad eos, ille profectus nocte ad eum, unus existens ex ipsis :

51 Numquid lex nostra judicat hominem, si non audierit ab ipso prius, et cognoverit quid faciat?

52 Responderunt et dixerunt ei : Numquid et tu ex Galilæa es? scrutare, et vide, quia propheta in Galilæa non surrexit.

53 Et perrexit unusquisque in domum suam.

Κεφ. ή. 8.

1 Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

2 Ὄρθρου δὲ πάλιν παρεγένετο

CAPUT VIII.

1 JESUS autem perrexit in montem olearum.

2 Diluculo autem iterum ac-

εἰς τὸ ἱερὸν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς.

3 Ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι πρὸς αὐτὸν γυναῖκα ἐν μοιχείᾳ κατειλημμένην· καὶ στήσαντες αὐτὴν ἐν μέσῳ,

4 Λέγουσιν αὐτῷ· Διδάσκαλε, αὕτη ἡ γυνὴ κατειλήφθη ἐπαυτοφώρῳ μοιχευομένη.

5 Ἐν δὲ τῷ νόμῳ Μωυσῆς ἡμῖν ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι· σὺ οὖν τί λέγεις;

6 Τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ὁ δὲ Ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν μὴ προσποιούμενος.

7 Ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτὸν, ἀνακύψας εἶπε πρὸς αὐτούς· Ὁ ἀναμάρτητος ὑμῶν, πρῶτος τὸν λίθον ἐπ' αὐτὴν βαλέτω.

8 Καὶ πάλιν κάτω κύψας, ἔγραφεν εἰς τὴν γῆν.

9 Οἱ δὲ ἀκούσαντες, καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι, ἐξήρχοντο εἷς καθεῖς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων· καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς, καὶ ἡ γυνὴ ἐν μέσῳ οὖσα.

10 Ἀνακύψας δὲ ὁ Ἰησοῦς, καὶ μηδένα θεασάμενος πλὴν τῆς γυναικὸς, εἶπεν αὐτῇ· Ἡ γυνὴ, ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κατέκρινεν;

11 Ἡ δὲ εἶπεν· Οὐδείς, Κύριε. Εἶπε δὲ αὐτῇ ὁ Ἰησοῦς· Οὐδὲ ἐγώ σε καταγινώσκω· πορεύου, καὶ μηκέτι ἁμάρτανε.

12 Πάλιν οὖν ὁ Ἰησοῦς αὐτοῖς ἐλάλησε, λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

cessit in templum, et omnis populus venit ad eum, et sedens docebat eos.

3 Adducunt autem Scribæ et Pharisæi ad eum mulierem in adulterio deprehensam: et statuentes in medio,

4 Dicunt ei: Magister, hanc invenimus in ipso facto adulterantem:

5 In autem Lege nostra Moses mandavit hujusmodi lapidari: Tu ergo quid dicis?

6 Hoc autem dicebant tentantes eum, ut haberent accusationem adversus eum. At Jesus deorsum inclinans, digito scribebat in terram.

7 Ut autem perseverabant interrogantes eum, erectus ait ad eos: Qui sine peccato est vestrum, primus lapidem in illam jaciat.

8 Et iterum deorsum inclinans, scribebat in terram.

9 Ii autem audientes, et à conscientia redarguti, exibant unus post unum, incipientes à senioribus usque extremos: et relictus est solus Jesus, et mulier in medio existens.

10 Erectus autem Jesus, et neminem spectans præter mulierem, dixit ei: Ubi sunt illi accusatores tui? nemo te condemnavit?

11 Illa autem dixit: Nemo, Domine. Dixit autem ei Jesus: Nec ego te condemno. Vade, et non amplius pecca.

12 Iterum ergo eis Jesus loquutus est, dicens: Ego sum lux mundi: sequens me, non ambulabit in tenebris, sed habebit lumen vitæ.

3 Εἶπον ἓν αὐτῷ οἱ φαρισαῖοι· Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.

14 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου· ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα.

16 Καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ, καὶ ὁ πέμψας με πατήρ.

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.

18 Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.

19 Ἔλεγον οὖν αὐτῷ· Ποῦ ἐστιν ὁ πατήρ σου; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ἤδειτε, καὶ τὸν πατέρα μου ἤδειτε ἄν.

20 Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτὸν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

21 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

22 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτὸν, ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

23 Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω

13 Dixerunt ergo ei Pharisæi: Tu de temetipso testaris: testimonium tuum non est verum.

14 Respondit Jesus et dixit eis: Etsi ego testor de meipso, verum est testimonium meum quia scio unde veni, et quo vado: vos autem nescitis unde venio, et quo vado.

15 Vos secundum carnem judicatis: ego non judico quemquam.

16 Et si judico autem ego, judicium meum verum est: quia solus non sum, sed ego, et mittens me Pater.

17 Et in Lege vero vestra scriptum est, Quia duorum hominum testimonium verum est.

18 Ego sum testificans de meipso, et testatur de me mittens me Pater.

19 Dicebant ergo ei: Ubi est Pater tuus? Respondit Jesus: Neque me scitis, neque Patrem meum: si me sciretis, et Patrem meum sciretis.

20 Hæc verba loquutus est Jesus in gazophylacio, docens in templo: et nemo apprehendit eum: quia necdum venerat hora ejus.

21 Dixit ergo iterum eis Jesus: Ego vado, et quæretis me, et in peccato vestro moriemini: Quò ego vado, vos non potestis venire.

22 Dicebant ergo Judæi: Numquid interficiet semetipsum, quia dicit: Quò ego vado, vos non potestis venire?

23 Et dicebat eis: Vos de deorsum estis, ego ex sursum

εἰμί ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.

24 Εἶπον ἓν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

25 Ἔλεγον ἓν αὐτῷ· Σὺ τίς εἶ; Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τὴν ἀρχὴν ὅ, τι καὶ λαλῶ ὑμῖν.

26 Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι· κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον.

27 Οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν.

28 Εἶπεν ἓν αὐτοῖς ὁ Ἰησοῦς· Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ·

29 Καὶ ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν, οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ· ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.

30 Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

31 Ἔλεγεν ἓν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ,

32 Καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

33 Ἀπεκρίθησαν αὐτῷ· Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις· Ὅτι ἐλεύθεροι γενήσεσθε;

34 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας.

sum: vos de mundo hoc estis, ego non sum de mundo hoc.

24 Dixi ergo vobis quia moriemini in peccatis vestris. si enim non crediderit quia ego sum, moriemini in peccatis vestris.

25 Dicebant ergo ei: Tu quis es? Et dixit illis Jesus: Principium, quod et loquor vobis.

26 Multa habeo de vobis loqui et judicare, sed mittens me verax est: et ego quæ audivi ab eo, hæc loquor in mundum.

27 Non cognoverunt quia Patrem eis dicebat.

28 Dixit ergo eis Jesus Quum exaltaveritis filium hominis, tunc cognoscetis quia ego sum, et à meipso facio nihil, sed sicut docuit me Pater meus, hæc loquor.

29 Et mittens me cum me est. non reliquit me solum Pater, quia ego placita ei facio semper.

30 Hæc illo loquente multi crediderunt in eum.

31 Dicebat ergo Jesus ad credentes ei Judæos: Si vos manseritis in sermone meo, vere discipuli mei eritis.

32 Et cognoscetis veritatem, et veritas liberos faciet vos.

33 Responderunt ei: Semen Abrahæ sumus, et nemini servivimus unquam: quomodo tu dicis, liberi eritis?

34 Respondit eis Jesus: Amen, amen dico vobis, quia omnis faciens peccatum, servus est peccati.

35 Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· Ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα.

36 Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε.

37 Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

38 Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε.

39 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν.

40 Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ· Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.

41 Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν· Εἶπον οὖν αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν Θεόν.

42 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον, καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε.

43 Διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

44 Ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν· ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λα-

35 At servus non manet in domo in æternum: filius manet in æternum.

36 Si ergo filius vos liberaverit, vere liberi eritis.

37 Scio quia semen Abrahæ estis: sed quæritis me interficere, quia sermo meus non capit in vobis.

38 Ego quod vidi apud Patrem meum, loquor, et vos igitur quod vidistis apud Patrem vestrum, facitis.

39 Responderunt et dixerunt ei: Pater noster Abraham est. Dicit eis Jesus: Si filii Abrahæ essetis, opera Abrahæ faceretis.

40 Nunc autem quæritis me interficere, hominem, qui veritatem vobis loquutus sum, quam audivi à Deo: hoc Abraham non fecit.

41 Vos facitis opera patris vestri. Dixerunt itaque ei: Nos ex fornicatione non sumus nati: unum patrem habemus Deum.

42 Dixit eis Jesus: si Deus pater vester esset, diligeretis utique me: ego enim ex Deo profectus sum, et veni: neque enim à meipso veni, sed ille me misit.

43 Propter quid loquelam meam non cognoscitis? Quia non potestis audire sermonem meum.

44 Vos ex patre diabolo estis, et desideria patris vestri vultis facere. Ille homicida erat ab initio, et in veritate non stetit: quia non est veritas in eo: quum loquitur mendacium, ex propriis lo

λεῖ· ὅτι ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ.

45 Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

46 Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι;

47 Ὁ ὢν ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ.

48 Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· Οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις;

49 Ἀπεκρίθη Ἰησοῦς· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με·

50 Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων.

51 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα.

52 Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις· Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται, καὶ σὺ λέγεις· Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσεται θανάτου εἰς τὸν αἰῶνα;

53 Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον, τίνα σεαυτὸν σὺ ποιεῖς;

54 Ἀπεκρίθη Ἰησοῦς· Ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μου οὐδέν ἐστιν ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ὑμῶν ἐστι,

55 Καὶ οὐκ ἐγνώκατε αὐτόν·

quitur: quia mendax est, et pater ejus.

45 Ego autem quia veritatem dico, non creditis mihi.

46 Quis ex vobis arguit me de peccato? Si autem veritatem dico, propter quid vos non creditis mihi?

47 Existens ex Deo, verba Dei audit: Propter hoc vos non auditis, quia ex Deo non estis.

48 Responderunt ergo Judæi, et dixerunt ei: Non pulchrè dicimus nos, quia Samaritanus es tu, et dæmonium habes?

49 Respondit Jesus: Ego dæmonium non habeo: sed honorifico Patrem meum, et vos inhonoratis me.

50 Ego autem non quæro gloriam meam: est quærens et judicans.

51 Amen, amen dico vobis, si quis sermonem meum servaverit, mortem non videbit in æternum.

52 Dixerunt ergo ei Judæi: Nunc cognovimus quia dæmonium habes. Abraham mortuus est et Prophetæ, et tu dicis: Si quis sermonem meum servaverit, non gustabit mortem in æternum?

53 Non tu major es patre nostro Abraham, qui mortuus est? et Prophetæ mortui sunt: Quem teipsum tu facis?

54 Respondit Jesus: Si ego glorifico meipsum, gloria mea nihil est: est Pater meus glorificans me, quem vos dicitis quia Deus vester est:

55 Et non cognovistis eum

ἐγὼ δὲ οἶδα αὐτόν· καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτὸν, ἔσομαι ὅμοιος ὑμῶν, ψεύστης· ἀλλ' οἶδα αὐτὸν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ.

56 Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη.

57 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν· Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;

58 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι.

59 Ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν· Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, διελθὼν διὰ μέσου αὐτῶν· καὶ παρῆγεν οὕτω.

ego autem novi eum: Et si dixero quia non scio eum, ero similis vobis, mendax: Sed scio eum, et sermonem ejus servo.

56 Abraham pater vester exultavit ut videret diem meum: et vidit, et gavisus est.

57 Dixerunt ergo Judæi ad eum: Quinquaginta annos nondum habes, et Abraham vidisti?

58 Dixit eis Jesus: Amen, amen dico vobis, priusquam Abraham esset, ego sum.

59 Tulerunt ergo lapides ut jacerent in eum. Jesus autem abscondit se, et exivit de templo, transiens per medium eorum, et præteriit sic.

Κεφ. Θ'. 9.

1 Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς·

2 Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;

3 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ.

4 Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι.

5 Ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου.

6 Ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ,

7 Καὶ εἶπεν αὐτῷ· Ὕπαγε,

CAPUT IX.

1 ET præteriens vidit hominem cæcum ex nativitate.

2 Et interrogaverunt eum discipuli ejus, dicentes: Rabbi, quis peccavit, hic aut parentes ejus, ut cæcus nasceretur?

3 Respondit Jesus: Neque hic peccavit, neque parentes ejus: sed ut manifestentur opera Dei in illo:

4 Me oportet operari opera mittentis me, donec dies est: Venit nox, quando nemo potest operari.

5 Quamdiu in mundo sum, lux sum mundi.

6 Hæc dicens, expuit humi, et fecit lutum ex sputo, et linivit lutum super oculos cæci.

7 Et dixit ei: Vade, lava

νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, ὃ ἑρμηνεύεται, ἀπεσταλμένος. Ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων.

8 Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι τυφλὸς ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν ;

9 Ἄλλοι ἔλεγον· Ὅτε οὗτός ἐστιν· ἄλλοι δέ· Ὅτι ὅμοιος αὐτῷ ἐστιν. Ἐκεῖνος ἔλεγεν· Ὅτι ἐγώ εἰμι.

10 Ἔλεγον οὖν αὐτῷ· Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί ;

11 Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπεν· Ἄνθρωπος λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέ μοι· Ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, καὶ νίψαι. Ἀπελθὼν δὲ καὶ νιψάμενος, ἀνέβλεψα.

12 Εἶπον οὖν αὐτῷ· Ποῦ ἐστιν ἐκεῖνος ; Λέγει· Οὐκ οἶδα.

13 Ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρισαίους, τόν ποτε τυφλόν.

14 Ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς.

15 Πάλιν οὖν ἠρώτων αὐτον καὶ οἱ φαρισαῖοι πῶς ἀνέβλεψεν· Ὁ δὲ εἶπεν αὐτοῖς· Πηλὸν ἐπέθηκέ μου ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην, καὶ βλέπω.

16 Ἔλεγον οὖν ἐκ τῶν φαρισαίων τινές· Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. Ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν ; Καὶ σχίσμα ἦν ἐν αὐτοῖς.

17 Λέγουσι τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἠνοιξέ σου τοὺς ὀφθαλμούς ; Ὁ δὲ εἶπεν· Ὅτι προφήτης ἐστίν.

18 Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰου-

in natatoriam Siloam, quod interpretatur, Missus. Abiit ergo et lavit, et venit videns.

8 Itaque vicini et spectantes eum prius quia cæcus erat, dicebant : Nonne hic est sedens et mendicans ?

9 Alii dicebant, Hic est Alii autem : Similis ei est. Ille dicebat : Ego sum.

10 Dicebant ergo ei : Quomodo aperti sunt tibi oculi ?

11 Respondit ille, et ait : Homo dictus Jesus, lutum fecit, et unxit meos oculos, et dixit mihi : Vade ad natatoriam Siloam, et lava. Abiens autem et lotus vidi.

12 Dixerunt ergo ei : Ubi est ille ? Ait : Nescio.

13 Adducunt eum ad Pharisæos illum nuper cæcum.

14 Erat autem Sabbatum quando lutum fecit Jesus, et aperuit ejus oculos.

15 Iterum ergo interrogabant eum et Pharisæi quomodo vidisset. At dixit eis : Lutum imposuit super oculos meos, et lavi, et video.

16 Dicebant ergo ex Pharisæis quidam : Hic homo non est à Deo, quod Sabbatum non custodit. Alii dicebant : Quomodo potest homo peccator talia signa facere ? Et schisma erat in ipsis.

17 Dicunt ergo cæco iterum : Tu quid dicis de illo, quod aperuit tuos oculos ? Ille autem dixit : Quia propheta est.

18 Non crediderunt ergo

δαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν, καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος·

19 Καὶ ἠρώτησαν αὐτοὺς, λέγοντες· Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; Πῶς ἓν ἄρτι βλέπει;

20 Ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον· Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη·

21 Πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν· ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ αὐτοῦ λαλήσει.

22 Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται.

23 Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον· ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.

24 Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλὸς, καὶ εἶπον αὐτῷ· Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν.

25 Ἀπεκρίθη οὖν ἐκεῖνος, καὶ εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέπω.

26 Εἶπον δὲ αὐτῷ πάλιν· Τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς;

27 Ἀπεκρίθη αὐτοῖς· Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· Τί πάλιν θέλετε ἀκούειν; Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

28 Ἐλοιδόρησαν οὖν αὐτὸν, καὶ

Judæi de illo, quia cæcus erat, et vidit, usque quo vocaverunt parentes ejus qui visum receperat.

19 Et interrogaverunt eos, dicentes: Hic est filius vester, quem vos dicitis quia cæcus natus est? Quomodo ergo nunc videt?

20 Responderunt autem eis parentes ejus, et dixerunt, Scimus quia hic est filius noster, et quia cæcus natus est:

21 Quomodo autem nunc videt, non scimus, aut quis aperuit ejus oculos, nos non scimus: ipse ætatem habet, ipsum interrogate: ipse de seipso loquatur.

22 Hæc dixerunt parentes ejus, quoniam timebant Judæos: jam enim constituerant Judæi, ut si quis eum confiteretur Christum, extra synagogam fieret.

23 Propter hoc parentes ejus dixerunt: Quia ætatem habet, ipsum interrogate.

24 Vocaverunt ergo ex secundo hominem qui fuerat cæcus, et dixerunt ei: Da gloriam Deo: nos scimus quia homo hic peccator est.

25 Respondit ergo ille, et ait: Si peccator est, nescio: unum scio, quia cæcus existens, modo video.

26 Dixerunt autem illi rursum: Quid fecit tibi? Quomodo aperuit tuos oculos?

27 Respondit eis: Dixi vobis jam, et non audistis: quid iterum vultis audire? Num et vos vultis ejus discipuli fieri?

28 Conviciati sunt ergo ei,

εἶπον· Σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί·

29 Ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεός· Τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.

30 Ἀπεκρίθη ὁ ἄνθρωπος, καὶ εἶπεν αὐτοῖς· Ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς·

31 Οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· Ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει.

32 Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου.

33 Εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύναλο ποιεῖν οὐδέν.

34 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ ἐξέβαλον αὐτὸν ἔξω.

35 Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω· Καὶ εὑρὼν αὐτὸν, εἶπεν αὐτῷ· Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ;

36 Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπε· Τίς ἐστὶ, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;

37 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετά σου, ἐκεῖνός ἐστιν.

38 Ὁ δὲ ἔφη· Πιστεύω, Κύριε· Καὶ προσεκύνησεν αὐτῷ.

39 Καὶ εἶπεν ὁ Ἰησοῦς· Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται.

40 Καὶ ἤκουσαν ἐκ τῶν φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ· Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;

et dixerunt: Tu es discipulus illius: nos autem Mosis sumus discipuli.

29 Nos scimus quia Mosi loquutus est Deus: hunc autem non scimus unde est.

30 Respondit ille homo, et dixit eis: In enim hoc mirabile est, quia vos nescitis unde sit, et aperuit meos oculos.

31 Scimus autem quia peccatores Deus non audit: sed si quis Dei cultor sit, et voluntatem ejus faciat, hunc audit.

32 Ex seculo non auditum est quia aperuit quis oculos cæci nati.

33 Si non esset hic à Deo, non poterat facere quicquam.

34 Respondentes et dixerunt ei: In peccatis tu natus es totus: et tu doces nos? Et ejecerunt eum foras.

35 Audivit Jesus quia ejecerunt eum foras, et inveniens eum, dixit ei: Tu credis in Filium Dei?

36 Respondit ille, et dixit: Quis est, Domine, ut credam in eum?

37 Dixit autem ei Jesus: Et vidisti eum, et loquens cum te, ille est.

38 Is autem ait: Credo, Domine: Et adoravit eum.

39 Et dixit Jesus: In judicium ego in mundum hunc veni: ut non videntes videant, et videntes cæci fiant.

40 Et audierunt ex Pharisæis hæc existentes cum eo, et dixerunt ei: Num et nos cæci sumus?

41 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε· Ὅτι βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

Κεφ. ι. 10.

1 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής·

2 Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων·

3 Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά·

4 Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ.

5 Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.

6 Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς.

7 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.

8 Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα.

9 Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

10 Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν

41 Dixit eis Jesus : Si cæci essetis, non haberetis peccatum ; nunc verò dicitis, Videmus ; igitur peccatum vestrum manet.

CAPUT X.

1 AMEN, amen dico vobis, non intrans per ostium in ovile ovium, sed ascendens aliunde, ille fur est et latro.

2 Intrans verò per ostium, pastor est ovium.

3 Huic ostiarius aperit, et oves vocem ejus audiunt, et proprias oves vocat juxta nomen, et educit eas.

4 Et quum proprias oves emiserit, ante eas vadit : et oves illum sequuntur, quia sciunt vocem ejus.

5 Alienum autem non sequentur, sed fugient ab eo : quia non noverunt alienorum vocem.

6 Hoc proverbium dixit eis Jesus : Illi autem non cognoverunt quænam essent quæ loquebatur eis.

7 Dixit ergo iterum eis Jesus : Amen, amen dico vobis, ego sum ostium ovium.

8 Omnes quotquot ante me venerunt, fures sunt et latrones : sed non audierunt eos oves.

9 Ego sum ostium : per me si quis introierit, salvabitur : et ingredietur et egredietur, et pastum inveniet.

10 Fur non venit si non ut furetur et mactet, et perdat. Ego veni ut vitam habeant, et abundantius habeant

11 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων·

12 Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα·

13 Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων.

14 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν.

15 Καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.

16 Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

17 Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν.

18 Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου.

19 Σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους·

20 Ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν· Δαιμόνιον ἔχει, καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε ;

21 Ἄλλοι ἔλεγον· Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς, ἀνοίγειν ;

22 Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις, καὶ χειμὼν ἦν,

11 Ego sum pastor bonus · pastor bonus animam suam ponit pro ovibus.

12 Mercenarius autem, et non existens pastor, cujus non sunt oves propriæ, videt lupum venientem, et dimittit oves, et fugit : et lupus rapit eas, et dispergit oves.

13 At mercenarius fugit, quia mercenarius est, et non curæ est ei de ovibus.

14 Ego sum pastor bonus, et cognosco meas, et cognoscor à meis.

15 Sicut novit me Pater, et ego agnosco Patrem : et animam meam pono pro ovibus.

16 Et alias oves habeo, quæ non sunt ex caula hac : et illas me oportet adducere : et vocem meam audient : et fiet unum ovile, unus pastor.

17 Propter hoc Pater me diligit, quia ego pono animam meam, ut iterum sumam eam.

18 Nemo tollit eam à me : sed ego pono eam a meipso : potestatem habeo ponendi eam, et potestatem habeo iterum sumendi eam. Hoc mandatum accepi à Patre meo.

19 Dissensio igitur iterum facta est in Judæis propter sermones hos.

20 Dicebant autem multi ex ipsis : Dæmonium habet, et insanit : quid eum auditis ?

21 Alii dicebant : Hæc verba non sunt dæmoniaci : Num dæmonium potest cæcorum oculos aperire ?

22 Facta sunt autem Encænia Hierosolymis : et hyems erat

23 Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ Σολομῶντος.

23 Et ambulabat Jesus in templo in porticu Solomonis.

24 Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγεν αὐτῷ· Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παῤῥησίᾳ.

24 Circumdederunt ergo eum Judæi, et dicebant ei Quousque animam nostram tollis? Si tu es Christus, dic nobis palam.

25 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ·

25 Respondit eis Jesus. Dixi vobis: et non creditis: opera quæ ego facio in nomine Patris mei, hæc testantur de me.

26 Ἀλλ' ὑμεῖς οὐ πιστεύετε· οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν.

26 Sed vos non creditis: non enim estis ex ovibus meis, sicut dixi vobis.

27 Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι·

27 Oves meæ vocem meam audiunt, et ego cognosco eas, et sequuntur me.

28 Κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου.

28 Et ego vitam æternam do eis, et non peribunt in æternum, et non rapiet quisquam eas de manu mea.

29 Ὁ πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου·

29 Pater meus qui dedit mihi, major omnibus est: et nemo potest rapere de manu Patris mei.

30 Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.

30 Ego et Pater unum sumus.

31 Ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν.

31 Sustulerunt ergo iterum lapides Judæi, ut lapidarent eum.

32 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου· διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με;

32 Respondit eis Jesus: Multa pulchra opera ostendi vobis ex Patre meo: propter quod eorum opus lapidatis me?

33 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, λέγοντες· Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν.

33 Responderunt ei Judæi, dicentes: De pulchro opere non lapidamus te, sed de blasphemia, et quia tu homo existens, facis teipsum Deum.

34 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν· "Ἐγὼ εἶπα, Θεοί ἐστε;"

34 Respondit eis Jesus. Non est scriptum in lege vestra: Ego dixi, dii estis?

35 Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς

35 Si illos dixit deos, ad

ὃς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή·

36 ὃν ὁ πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε· Ὅτι βλασφημεῖς, ὅτι εἶπον, υἱὸς τοῦ Θεοῦ εἰμι;

37 Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι·

38 εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ.

39 Ἐζήτουν οὖν πάλιν αὐτὸν πιάσαι· καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.

40 Καὶ ἀπῆλθε πάλιν πέραν τοῦ Ἰορδάνου, εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων· καὶ ἔμεινεν ἐκεῖ·

41 καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἔλεγον· Ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν.

42 Καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν.

Κεφ. ια. 11.

1 Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς.

2 Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς· ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει.

3 Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν, λέγουσαι· Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ.

4 Ἀκούσας δὲ ὁ Ἰησοῦς, εἶπεν· Αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς.

quos sermo Dei factus est, et non potest solvi scriptura :

36 Quem Pater sanctificavit et misit in mundum, vos dicitis : Quia blasphemas, quia dixi, Filius Dei sum ?

37 Si non facio opera Patris mei, ne credite mihi.

38 Si autem facio, etsi mihi non credatis, operibus credite ut cognoscatis et credatis quia in me Pater, et ego in eo.

39 Quærebant ergo rursum eum apprehendere : et exivit ex manu eorum.

40 Et abiit iterum trans Jordanem in locum, ubi erat Joannes primum baptizans : et mansit illic.

41 Et multi venerunt ad eum, et dicebant : Joannes quidem signum fecit nullum : Omnia autem quæcumque dixit Joannes de hoc, vera erant.

42 Et crediderunt multi illic in eum.

CAPUT XI.

1 Erat autem quidam languens Lazarus à Bethania, ex vico Mariæ et Marthæ sororis ejus.

2 Erat autem Maria ungens Dominum unguento, et extergens pedes ejus capillis suis : cujus frater Lazarus infirmabatur.

3 Miserunt ergo sorores ad eum, dicentes : Domine, ecce, quem amas, infirmatur.

4 Audiens autem Jesus dixit : Hæc infirmitas non est ad mortem, sed pro gloria Dei : ut glorificetur filius Dei per eum.

5 Ηγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς, καὶ τὸν Λάζαρον·

6 Ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας,

7 Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς· Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν.

8 Λέγουσιν αὐτῷ οἱ μαθηταί· Ῥαββὶ, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ;

9 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει· ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει·

10 Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει· ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.

11 Ταῦτα εἶπε· καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν.

12 Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ· Κύριε, εἰ κεκοίμηται, σωθήσεται.

13 Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει·

14 Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ· Λάζαρος ἀπέθανε,

15 Καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν.

16 Εἶπεν οὖν Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, τοῖς συμμαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ.

17 Ἐλθὼν οὖν ὁ Ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ.

18 Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν

5 Diligebat autem Jesus Martham, et sororem ejus, et Lazarum.

6 Ut ergo audivit quia infirmabatur, tunc quidem mansit in quo erat loco duos dies.

7 Deinde post hoc dicit discipulis suis: Eamus in Judæam iterum.

8 Dicunt ei discipuli: Rabbi, nunc quærebant te lapidare Judæi: et iterum vadis illuc?

9 Respondit Jesus: Nonne duodecim horæ sunt diei? si quis ambulaverit in die, non offendit: quia lucem mundi hujus videt.

10 Si autem quis ambulaverit in nocte, offendit: quia lux non est in eo.

11 Hæc ait, et post hoc dici eis: Lazarus amicus noster dormit: sed vado ut à somno excitem eum.

12 Dixerunt ergo discipuli ejus: Domine, si dormit, servabitur.

13 Dixerat autem Jesus de morte ejus: Illi autem putaverunt quia de dormitione somni diceret.

14 Tunc ergo dixit eis Jesus manifeste: Lazarus mortuus est.

15 Et gaudeo propter vos, ut credatis, quoniam non eram ibi. Sed eamus ad eum.

16 Dixit ergo Thomas, dictus Didymus, condiscipulis: Eamus et nos, ut moriamur cum eo.

17 Veniens igitur Jesus invenit eum quatuor dies jam habentem in monumento.

18 Erat autem Bethania jux-

Ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε·

19 Καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν.

20 Ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο.

21 Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει·

22 Ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι ὁ Θεός.

23 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἀναστήσεται ὁ ἀδελφός σου.

24 Λέγει αὐτῷ Μάρθα· Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

25 Εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζώη· ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται·

26 Καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο ;

27 Λέγει αὐτῷ· Ναὶ Κύριε· ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τόν κόσμον ἐρχόμενος.

28 Καὶ ταῦτα εἰποῦσα ἀπῆλθε, καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα, εἰποῦσα· Ὁ διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε.

29 Ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ, καὶ ἔρχεται πρὸς αὐτόν.

30 Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην· ἀλλ' ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα.

31 Οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ'

ta Hierosolyma quasi à stadiis quindecim.

19 Et multi ex Judæis venerant ad eas quæ circa Martham et Mariam, ut consolarentur eas de fratre suo.

20 Ergo Martha, ut audivit quia Jesus venit, occurrit illi : Maria autem in domo sedebat

21 Dixit ergo Martha ad Jesum : Domine, si fuisses hic, frater meus non fuisset mortuus.

22 Sed et nunc scio quia quæcunque poposceris Deum, dabit tibi Deus.

23 Dicit illi Jesus : Resurget frater tuus.

24 Dicit ei Martha : Scio quia resurget in resurrectione in novissimo die.

25 Dixit ei Jesus : Ego sum resurrectio et vita : credens in me, etiam si mortuus fuerit, vivet.

26 Et omnis vivens et credens in me, non morietur in æternum. Credis hoc ?

27 Ait illi : Utique Domine : ego credidi quia tu es Christus Filius Dei, in hunc mundum veniens.

28 Et hæc loquuta abiit, et vocavit Mariam sororem suam silentio, dicens : Magister adest, et vocat te.

29 Illa ut audivit, surgit cito, et venit ad eum.

30 Nondum autem venerat Jesus in vicum, sed erat in loco, ubi occurrerat ei Martha.

31 Ergo Judæi existentes

αὐτῆς ἐν τῇ οἰκίᾳ, καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες· Ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ.

32 Ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν, ἔπεσεν, αὐτοῦ εἰς τοὺς πόδας, λέγουσα αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός.

33 Ἰησοῦς οὖν, ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτόν·

34 Καὶ εἶπε· Ποῦ τεθείκατε αὐτόν; Λέγουσιν αὐτῷ· Κύριε, ἔρχου καὶ ἴδε.

35 Ἐδάκρυσεν ὁ Ἰησοῦς.

36 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Ἴδε πῶς ἐφίλει αὐτόν.

37 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;

38 Ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ·

39 Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος, Μάρθα· Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι.

40 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ;

41 Ἦραν οὖν τὸν λίθον, οὗ ἦν ὁ τεθνηκὼς κείμενος. Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου.

42 Ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον

cum ea in domo, et consolantes eam, videntes Mariam quia cito surrexit et exiit, sequuti sunt eam, dicentes: Quia vadit ad monumentum, ut ploret ibi.

32 Ergo Maria quum venis set ubi erat Jesus, videns eum, cecidit ad pedes ejus, dicens ei: Domine, si fuisses hic, non esset mortuus meus frater

33 Jesus ergo, ut vidit eam plorantem, et venientes cum ipsa Judæos plorantes, infremuit spiritu, et turbavit seipsum:

34 Et dixit: Ubi posuistis eum? Dicunt ei: Domine, veni et vide.

35 Lacrymatus est Jesus.

36 Dixerunt ergo Judæi. Ecce quomodo amabat eum.

37 Quidam autem ex ipsis dixerunt: Non poterat hic, aperiens oculos cæci, facere ut et hic non moreretur?

38 Jesus ergo rursum infremens in semetipso, venit ad monumentum. Erat autem spelunca, et lapis positus erat super ea.

39 Ait Jesus: Tollite lapidem. Dicit ei soror mortui, Martha: Domine, jam fœtet: quatriduanus enim est.

40 Dicit ei Jesus: Non dixi tibi, quoniam si credideris, videbis gloriam Dei?

41 Tulerunt ergo lapidem, ubi erat mortuus positus. At Jesus sustulit oculos sursum, et dixit: Pater, gratias ago tibi, quoniam audisti me.

42 Ego autem sciebam quia semper me audis: sed propter

τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας.

43 Καὶ ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω.

44 Καὶ ἐξῆλθεν ὁ τεθνηκὼς, δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις· καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν.

45 Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν, καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν·

46 Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς.

47 Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι συνέδριον, καὶ ἔλεγον· Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ.

48 Ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.

49 Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· Ὑμεῖς οὐκ οἴδατε οὐδέν·

50 Οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.

51 Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν· ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν ὅτι ἤμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους·

52 Καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν.

turbam circumstantem dixi: ut credant quia tu me misisti.

43 Et hæc dicens, voce magna clamavit: Lazare, veni foras.

44 Et exiit mortuus, ligatus pedes et manus fasciis: et facies illius sudario obvincta erat. Dicit eis Jesus: Solvite eum, et sinite abire.

45 Multi ergo ex Judæis venientes ad Mariam, et spectantes quæ fecit Jesus, crediderunt in eum.

46 Quidam autem ex ipsis abierunt ad Pharisæos, et dixerunt eis quæ fecit Jesus.

47 Coëgerunt ergo principes Sacerdotum, et Pharisæi concilium, et dicebant: Quid facimus? Quia hic homo multa signa facit.

48 Si dimittimus eum sic, omnes credent in eum: et venient Romani, et tollent nostrum et locum et gentem.

49 Unus autem quidam ex ipsis Cajaphas princeps Sacerdotum existens anni illius, dixit eis: Vos nescitis quicquam:

50 Nec cogitatis quia expedit nobis ut unus homo moriatur pro populo, et non tota gens pereat.

51 Hoc autem à semetipso non dixit: sed princeps Sacerdotum existens anni illius, prophetavit quia futurus esset Jesus mori pro gente:

52 Et non pro gente tantum, sed ut et natos Dei dispersos cogeret in unum.

53 Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν.

54 Ἰησοῦς οὖν οὐκ ἔτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν· κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ.

55 Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων· καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς.

56 Ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες· Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν;

57 Δεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολήν, ἵνα ἐάν τις γνῷ ποῦ ἐστι, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

53 Ab illo ergo die consultabant, ut interficerent eum.

54 Jesus ergo non amplius palam ambulabat in Judæis: sed abiit illinc in regionem prope desertum, in Ephraim dictam urbem: et ibi morabatur cum discipulis suis.

55 Erat autem prope Pascha Judæorum, et ascenderunt multi in Hierosolyma ex illa regione ante Pascha, ut purificarent seipsos.

56 Quærebant ergo Jesum, et loquebantur alii cum aliis in templo stantes: Quid videtur vobis, quia non venit in festum?

57 Dederant autem et principes Sacerdotum et Pharisæi mandatum, ut si quis cognoverit ubi sit, indicet, ut apprehendant eum.

Κεφ. ιβ'. 12.

1 Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν.

2 Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ.

3 Ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου.

4 Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι·

5 Διατί τοῦτο τὸ μύρον οὐκ

CAPUT XII.

1 ERGO Jesus ante sex dies Paschæ venit Bethaniam, ubi erat Lazarus mortuus, quem suscitaverat ex mortuis.

2 Fecerunt ergo ei cœnam ibi, et Martha ministrabat: at Lazarus unus erat recumbentium cum eo.

3 Igitur Maria accipiens libram unguenti nardi fidelis multi pretii, unxit pedes Jesu, et extersit capillis suis pedes ejus: at domus impleta est ex odore unguenti.

4 Dixit ergo unus ex discipulis ejus, Judas Simonis Iscariotes, ille futurus eum tradere·

5 Quare hoc unguentum **non**

ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς ;

6 Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν.

7 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό.

8 Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

9 Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι ἐκεῖ ἐστι· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν.

10 Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν·

11 Ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

12 Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα,

13 Ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ, καὶ ἔκραζον· Ὡσάννα, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

14 Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτό, καθώς ἐστι γεγραμμένον·

15 " Μὴ φοβοῦ, Θύγατερ Σιών· ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου."

16 Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον· ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γε-

veniit trecentis denariis, et datum est egenis ?

6 Dixit autem hoc, non quia de egenis cura esset ei, sed quia fur erat, et marsupium habebat, et injecta portabat.

7 Dixit ergo Jesus : Sine illam : in diem sepulturæ meæ servavit illud.

8 Pauperes enim semper habetis cum vobis ipsis, me autem non semper habetis.

9 Cognovit ergo turba multa ex Judæis quia illic est : et venerunt non propter Jesum tantum, sed ut et Lazarum viderent, quem suscitavit ex mortuis.

10 Consultarunt autem principes Sacerdotum ut et Lazarum interficerent.

11 Quia multi propter illum subibant Judæorum, et credebant in Jesum.

12 Postridie turba multa veniens ad diem festum, audientes quia venit Jesus Hierosolyma,

13 Acceperunt ramos palmarum, et exierunt in occursum ei : et clamabant, Hosanna, benedictus veniens in nomine Domini, rex Israël.

14 Inveniens autem Jesus asellum, sedit super eum, sicut est scriptum :

15 Ne time filia Sion : ecce rex tuus venit sedens super pullum asinæ.

16 Hæc autem non cognoverunt discipuli ejus primum : sed quando glorificatus est Jesus, tunc recordati sunt quia

γραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ.

17 Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν·

18 Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον.

19 Οἱ οὖν φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; Ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

20 Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ·

21 Οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν, λέγοντες· Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν.

22 Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ.

23 Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.

24 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει.

25 Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν.

26 Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ.

27 Νῦν ἡ ψυχή μου τετάρακται· καὶ τί εἴπω; Πάτερ, σῶσόν

hæc erant de eo scripta, et hæc fecerunt ei.

17 Testabatur ergo turba existens cum eo, quando Lazarum vocavit ex monumento, et suscitavit eum ex mortuis.

18 Propter hoc et obviam venit ei turba, quia audivit hoc eum fecisse signum.

19 Ergo Pharisæi dixerunt ad semetipsos: Videtis quia non proficitis quicquam? Ecce mundus post eum abiit.

20 Erant autem quidam Græci ex ascendentibus, ut adorarent in die festo.

21 Hi ergo accesserunt Philippo illi à Bethsaida Galilææ. et rogabant eum, dicentes: Domine, volumus Jesum videre.

22 Venit Philippus, et dicit Andreæ: et rursum Andreas et Philippus dicunt Jesu.

23 At Jesus respondit eis, dicens: Venit hora ut glorificetur filius hominis.

24 Amen, amen dico vobis, si non granum frumenti cadens in terram mortuum fuerit, ipsum solum manet: si autem mortuum fuerit, multum fructum affert.

25 Amans animam suam, perdet eam: et odio habens animam suam in mundo hoc, in vitam æternam custodiet eam.

26 Si mihi ministrat quis, me sequatur: et ubi sum ego, illic et minister meus erit: Et si quis mihi ministraverit, honorificabit eum Pater.

27 Nunc anima mea turbata est: et quid dicam? Pater

με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.

28 Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

29 Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι· Ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν.

30 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς.

31 Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω·

32 Κἀγὼ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.

33 Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

34 Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; Τίς ἐστὶν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;

35 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει.

36 Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν.

37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν·

38 Ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε· Κύριε,

serva me ex hora hac: Sed propter hoc veni in horam hanc.

28 Pater, glorifica tuum nomen. Venitergo vox de cælo: Et glorificavi, et iterum glorificabo.

29 Ergo turba stans et audiens, dicebat tonitruum esse factum. Alii dicebant: Angelus ei loquutus est.

30 Respondit Jesus et dixit: Non propter me hæc vox facta est, sed propter vos

31 Nunc judicium est mundi: nunc princeps mundi hujus ejicietur foras.

32 Et ego si exaltatus fuero à terra, omnes traham ad meipsum.

33 Hoc autem dicebat, significans qua morte futurus esset mori.

34 Respondit ei turba: Nos audivimus ex Lege quia Christus manet in æternum: et quomodo tu dicis, oportet exaltari filium hominis? Quis est iste filius hominis?

35 Dixit ergo eis Jesus: Adhuc modicum tempus lumen cum vobis est. Ambulate dum lucem habetis, ut non tenebræ vos comprehendant: et ambulans in tenebris, nescit quo vadat.

36 Dum lucem habetis, credite in lucem, ut filii lucis fiatis. Hæc loquutus est Jesus, et abiens abscondit se ab eis.

37 Tot autem eo signa faciente coram eis, non credebant in eum:

38 Ut sermo Esaiæ Prophetæ impleretur, quem dixit

τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;"

39 Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας·

40 "Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν· ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς."

41 Ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ.

42 Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται·

43 Ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

44 Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· Ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με·

45 Καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με.

46 Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ·

47 Καὶ ἐάν τις μοῦ ἀκούσῃ τῶν ῥημάτων, καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον.

48 Ὁ ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ·

49 Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα· ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί λαλήσω·

50 Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐ-

Domine, quis credidit auditui nostro, et brachium Domini cui revelatum est?

39 Propter hoc non poterant credere, quia iterum dixit Esaias:

40 Excæcavit eorum oculos, et induravit eorum cor: ut non videant oculis, et intelligant corde, et convertantur, et sanem eos.

41 Hæc dixit Esaias quando vidit gloriam ejus, et loquutus est de eo.

42 Verumtamen et ex principibus multi crediderunt in eum: sed propter Pharisæos non confitebantur, ut non extra synagogam fierent.

43 Dilexerunt enim gloriam hominum magis quam gloriam Dei.

44 Jesus autem clamavit, et dixit: Credens in me, non credit in me, sed in mittentem me.

45 Et spectans me, spectat mittentem me.

46 Ego lux in mundum veni, ut omnis credens in me in tenebris non maneat.

47 Et si quis mea audierit verba, et non crediderit, ego non judico eum. Non enim veni ut judicem mundum, sed ut servem mundum.

48 Rejiciens me et non accipiens verba mea, habet judicantem eum: sermo quem loquutus sum, ille judicabit eum in novissimo die.

49 Quia ego ex meipso non sum loquutus, sed mittens me Pater, ipse mihi mandatum dedit, quid dicam et quid loquar.

50 Et scio quia mandatum

τοῦ ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ πατὴρ, οὕτω λαλῶ.

Κεφ. ιγ'. 13.

1 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς.

2 Καὶ δείπνου γενομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτ, ἵνα αὐτὸν παραδῷ·

3 Εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει,

4 Ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια· καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν·

5 Εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.

6 Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας;

7 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα.

8 Λέγει αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ.

9 Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν.

10 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες.

ejus vita æterna est. Quæ ergo loquor ego, sicut dixit mihi Pater, sic loquor.

CAPUT XIII.

1 ANTE autem diem festum Paschæ, sciens Jesus quia venit ejus hora, ut transiret ex mundo hoc ad Patrem, diligens proprios qui in mundo, in finem dilexit eos.

2 Et cœna facta, diabolo jam jaculato in cor Judæ Simonis Iscariotæ, ut eum traderet:

3 Sciens Jesus quia omnia dedit ei Pater in manus, et quia à Deo exivit, et ad Deum vadit.

4 Surgit à cœna, et ponit vestimenta: et accipiens linteum, præcinxit seipsum.

5 Deinde injicit aquam in pelvim, et cœpit lavare pedes discipulorum, et extergere linteo quo erat præcinctus.

6 Venit ergo ad Simonem Petrum: et dicit ei ille: Domine, tu meos lavas pedes?

7 Respondit Jesus et dixit ei: Quod ego facio, tu nescis modo, scies autem post hæc.

8 Dicit ei Petrus: Non lavabis pedes meos in æternum. Respondit ei Jesus: Si non lavero te, non habes partem cum me.

9 Dicit ei Simon Petrus: Domine, non pedes meos tantum, sed et manus et caput.

10 Dicit ei Jesus: Lotus non opus habet quam pedes lavare, sed est mundus totus: Et vos mundi estis, sed non omnes.

11 Ἤιδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε.

12 Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν, εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν;

13 Ὑμεῖς φωνεῖτέ με, ὁ διδάσκαλος, καὶ ὁ κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ.

14 Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας·

15 Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.

16 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.

17 Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.

18 Οὐ περὶ πάντων ὑμῶν λέγω· Ἐγὼ οἶδα ὃς ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ. " Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ."

19 Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι.

20 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· Ὁ λαμβάνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.

21 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε, καὶ εἶπεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

22 Ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ, ἀπορούμενοι περὶ τίνος λέγει.

23 Ἦν δὲ ἀνακείμενος εἷς τῶν

11 Sciebat enim tradentem se; propter hoc dixit: Non omnes mundi estis.

12 Postquam ergo lavit pedes eorum, et accepit vestimenta sua, recumbens iterum, dixit eis: Scitis quid fecerim vobis?

13 Vos vocatis me: Magister et Dominus: et pulchre dicitis: sum etenim.

14 Si ergo ego lavi vestros pedes, dominus et magister, et vos debetis alii aliorum lavare pedes.

15 Exemplum enim dedi vobis, ut quemadmodum ego feci vobis, et vos faciatis.

16 Amen, amen dico vobis, non est servus major domino suo, neque legatus major mittente illum.

17 Si hæc scitis, beati estis si feceritis ea.

18 Non de omnibus vobis dico: ego scio quos elegerim: Sed ut Scriptura adimpleatur: Manducans cum me panem, levavit contra me calcaneum suum.

19 A modo dico vobis, antequam fiat, ut quum factum fuerit, credatis quia ego sum.

20 Amen, amen dico vobis. accipiens si quem misero, me accipit: at me accipiens, accipit mittentem me.

21 Hæc dicens Jesus turbatus est spiritu, et protestatus est, et dixit: Amen, amen dico vobis, unus ex vobis tradet me.

22 Aspiciebant ergo ad invicem discipuli, hæsitantes de quo diceret.

23 Erat autem recumbens

μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς.

24 Νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει.

25 Ἐπιπεσὼν δὲ ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ· Κύριε, τίς ἐστίν;

26 Ἀποκρίνεται ὁ Ἰησοῦς· Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας τὸ ψωμίον, ἐπιδώσω. Καὶ ἐμβάψας τὸ ψωμίον, δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ·

27 Καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· Ὃ ποιεῖς, ποίησον τάχιον.

28 Τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ·

29 Τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ.

30 Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθεν· ἦν δὲ νύξ ὅτε ἐξῆλθε.

31 Λέγει ὁ Ἰησοῦς· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ·

32 Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν.

33 Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι· ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις· Ὅτι ὅπου ὑπάγω ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· καὶ ὑμῖν λέγω ἄρτι.

34 Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους.

unus discipulorum ejus in sinu Jesu, quem diligebat Jesus.

24 Innuit ergo huic Simon Petrus percontari quis esset de quo dicit.

25 Incumbens autem ille supra pectus Jesu, dicit ei: Domine, quis est?

26 Respondet Jesus: Ille est cui ego intingens buccellam dedero. Et intingens buccellam, dat Judæ Simonis Iscariotæ.

27 Et post buccellam tunc introivit in eum Satanas. Dicit ergo ei Jesus: Quod facis, fac citius.

28 Hoc autem nemo scivit recumbentium ad quid dixerit ei.

29 Quidam enim putabant, quandoquidem marsupium habebat Judas, quod dicit ei Jesus: Eme quorum opus habemus ad festum: aut egenis ut aliquid daret.

30 Accipiens ergo buccellam ille, continuo exivit: erat autem nox.

31 Quum ergo exisset, dicit Jesus: Nunc glorificatus est filius hominis, et Deus glorificatus est in eo.

32 Si Deus glorificatus est in eo, et Deus glorificabit eum in semetipso: et continuo glorificabit eum.

33 Filioli, adhuc modicum cum vobis sum. Quæretis me, et sicut dixi Judæis: Quo vado ego, vos non potestis venire: et vobis dico modo.

34 Mandatum novum do vobis, ut diligatis invicem: sicut dilexi vos, ut et vos diligatis invicem

35 Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

36 Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὅπου ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι.

37 Λέγει αὐτῷ ὁ Πέτρος· Κύριε, διατί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.

38 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; Ἀμὴν, ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς.

35 In hoc cognoscent omnes quia mei discipuli estis, si dilectionem habueritis ad invicem

36 Dicit ei Simon Petrus: Domine, quo vadis? Respondit ei Jesus: Quo ego vado, non potes me modo sequi, postea autem sequeris me.

37 Dicit ei Petrus: Domine, propter quid non possum te sequi modo? Animam meam pro te ponam.

38 Respondit ei Jesus: Animam tuam pro me ponis? Amen, amen dico tibi, non gallus cantabit, donec neges me ter.

Κεφ. ιδ'. 14.

CAPUT XIV.

1 Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε.

2 Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν· πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν.

3 Καὶ ἐὰν πορευθῶ, καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε.

1 NON turbetur vestrum cor: Creditis in Deum, et in me credite.

2 In domo Patris mei mansiones multæ sunt: Si autem non, dixissem vobis; Vado parare locum vobis.

3 Et si abiero, et præparavero vobis locum, iterum venio, et accipiam vos ad meipsum: ut ubi sum ego, et vos sitis.

4 Καὶ ὅπου ἐγὼ ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε.

5 Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;

6 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

7 Εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν, καὶ ἑωράκατε αὐτόν.

8 Λέγει αὐτῷ Φιλιππος· Κύριε,

4 Et quo ego vado scitis, et viam scitis.

5 Dicit ei Thomas: Domine, nescimus quo vadis; et quomodo possumus viam scire?

6 Dicit ei Jesus: Ego sum via, et veritas, et vita. nemo venit ad Patrem, si non per me

7 Si cognovissetis me, et Patrem meum cognovissetis utique, et à modo cognoscitis eum, et vidistis eum.

8 Dicit ei Philippus. Do-

δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.

9 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε ; Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις· Δεῖξον ἡμῖν τὸν πατέρα ;

10 Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι ; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα.

11 Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.

12 Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι,

13 Καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω· ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.

14 Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω.

15 Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε.

16 Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα·

17 Τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν· ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται.

18 Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς.

19 Ἔτι μικρὸν, καὶ ὁ κόσμος με οὐκ ἔτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με· Ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε.

mine, ostende nobis Patrem, et sufficit nobis.

9 Dicit ei Jesus : Tantum tempus cum vobis sum, et non cognovisti me ? Philippe, Videns me, vidit Patrem : Et quomodo tu dicis : Ostende nobis Patrem ?

10 Non credis quia ego in Patre, et Pater in me est ? Verba quæ ego loquor vobis, à meipso non loquor : At Pater in me manens, ipse facit opera.

11 Credite mihi quia ego in Patre, et Pater in me est : Si autem non, propter opera ipsa credite mihi.

12 Amen, amen, dico vobis, credens in me, opera quæ ego facio, et ipse faciet, et majora his faciet : quia ego ad Patrem meum vado.

13 Et quodcumque petieritis in nomine meo, hoc faciam : ut glorificetur Pater in Filio.

14 Si quid petieritis in nomine meo, ego faciam.

15 Si diligitis me, mandata mea servate.

16 Et ego rogabo Patrem, et alium paracletum dabit vobis, ut maneat cum vobis in æternum :

17 Spiritum veritatis, quem mundus non potest accipere : quia non videt eum, nec scit eum : Vos autem cognoscitis eum, quia apud vos manet, et in vobis erit.

18 Non relinquam vos orphanos : venio ad vos.

19 Adhuc modicum, et mundus me non jam videt : Vos autem videtis me : quia ego vivo, et vos vivetis.

20 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν.

21 Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

22 Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν, καὶ οὐχὶ τῷ κόσμῳ;

23 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

24 Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός.

25 Ταῦτα λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων·

26 Ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.

27 Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω.

28 Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς· εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι εἶπον, πορεύομαι πρὸς τὸς πατέρα· ὅτι ὁ πατήρ μου μείζων μου ἐστί.

29 Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα ὅταν γένηται, πιστεύσητε.

30 Οὐκ ἔτι πολλὰ λαλήσω

20 In illo die cognoscetis vos quia ego in Patre meo, et vos in me, et ego in vobis.

21 Habens mandata mea, et servans ea, ille est diligens me: at diligens me diligetur à Patre meo, et ego diligam eum, et manifestabo ei meipsum.

22 Dicit ei Judas, non Iscariotes: Domine, quid factum est quia nobis futurus es manifestare teipsum, et non mundo?

23 Respondit Jesus, et dixit ei: Si quis diligit me, sermonem meum servabit: et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus.

24 Non diligens me, sermones meos non servat: Et sermo quem audistis, non est meus, sed mittentis me Patris.

25 Hæc loquutus sum vobis apud vos manens.

26 At paracletus Spiritus sanctus, quem mittet Pater in nomine meo, ille vos docebit omnia: et suggeret vobis omnia quæ dixi vobis.

27 Pacem relinquo vobis, pacem meam do vobis: non quomodo mundus dat, ego do vobis. Non turbetur vestrum cor, neque formidet.

28 Audistis quia ego dixi vobis: Vado et venio ad vos. Si diligeretis me, gauderetis utique, quia dixi, Vado ad Patrem: quia Pater meus major me est.

29 Et nunc dixi vobis antequam fiat, ut quum factum fuerit, credatis.

30 Non jam multa loquar

μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.

31 Ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πατήρ, οὕτω ποιῶ. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

cum vobis: venit enim hujus mundi princeps, et in me non habet quicquam.

31 Sed ut cognoscat mundus quia diligo Patrem: et sicut mandavit mihi Pater, sic facio. Surgite, eamus hinc.

Κεφ. ιέ. 15.

CAPUT XV.

1 Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι.

1 EGO sum vitis illa vera, et Pater meus agricola est.

2 Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ.

2 Omnem palmitem in me non facientem fructum, tollit eum: et omnem fructum ferentem, purgat eum, ut plerum fructum afferat.

3 Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν.

3 Jam vos mundi estis propter sermonem quem loquutus sum vobis.

4 Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε.

4 Manete in me, et ego in vobis: Sicut palmes non potest fructum ferre à semetipso, si non manserit in vite: sic nec vos, si non in me manseritis.

5 Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

5 Ego sum vitis, vos palmites: manens in me, et ego in eo, hic fert fructum multum: quia sine me non potestis facere quicquam.

6 Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη· καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται.

6 Si non quis manserit in me, ejectus est foras sicut palmes, et exaruit: et colligunt eos, et in ignem mittunt, et ardent.

7 Ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε, αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν.

7 Si manseritis in me, et verba mea in vobis manserint, quodcunque volueritis petetis, et fiet vobis.

8 Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί.

8 In hoc glorificatus est Pater meus, ut fructum plurimum afferatis, et efficiemini mei discipuli.

9 Καθὼς ἠγάπησέ με ὁ πατὴρ,

9 Sicut dilexit me Pater, et

κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.

10 Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

11 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ.

12 Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς·

13 Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

14 Ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.

15 Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν.

16 Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε, καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ,τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν·

17 Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

18 Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν.

19 Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος.

20 Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν

ego dilexi vos: Manete in dilectione mea.

10 Si præcepta mea servaveritis, manebitis in dilectione mea: sicut ego præcepta Patris mei servavi, et maneo ejus in dilectione.

11 Hæc loquutus sum vobis, ut gaudium meum in vobis maneat, et gaudium vestrum impleatur.

12 Hoc est præceptum meum, ut diligatis invicem, sicut dilexi vos.

13 Majorem hac dilectionem nemo habet, ut quis animam suam ponat pro amicis suis.

14 Vos amici mei estis, si feceritis quæ ego præcipio vobis.

15 Non amplius vos dico servos, quia servus nescit quid faciat ejus dominus: Vos autem dixi amicos, quia omnia quæcunque audivi à Patre meo, nota feci vobis.

16 Non vos me elegistis, sed ego elegi vos, et posui vos, ut vos abeatis, et fructum feratis, et fructus vester maneat: ut quodcumque petieritis Patrem in nomine meo, det vobis.

17 Hæc mando vobis, ut diligatis invicem.

18 Si mundus vos odit, scitote quia me priorem vobis odit.

19 Si de mundo fuissetis, mundus proprium amaret: quia vero de mundo non estis, sed ego elegi vos de mundo, propter hoc odit vos mundus.

20 Mementote sermonis quem ego dixi vobis: Non est servus major domino suo. Si me persequuti sunt, et vos per-

λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν.

21 Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με.

22 Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.

23 Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ.

24 Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου.

25 Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· "Ὅτι ἐμίσησάν με δωρεάν."

26 Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.

27 Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

Κεφ. ις'. 16.

1 Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε.

2 Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

3 Καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ.

4 Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην·

sequentur: si sermonem meum servaverunt, et vestrum servabunt.

21 Sed hæc omnia facient vobis propter nomen meum, quia nesciunt mittentem me.

22 Si non venissem, et loquutus fuissem eis, peccatum non haberent: nunc autem excusationem non habent de peccato suo.

23 Me odio habens, et Patrem meum odit.

24 Si opera non fecissem in eis, quæ nemo alius fecit, peccatum non haberent: Nunc autem et viderunt, et oderunt, et me et Patrem meum.

25 Sed ut impleretur sermo scriptus in Lege eorum: oderunt me gratis.

26 Quum autem venerit Paracletus, quem ego mittam vobis à Patre, Spiritum veritatis, qui à Patre procedit, ille testabitur de me.

27 Et vos autem testabimini, quia ab initio cum me estis.

CAPUT XVI.

1 HÆC loquutus sum vobis, ut non scandalizemini.

2 Absque synagogis facient vos: sed venit hora, ut omnis interficiens vos, existimet cultum adferre Deo.

3 Et hæc facient vobis, quia non noverunt Patrem, neque me.

4 Sed hæc loquutus sum vobis, ut quum venerit hora, reminiscamini eorum, quia ego dixi vobis. Hæc autem vobis ex initio non dixi, quia cum vobis eram.

5 Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις;

6 Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς·

8 Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως.

9 Περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ·

10 Περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω, καὶ οὐκ ἔτι θεωρεῖτέ με·

11 Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.

12 Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι·

13 Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν.

14 Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

15 Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον· Ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν.

16 Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα.

17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστι

5 Nunc autem vado ad mittentem me: et nemo ex vobis interrogat me: Quo vadis?

6 Sed quia hæc loquutus sum vobis, tristitia implevit vestrum cor.

7 Sed ego veritatem dico vobis, expedit vobis ut ego vadam: Si enim non abiero, paracletus non veniet ad vos: si autem abiero, mittam eum ad vos.

8 Et veniens ille, arguet mundum de peccato, et de justitia, et de judicio.

9 De peccato quidem, quia non credunt in me:

10 De justitia vero, quia ad Patrem meum vado, et non amplius videbitis me:

11 De autem judicio, quia princeps mundi hujus judicatus est.

12 Adhuc multa habeo dicere vobis, sed non potestis portare modo.

13 Quum autem venerit ille Spiritus veritatis, deducet vos in omnem veritatem: non enim loquetur à semetipso, sed quæcumque audiet, loquetur, et ventura annuntiabit vobis.

14 Ille me glorificabit: quia de meo accipiet, et annunciabit vobis.

15 Omnia quæcumque habet Pater, mea sunt: propter hoc dixi, quia de meo accipit, et annunciabit vobis.

16 Modicum, et non videbitis me: et iterum modicum, et videbitis me, quia vado ad Patrem.

17 Dixerunt ergo ex discipulis ejus ad invicem: Quid

τοῦτο ὃ λέγει ἡμῖν· Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· Καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με· καὶ· Ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα ;

18 Ἔλεγον οὖν· Τοῦτο τί ἐστιν ὃ λέγει, τὸ Μικρόν ; Οὐκ οἴδαμεν τί λαλεῖ.

19 Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον· Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με ;

20 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται.

21 Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.

22 Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν,

23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν.

24 Ἕως ἄρτι οὐκ ἠτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκ ἔτι ἐν παροιμίαις λαλήσω ὑμῖν,

est hoc quod dicit nobis : Modicum, et non videbitis me : et iterum modicum, et videbitis me : et : quia ego vado ad Patrem ?

18 Dicebant ergo : Hoc quid est quod dicit, Modicum ? Nescimus quid loquitur.

19 Cognovit autem Jesus quia volebant eum interrogare, et dixit eis : De hoc quæritis alii cum aliis, quia dixi : Modicum et non videbitis me : et iterum modicum, et videbitis me ?

20 Amen, amen dico vobis, quia flebitis et plorabitis vos, at mundus gaudebit : vos autem contristabimini, sed tristitia vestra in gaudium fiet.

21 Mulier quum parit, tristitiam habet, quia venit hora ejus : quum autem genuerit puerum, non amplius meminit tribulationis propter gaudium, quia genitus est homo in mundum.

22 Et vos igitur tristitiam quidem nunc habetis, iterum autem videbo vos, et gaudebit vestrum cor, et gaudium vestrum nemo tollit à vobis.

23 Et in illo die me non interrogabitis quicquam. Amen, amen dico vobis, quod quæcumque petieritis Patrem in nomine meo, dabit vobis.

24 Usque modo non petiistis quicquam in nomine meo : Petite, et accipietis, ut gaudium vestrum sit plenum.

25 Hæc in proverbiis loquutus sum vobis : sed venit hora quum non amplius in pro-

ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν.

26 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν·

27 Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον.

28 Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν, ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πατέρα.

29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε, νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις.

30 Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες.

31 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε ;

32 Ἰδοὺ, ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος. Ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι.

33 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

verbiis loquar vobis, sed palam de Patre annuntiabo vobis.

26 In illo die in nomine meo petetis : et non dico vobis quia ego rogabo Patrem de vobis.

27 Ipse enim Pater amat vos, quia vos me amastis, et credidistis quia ego à Deo exivi.

28 Exivi à Patre, et veni in mundum : iterum relinquo mundum, et vado ad Patrem.

29 Dicunt ei discipuli ejus Ecce nunc palam loqueris, et proverbium nullum dicis.

30 Nunc scimus quia scis omnia, et non usum habes ut quis te interroget. in hoc credimus quia à Deo existi.

31 Respondit eis Jesus Modo creditis ?

32 Ecce, venit hora, et jam venit, ut dispergamini unus quisque in propria, et me solum relinquatis : et non sum solus, quia Pater cum me est.

33 Hæc loquutus sum vobis, ut in me pacem habeatis. In mundo tribulationem habebitis : sed confidite, ego vici mundum.

Κεφ. ιζ'. 17.

CAPUT XVII.

1 Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε·

1 HÆC loquutus est Jesus, et sustulit oculos suos in cælum, et dixit : Pater, venit hora, glorifica tuum filium, ut et filius tuus glorificet te.

2 Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον.

2 Sicut dedisti ei auctoritatem omnis carnis, ut omne quod dedisti ei, det eis vitam æternam.

3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ,

3 Hæc autem est æterna

ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω·

5 Καὶ νῦν δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ, τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί.

6 Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ τὸν λόγον σου τετηρήκασι.

7 Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι, παρά σου ἐστιν·

8 Ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας.

9 Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι·

10 Καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς.

11 Καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, κἀγὼ πρός σε ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς.

12 Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας· ἵνα ἡ γραφὴ πληρωθῇ·

13 Νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς.

vita, ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum.

4 Ego te glorificavi super terram: opus consummavi quod dedisti mihi ut facerem.

5 Et nunc glorifica me tu Pater apud temetipsum, gloria quam habui ante mundum esse apud te:

6 Manifestavi tuum nomen hominibus quos dedisti mihi de mundo. Tui erant, et mihi eos dedisti: et sermonem tuum servaverunt.

7 Nunc cognoverunt quia omnia quæ dedisti mihi, abs te sunt.

8 Quia verba quæ dedisti mihi, dedi eis: et ipsi acceperunt, et cognoverunt vere quia à te exivi, et crediderunt quia tu me misisti.

9 Ego pro eis rogo: Non pro mundo rogo, sed pro his quos dedisti mihi, quia tui sunt

10 Et mea omnia tua sunt, et tua mea: et clarificatus sum in eis.

11 Et non amplius sum in mundo, et hi in mundo sunt, et ego ad te venio. Pater sancte, serva eos in nomine tuo, quos dedisti mihi, ut sint unum sicut nos.

12 Quum essem cum eis in mundo, ego servabam eos in nomine tuo: Quos dedisti mihi custodivi, et nemo ex eis periit, si non filius perditionis, ut Scriptura impleatur.

13 Nunc autem ad te venio, et hæc loquor in mundo, ut habeant gaudium meum impletum in semetipsis

14 Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.

15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ.

16 Ἐκ τοῦ κόσμου οὐκ εἰσὶ, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί.

17 Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι.

18 Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον,

19 Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ·

21 Ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας.

22 Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἓν ἐσμεν.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας.

24 Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας.

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ

14 Ego dedi eis sermonem tuum, et mundus odio habuit eos, quia non sunt de mundo, sicut ego non sum de mundo.

15 Non rogo ut tollas eos de mundo, sed ut serves eos à malo.

16 De mundo non sunt: sicut ego de mundo non sum.

17 Sanctifica eos in veritate tua: Sermo tuus veritas est.

18 Sicut me misisti in mundum, et ego misi eos in mundum.

19 Et pro eis ego sanctifico meipsum, ut et ipsi sint sanctificati in veritate.

20 Non pro eis autem rogo tantum, sed et pro credituris per verbum eorum in me.

21 Ut omnes unum sint, sicut tu, Pater, in me, et ego in te, ut et ipsi in nobis unum sint: ut mundus credat quia tu me misisti.

22 Et ego gloriam quam dedisti mihi, dedi eis: ut sint unum, sicut nos unum sumus.

23 Ego in eis, et tu in me, ut sint consummati in unum: et ut cognoscat mundus quia tu me misisti, et dilexisti eos, sicut me dilexisti.

24 Pater, quos dedisti mihi, volo ut ubi sum ego, et illi sint cum me: ut videant gloriam meam quam dedisti mihi, quia dilexisti me ante constitutionem mundi.

25 Pater juste, et mundus te non cognovit, ego autem te cognovi, et hi cognoverunt quia tu me misisti.

26 Et notum feci eis nomen

ὄνομά σου, καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

Κεφ. ιή. 18.

1 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

2 Ἤδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ.

3 Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

4 Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε ;

5 Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, μετ' αὐτῶν.

6 Ὡς οὖν εἶπεν αὐτοῖς· Ὅτι ἐγώ εἰμι· ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί.

7 Πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· Τίνα ζητεῖτε ; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον.

8 Ἀπεκρίθη ὁ Ἰησους· Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι. Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν.

9 Ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν· Ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

10 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος.

tuum, et notum faciam : ut dilectio qua dilexisti me, in ipsis sit, et ego in ipsis.

CAPUT XVIII.

1 HÆC dicens Jesus egressus est cum discipulis suis trans torrentem Cedron, ubi erat hortus, in quem introivit ipse, et discipuli ejus.

2 Sciebat autem et Judas, tradens eum, locum, quia frequenter convenerat Jesus illuc cum discipulis suis.

3 Ergo Judas accipiens cohortem, et ex principibus Sacerdotum et Pharisæis ministros, venit illuc cum laternis et facibus, et armis.

4 Jesus itaque sciens omnia ventura super se, exiens dixit eis : Quem quæritis ?

5 Responderunt ei : Jesum Nazarenum. Dicit eis Jesus : Ego sum. Stabat autem et Judas ille tradens eum cum ipsis.

6 Ut ergo dixit eis : Ego sum, abierunt in ea quæ post, et ceciderunt humi.

7 Iterum ergo eos interrogavit : Quem quæritis ? At dixerunt : Jesum Nazarenum.

8 Respondit Jesus : Dixi vobis, quia ego sum. Si ergo me quæritis, sinite hos abire.

9 Ut impleretur sermo quem dixit : Quia quos dedisti mihi, non perdidi ex eis quemquam.

10 Simon ergo Petrus habens gladium, eduxit eum, et percussit principis Sacerdotum servum, et abscidit ejus auriculam dexteram : Erat autem nomen servo Malchus.

11 Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατὴρ, οὐ μὴ πίω αὐτό;

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτὸν,

13 Καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου·

14 Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ.

15 Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ ἄλλος μαθητής· ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

16 Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω· ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον.

17 Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμί.

18 Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται, ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ.

20 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ, καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν·

11 Dixit ergo Jesus Petro: Injice gladium tuum in vaginam: Calicem quem dedit mihi Pater, non bibam illum?

12 Ergo cohors et tribunus, et ministri Judæorum comprehenderunt Jesum, et ligaverunt eum.

13 Et adduxerunt eum ad Annam primum: erat enim socer Cajaphæ, qui erat princeps Sacerdotum anni illius.

14 Erat autem Cajaphas ille confulens Judæis, quia expedit unum hominem perire pro populo.

15 Sequebatur autem Jesum Simon Petrus, et alius discipulus. At discipulus ille erat notus principi Sacerdotum, et simul introivit Jesu in atrium principis Sacerdotum.

16 At Petrus stabat ad ostium foris: Exivit ergo discipulus alius, qui erat notus principi Sacerdotum, et dixit ostiariæ, et introduxit Petrum.

17 Dicit ergo ancilla ostiaria Petro: Nunquid et tu ex discipulis es hominis istius? Dicit ille: Non sum.

18 Stabant autem servi et ministri prunam facientes, quia frigus erat, et calefaciebant se: erat autem cum eis Petrus stans et calefaciens se.

19 Ergo princeps Sacerdotum interrogavit Jesum de discipulis suis, et de doctrina ejus.

20 Respondit ei Jesus: Ego palam loquutus sum mundo: ego semper docui in synagoga et in templo, quo undique Judæi conveniunt, et in occulto loquutus sum nihil.

21 Τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.

22 Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπών· Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ;

23 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

24 Ἀπέστειλεν αὐτὸν ὁ Ἅννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.

25 Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος· εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν· Οὐκ εἰμί.

26 Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ;

27 Πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.

28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

29 Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου;

30 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.

31 Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν.

21 Quid me interrogas? Interroga audientes, quid loquutus sim ipsis: ecce hi sciunt quæ dixerim ego.

22 Hæc autem eo dicente, unus ministrorum assistens dedit alapam Jesu, dicens: Sic respondes principi Sacerdotum?

23 Respondit ei Jesus: Si male loquutus sum, testare de malo: si autem bene, quid me cædis?

24 Misit igitur eum Annas ligatum ad Cajapham principem Sacerdotum.

25 Erat autem Simon Petrus stans, et calefaciens se. Dixerunt ergo ei: Num et tu ex discipulis ejus es? Negavit ille, et dixit: Non sum.

26 Dicit unus ex servis principis Sacerdotum, cognatus existens cujus absciderat Petrus auriculam: Non ego te vidi in horto cum illo?

27 Iterum ergo negavit Petrus, et statim gallus cantavit.

28 Adducunt ergo Jesum à Cajapha in prætorium; erat autem mane: et ipsi non introierunt in prætorium, ut non contaminarentur, sed ut manducarent Pascha.

29 Exivit ergo Pilatus ad eos, et dixit: Quam accusationem affertis adversus hominem hunc?

30 Responderunt et dixerunt ei: Si non esset hic malefactor, non utique tibi tradidissemus eum.

31 Dixit ergo eis Pilatus: Accipite eum vos, et secundum legem vestram judicate eum

Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα.

32 Ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

33 Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων ;

34 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ ;

35 Ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι ; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκαν σε ἐμοί· τί ἐποίησας ;

36 Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.

37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

38 Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια ; Καὶ τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

39 Ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων ;

40 Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς ληστής.

Dixerunt ergo ei Judæi : Nobis non licet interficere quem quam.

32 Ut sermo Jesu impleretur, quem dixit, significans quâ morte futurus esset mori.

33 Introivit ergo in prætorium iterum Pilatus, et vocavit Jesum, et dixit ei : Tu es rex Judæorum ?

34 Respondit ei Jesus : A temetipso tu hoc dicis, an alii tibi dixerunt de me ?

35 Respondit Pilatus : Numquid ego Judæus sum ? Gens tua et principes Sacerdotum tradiderunt te mihi : quid fecisti ?

36 Respondit Jesus : Regnum meum non est de mundo hoc : si ex mundo hoc esset regnum meum, ministri utique mei decertarent, ut non traderer Judæis : nunc autem regnum meum non est hinc.

37 Dixit itaque ei Pilatus : Num ergo rex es tu ? Respondit Jesus : Tu dicis, quia rex sum ego : Ego in hoc natus sum, et ad hoc veni in mundum, ut tester veritati : omnis existens ex veritate, audit meam vocem.

38 Dicit ei Pilatus : Quid est veritas ? Et hoc dicens, iterum exivit ad Judæos, et dicit eis : Ego nullam causam invenio in eo.

39 Est autem consuetudo vobis, ut unum vobis absolvam in Pascha vultis ergo vobis absolvam regem Judæorum ?

40 Clamaverunt ergo rursum omnes, dicentes : Non hunc, sed Barabbam : Erat autem Barabbas latro.

Κεφ. ιθ'. 19.

1 Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε.

2 Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν·

3 Καὶ ἔλεγον· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα.

4 Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω.

5 Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος.

6 Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

7 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀπυθανεῖν, ὅτι ἑαυτὸν υἱὸν Θεοῦ ἐποίησεν.

8 Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη·

9 Καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; Οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;

CAPUT XIX.

1 TUNC ergo accepit Pilatus Jesum, et flagellavit.

2 Et milites plectentes coronam de spinis, imposuerunt ejus capiti: et veste purpurea amicierunt eum.

3 Et dicebant: Gaude rex Judæorum: et dabant ei alapas.

4 Exivit ergo iterum foras Pilatus, et dicit eis: Ecce adduco vobis eum foras, ut cognoscatis, quia in eo nullam causam invenio.

5 Exivit ergo Jesus foras, portans spineam coronam, et purpureum vestimentum. Et dicit eis: Ecce homo.

6 Quum ergo vidissent eum principes Sacerdotum et ministri, clamaverunt, dicentes: Crucifige, crucifige eum. Dicit eis Pilatus: Accipite eum vos, et crucifigite: ego enim non invenio in eo causam.

7 Responderunt ei Judæi. Nos legem habemus, et secundum legem nostram debet mori, quia se ipsum Filium Dei fecit.

8 Quum ergo audisset Pilatus hunc sermonem, magis timuit.

9 Et ingressus est in prætorium iterum, et dicit Jesu: Unde es tu? At Jesus responsum non dedit ei.

10 Dicit ergo ei Pilatus: Mihi non loqueris? Nescis quia auctoritatem habeo crucifigere te, et auctoritatem habeo absolvere te?

11 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς με σοὶ, μείζονα ἁμαρτίαν ἔχει.

11 Respondit Jesus : Non haberes auctoritatem ullam adversum me, si non esset tibi datum desuper. Propter hoc tradens me tibi majus peccatum habet.

12 Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι.

12 Ex hoc quærebat Pilatus absolvere eum : At Judæi clamabant, dicentes : Si hunc absolveris, non es amicus Cæsaris : omnis regem seipsum faciens, contradicit Cæsari.

13 Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβρα�ϊστὶ δὲ Γαββαθᾶ.

13 Ergo Pilatus audiens hunc sermonem, adduxit foras Jesum, et sedit pro tribunali, in locum dictum Lithostrotum, Hebraice autem Gabbatha.

14 Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν·

14 Erat autem parasceve Paschæ, hora autem quasi sexta : et dicit Judæis : Ecce rex vester.

15 Οἱ δὲ ἐκραύγασαν· Ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω ; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

15 Illi autem clamabant : Tolle, tolle, crucifige eum. Dicit eis Pilatus : Regem vestrum crucifigam ? Responderunt principes Sacerdotum. Non habemus regem, si non Cæsarem.

16 Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον.

16 Tunc ergo tradidit illum eis ut crucifigeretur. Acceperunt autem Jesum et abduxerunt.

17 Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβρα�ϊστὶ Γολγοθᾶ·

17 Et portans crucem suam exivit in dictum Calvariæ locum, qui dicitur Hebraice Golgotha.

18 Ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

18 Ubi eum crucifixerunt, et cum eo alios duos, hinc et hinc, medium autem Jesum.

19 Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

19 Scripsit autem et titulum Pilatus, et posuit super crucem. Erat autem scriptum JESUS NAZARENUS REX JUDÆORUM.

20 Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί.

20 Hunc ergo titulum multi legerunt Judæorum: quia prope erat locus civitatem ubi crucifixus est Jesus. Et erat scriptum Hebraice, Græce, Romane.

21 Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν Ἰουδαίων.

21 Dicebant ergo Pilato principes Sacerdotum Judæorum: Ne scribe: Rex Judæorum: sed quia ipse dixit: Rex sum Judæorum.

22 Ἀπεκρίθη ὁ Πιλάτος· Ὃ γέγραφα, γέγραφα.

22 Respondit Pilatus: Quod scripsi, scripsi.

23 Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς ὅλου·

23 Ergo milites quum crucifixissent Jesum, acceperunt vestimenta ejus, et fecerunt quatuor partes, unicuique militi partem, et tunicam: Erat autem tunica inconsutilis, ex iis quæ desuper contexta per totum.

24 Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· "Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον·" Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

24 Dixerunt ergo ad invicem: Non scindamus eam, sed sortiamur de illa, cujus erit. Ut scriptura impleretur, dicens: Partiti sunt vestimenta mea sibi ipsis, et super vestem meam miserunt sortem. Illi quidem igitur milites hæc fecerunt.

25 Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή·

25 Stabant autem juxta crucem Jesu mater ejus et soror matris ejus, Maria Cleopæ, et Maria Magdalene.

26 Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου.

26 Jesus ergo videns matrem et discipulum adstantem, quem diligebat, dicit matri suæ: Mulier, ecce filius tuus.

27 Εἶτα λέγει τῷ μαθητῇ· Ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς ἐκεῖνος εἰς τὰ ἴδια.

27 Deinde dicit discipulo: Ecce mater tua. Et ex illa hora accepit eam discipulus ille in propria.

28 Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς

28 Post hoc sciens Jesus

ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ.

29 Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι.

30 Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα.

31 Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου, ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθωσιν.

32 Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ.

33 Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη·

34 Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

35 Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε.

36 Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γραφὴ πληρωθῇ· "Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ."

37 Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· "Ὄψονται εἰς ὃν ἐξεκέντησαν."

38 Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ

quia omnia jam consummata sunt, ut consummaretur scriptura, dicit: Sitio.

29 Vas ergo erat positum aceto plenum illi vero implentes spongiam aceto, et hysopo circumponentes, obtulerunt ejus ori.

30 Quum ergo accepisset acetum Jesus, dixit: Consummatum est: Et inclinans caput tradidit spiritum.

31 Ergo Judæi, ut non remanerent in cruce corpora in Sabbato, quoniam Parasceve erat, erat enim magnus dies ille Sabbati, rogaverunt Pilatum ut frangerentur eorum crura, et tollerentur.

32 Venerunt ergo milites, et quidem primi fregerunt crura: et alterius concrucifixi ei.

33 Ad autem Jesum venientes, ut viderunt eum jam mortuum, non fregerunt ejus crura.

34 Sed unus militum lancea ejus latus fodit, et continuo exivit sanguis et aqua.

35 Et videns testificavit, et verum est testimonium ejus: Et ille scit quia vera dicit, ut vos credatis.

36 Facta sunt enim hæc ut Scriptura impleretur: Os non comminuetur ejus.

37 Et iterum alia Scriptura dicit: Videbunt in quem transfixerunt.

38 Post hæc rogavit Pilatum Joseph ab Arimathæa, existens discipulus Jesu, occultus autem propter metum Judæorum, ut tolleret corpus Jesu: et per

Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος· ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ.

39 Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν.

40 Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.

41 Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη·

42 Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

misit Pilatus: Venit ergo et tulit corpus Jesu.

39 Venit autem et Nicodemus, ille veniens ad Jesum nocte primum, ferens mixturam myrrhæ et aloës, quasi libras centum.

40 Acceperunt ergo corpus Jesu, et ligaverunt illud linteis cum aromatibus, sicut mos est Judæis sepelire.

41 Erat autem in loco, ubi crucifixus est, hortus, et in horto monumentum novum, in quo nondum quisquam positus erat.

42 Ibi ergo propter Parasceven Judæorum, quia juxta erat monumentum, posuerunt Jesum.

Κεφ. κ'. 20.

1 Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

2 Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν.

3 Ἐξῆλθεν οὖν ὁ Πέτρος, καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

4 Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον,

5 Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν.

6 Ἔρχεται οὖν Σίμων Πέτρος

CAPUT XX.

1 AT una Sabbatorum Maria Magdalene venit mane, tenebris adhuc existentibus, ad monumentum: et videt lapidem sublatum ex monumento.

2 Currit ergo et venit ad Simonem Petrum, et ad alium discipulum, quem diligebat Jesus: et dicit illis: Tulerunt Dominum de monumento, et nescimus ubi posuerunt eum.

3 Exiit ergo Petrus et alius discipulus, et venerunt ad monumentum.

4 Currebant autem duo simul, et alius discipulus præcucurrit citius Petro, et venit primus ad monumentum.

5 Et inclinatus videt posita linteamina: non tamen introivit.

6 Venit ergo Simon Petrus

ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα,

7 Καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον.

8 Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν.

9 Οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.

10 Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

11 Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω· ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον,

12 Καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.

13 Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.

14 Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι.

15 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; Τίνα ζητεῖς; Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ αὐτὸν ἔθηκας, κἀγὼ αὐτὸν ἀρῶ.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη λέγει αὐτῷ· Ῥαββουνί, ὃ λέγεται, διδάσκαλε.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα

sequens eum, et introivit in monumentum, et conspicit linteamina posita,

7 Et sudarium quod fuerat super caput ejus, non cum linteaminibus positum, sed seorsum involutum in unum locum.

8 Tunc ergo introivit et ille alius discipulus veniens primus ad monumentum, et vidit, et credidit.

9 Nondum enim sciebant Scripturam, quia oportet eum ex mortuis resurgere.

10 Abierunt ergo iterum ad semetipsos discipuli.

11 Maria autem stabat ad monumentum plorans foris. Dum ergo fleret, inclinavit se in monumentum.

12 Et vidit duos angelos in albis sedentes, unum ad caput, et unum ad pedes, ubi positum fuerat corpus Jesu.

13 Et dicunt ei illi: Mulier, quid ploras? Dicit eis: Quia tulerunt Dominum meum, et nescio ubi posuerunt eum.

14 Et hæc loquuta, conversa est in ea quæ post, et vidit Jesum stantem, et non sciebat quia Jesus est.

15 Dicit ei Jesus: Mulier, quid ploras? Quem quæris? Illa, existimans quia hortulanus est, dicit ei: Domine, si tu sustulisti eum, dicito mihi ubi posuisti eum: et ego eum tollam.

16 Dicit ei Jesus: Maria Conversa illa dicit ei: Rabbuni, quod dicitur, Magister.

17 Dicit ei Jesus: Ne me tange: nondum enim ascendi

πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

20 Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ· ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

21 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς.

22 Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε πνεῦμα ἅγιον.

23 Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς· ἂν τινων κρατῆτε, κεκράτηνται.

24 Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς·

25 Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον· Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰη-

ad Patrem meum : vade autem ad fratres meos, et dic eis : Ascendo ad Patrem meum et Patrem vestrum, et Deum meum et Deum vestrum.

18 Venit Maria Magdalena annuntians discipulis, Quia vidit Dominum, et hæc dixit ei.

19 Existente ergo vespere die illo una Sabbatorum, et foribus clausis, ubi erant discipuli congregati propter metum Judæorum, venit Jesus, et stetit in medium, et dicit eis : Pax vobis.

20 Et hoc dicens ostendit eis manus et latus suum. Gavisi sunt ergo discipuli videntes Dominum.

21 Dixit ergo eis Jesus iterum : Pax vobis : sicut misit me Pater, et ego mitto vos.

22 Et hoc dicens, insufflavit, et dicit eis : Accipite Spiritum sanctum.

23 Quorum remiseritis peccata, remittuntur eis : Quorum retinueritis, retenta sunt.

24 Thomas autem, unus ex duodecim, dictus Didymus, non erat cum eis quando venit Jesus.

25 Dixerunt ergo ei allii discipuli : Vidimus Dominum. Ille autem dixit eis : Si non videro in manibus ejus vestigium clavorum, et mittam digitum meum in vestigium clavorum, et mittam manum meam in latus ejus, non credam.

26 Et post dies octo iterum erant intus discipuli ejus, et Thomas cum eis. Venit Jesus

σοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν.

27 Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

28 Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου.

29 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, Θωμᾶ, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

31 Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

januis clausis, et stetit in medio, et dexit: Pax vobis.

27 Deinde dicit Thomas infer digitum tuum huc, et vide manus meas: et affer manum tuam, et mitte in latus meum: et ne fias incredulus, sed credens.

28 Et respondit Thomas, et dixit ei: Dominus meus, et Deus meus.

29 Dicit ei Jesus: Quia vidisti me, Thoma, credidisti: beati, non videntes, et credentes.

30 Multa quidem igitur et alia signa fecit Jusus in conspectu discipulorum suorum, quæ non sunt scripta in libro hoc.

31 Hæc autem scripta sunt, ut credatis quia Jesus est Christus Filius Dei: et ut credentes vitam habeatis in nomine ejus.

Κεφ. κά. 21.

CAPUT XXI.

1 Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐφανέρωσε δὲ οὕτως.

2 Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

3 Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί· ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

4 Πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέν-

1 POST hæc manifestavit seipsum iterum Jesus discipulis ad mare Tiberiadis: Manifestavit autem sic.

2 Erant simul Simon Petrus, et Thomas dictus Didymus, et Nathanaël à Cana Galilææ, et filii Zebedæi, et alii ex discipulis ejus duo.

3 Dicit eis Simon Petrus: Vado piscari. Dicunt ei: Venimus et nos cum te. Exierunt, et ascenderunt in navigium statim, et in illa nocte prendiderunt nihil.

4 Mane autem jam facto stetit Jesus in litore non tamen

τοι ἤδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι.

5 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· Οὔ.

6 Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκῦσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο· ἦν γὰρ γυμνὸς, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν·

8 Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

9 Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον.

10 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν.

11 Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν· Σὺ τίς εἶ; Εἰδότες ὅτι ὁ Κύριός ἐστιν.

13 Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.

14 Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

cognoverunt discipuli quia Jesus est.

5 Dicit ergo eis Jesus : Pueri, numquid pulmentarium habetis? Responderunt ei : Non.

6 Ille autem dixit eis : Jacite in dexteras partes navigii rete, et invenietis. Jecerunt ergo, et non jam illud trahere valebant à multitudine piscium.

7 Dicit ergo discipulus ille, quem diligebat Jesus, Petro : Dominus est. Simon ergo Petrus audiens quia Dominus est, amiculum succinxit, erat enim nudus, et misit seipsum in mare.

8 At alii discipuli navigio venerunt, non enim erant longè à terra, sed quasi à cubitis ducentis, trahentes rete piscium.

9 Ut ergo descenderunt in terram, conspiciunt prunas positas, et piscem superpositum, et panem.

10 Dicit eis Jesus : Afferte à piscibus quos prendidistis nunc.

11 Ascendit Simon Petrus, et traxit rete in terram, plenum piscibus magnis centum quinquaginta tribus : Et tot existentibus non scissum est rete.

12 Dicit eis Jesus : Venite, prandete. Nemo autem audebat discipulorum interrogare eum : Tu quis es? Scientes quia Dominus est.

13 Venit ergo Jesus, et accipit panem, et dat eis, et piscem similiter.

14 Hoc jam tertio manifestatus est Jesus discipulis suis excitatus ex mortuis.

15 Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου.

16 Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου.

17 Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· Φιλεῖς με; Καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου·

18 Ἀμὴν, ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις.

19 Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν· καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ· Ἀκολούθει μοι.

20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστὶν ὁ παραδιδούς σε;

21 Τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; Σὺ ἀκολούθει μοι.

23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθ-

15 Quum ergo prandissent, dicit Simoni Petro Jesus: Simon Jona, diligis me plus his? Dicit ei: Etiam Domine: tu scis quia amo te. Dicit ei: Pasce agnos meos.

16 Dicit ei iterum secundo: Simon Jona, diligis me? Ait illi: Etiam Domine: tu scis quia amo te. Dicit ei: Pasce oves meas.

17 Dicit ei tertio: Simon Jona, amas me? Contristatus est Petrus, quia dixit ei tertio: Amas me? Et dixit ei: Domine, tu omnia scis: tu cognoscis quia amo te. Dicit ei Jesus: Pasce oves meas.

18 Amen, amen dico tibi, quum esses junior, cingebas teipsum, et ambulabas, ubi volebas: quum autem senueris, extendes manus tuas, et alius te cinget, et feret quo non vis.

19 Hoc autem dixit, significans qua morte glorificaturus esset Deum. Et hoc effatus, dicit ei: Sequere me.

20 Conversus autem Petrus conspicit discipulum quem diligebat Jesus, sequentem, qui et recubuerat in cœna super pectus ejus, et dixerat: Domine, quis est tradens te?

21 Hunc videns Petrus, dicit Jesu: Domine, hic autem quid?

22 Dicit ei Jesus: Si eum volo manere donec veniam, quid ad te? Tu sequere me.

23 Exivit ergo sermo iste ad fratres, quia discipulus ille non moritur. Et non dixit ei Jesus non moritur: sed, Si eum volo

νήσχει ἀλλ, Ἐὰν αὐτὸν θέλω μένειν ἑως ἔρχομαι, τί πρός σε ;

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.

25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

manere donec veniam, quid ad te ?

24 Hic est discipulus testificans de his, et scribens hæc : et scimus quia verum est testimonium ejus.

25 Sunt autem et alia multa quæcumque fecit Jesus, quæ si scribantur ad unum, nec ipsum arbitror mundum capere scriptos libros. Amen.

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Κεφ. ά. 1.

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,

2 Ἄχρι ἧς ἡμέρας ἐνετειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη·

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ·

4 Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου·

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν

ACTA SANCTORUM APOSTOLORUM.

CAPUT I.

1 ILLUM quidem primum sermonem feci de omnibus, ô Theophile, quæ cœpit Jesus facereque et docere,

2 Usque qua die præcipiens Apostolis per Spiritum sanctum, quos elegerat, receptus est :

3 Quibus et præbuit seipsum vivum post pati ipsum, in multis signis, per dies quadraginta conspectus eis, et dicens quæ de regno Dei.

4 Et congregans denuntiavit eis ab Hierosolymis non discedere : sed expectare promissionem Patris, quam audistis me.

5 Quia Joannes quidem bap

ἐν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

6 Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ ;

7 Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ·

8 Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

9 Καὶ ταῦτα εἰπὼν, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ·

11 Οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν ; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναλημφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ, σαββάτου ἔχον ὁδόν.

13 Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, οὗ ἦσαν καταμένοντες ὅ,τε Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου·

14 Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶ, καὶ Μαtizavit aqua, vos autem baptizabimini in Spiritu sancto non post multos hos dies.

6 Qui quidem igitur convenientes interrogabant eum, dicentes : Domine, si in tempore hoc restituis regnum Israëli ?

7 Dixit autem ad eos : Non vestrum est nosse tempora vel opportunitates, quæ Pater posuit in propria auctoritate.

8 Sed accipietis virtutem supervenientis sancti Spiritus in vos, et eritis mihi testes inque Hierusalem, et in omni Judæa et Samaria, et usque ad ultimum terræ.

9 Et hæc dicens videntibus illis elevatus est, et nubes suscepit eum ab oculis eorum.

10 Et ut attendentes erant in cælum, eunte eo, et ecce viri duo astiterunt eis in vestitu albo.

11 Qui et dixerunt : Viri Galilæi, quid statis aspicientes in cælum ? Hic Jesus receptus à vobis in cælum, sic veniet quemadmodum vidistis eum euntem in cælum.

12 Tunc reversi sunt in Hierusalem à monte vocato Oliveti : qui est prope Hierusalem, Sabbati habens iter.

13 Et quum introissent, ascenderunt in cœnaculum, ubi erant manentes Petrus et Jacobus, et Joannes, et Andreas, Philippus et Thomas, Bartholomæus et Matthæus, Jacobus Alphæi et Simon Zelotes, et Judas Jacobi.

14 Hi omnes erant perseverantes concorditer oratione et deprecatione, cum mulieribus,

ρία τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν· ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν.

et Maria matre Jesu, et cum fratribus ejus.

15 Et in diebus illis exurgens Petrus in medio discipulorum, dixit : eratque turba nominum in idipsum, quasi centum viginti.

16 Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ, περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν,

16 Viri fratres, oportebat impleri Scripturam hanc, quam prædixit Spiritus sanctus per os David, de Juda facto duce viæ comprehendentibus Jesum :

17 Ὅτι καληριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

17 Quia adnumeratus erat cum nobis, et sortitus est sortem ministerii hujus.

18 Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ τῆς ἀδικίας· καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ·

18 Hic quidem igitur acquisivit agrum de mercede injustitiæ : et præceps factus crepuit medius, et effusa sunt omnia viscera ejus.

19 Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμὰ, τουτέστι, χωρίον αἵματος.

19 Et notum factum est omnibus habitantibus Hierusalem, ita ut vocari agrum illum proprio idiomate eorum, Haceldama, hoc est, Ager sanguinis.

20 Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· "Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. Καί· Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος."

20 Scriptum est enim in libro Psalmorum : Fiat commoratio ejus deserta, et non sit habitans in ea. Et : Episcopatum ejus accipiat alter.

21 Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς,

21 Oportet ergo convenientium nobis virorum in omni tempore, in quo intravit et exivit ad nos Dominus Jesus,

22 Ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων.

22 Incipiens à baptismate Joannis, usque in diem qua receptus est à nobis, testem resurrectionis ejus fieri cum nobis unum horum.

23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν.

23 Et statuerunt duos, Joseph vocatum Barsabam, qui cognominatus est Justus, et Matthiam.

24 Καὶ προσευξάμενοι εἶπον·

24 Et orantes dixerunt : Tu

Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων τῶν δύο, ἕνα, ὃν ἐξελέξω,

25 Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας, πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.

26 Καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

Domine cordium cognitor omnium, ostende ex his duobus unum, quem elegeris,

25 Accipere sortem ministerii hujus et apostolatus, de quo aberravit Judas, abire in locum proprium.

26 Et dederunt sortes eorum, et cecidit sors super Matthiam: et connumeratus est cum undecim Apostolis

Κεφ. Β'. 2.

1 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό·

2 Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι,

3 Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν.

4 Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.

5 Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη· ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

7 Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;

8 Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν;

CAPUT II.

1 ET in compleri diem Pentecostes, erant omnes unanimiter in eodem:

2 Et factus est repente de cælo sonus tanquam ruentis flatus violenti, et replevit totam domum ubi erant sedentes.

3 Et visæ sunt illis dispertitæ linguæ tanquam ignis, seditque supra unumquemque eorum:

4 Et repleti sunt omnes Spiritu sancto, et cœperunt loqui aliis linguis, prout Spiritus dabat illis eloqui.

5 Erant autem in Hierusalem habitantes Judæi, viri religiosi, ab omni gente eorum qui sub cælo.

6 Facta autem voce hac, convenit multitudo, et confusa est: quoniam audiebat unusquisque proprio idiomate loquentes illos.

7 Stupebant autem omnes et mirabantur, dicentes ad invicem: Nonne ecce omnes isti sunt loquentes Galilæi?

8 Et quomodo nos audimus unusquisque proprio idiomate nostro in quo nati sumus?

9 Παρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

12 Ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· Τί ἂν θέλοι τοῦτο εἶναι;

13 Ἕτεροι δὲ χλευάζοντες ἔλεγον· Ὅτι γλεύκους μεμεστωμένοι εἰσί.

14 Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἰερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου·

15 Οὐ γὰρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας·

16 Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ.

17 "Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται.

18 Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι·

19 Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς

9 Parthi et Medi et Elamitæ, et habitantes Mesopotamiam, Judæamque et Cappadociam, Pontum et Asiam,

10 Phrygiamque et Pamphyliam, Ægyptum, et partes Libyæ secundum Cyrenen, et advenæ Romani, Judæique et proselyti,

11 Cretes et Arabes, audimus loquentes eos nostris linguis magnalia Dei.

12 Stupebant autem omnes et hæsitabant, alius ad alium dicentes: Quidnam vult hoc esse?

13 Alii autem cavillantes dicebant: Quia musto pleni sunt.

14 Stans autem Petrus cum undecim, sustulit vocem suam, et loquutus est eis: Viri Judæi, et habitantes Hierusalem universi, hoc vobis notum sit, et auribus percipite verba mea.

15 Non enim, sicut vos æstimatis, hi ebrii sunt: est enim hora tertia diei:

16 Sed hoc est dictum per prophetam Joël:

17 Et erit in novissimis diebus, dicit Deus, effundam de Spiritu meo super omnem carnem: et prophetabunt filii vestri et filiæ vestræ, et juvenes vestri visiones videbunt, et seniores vestri somnia somniabunt.

18 Atque super servos meos, et super ancillas meas in diebus illis effundam de Spiritu meo, et prophetabunt.

19 Et dabo prodigia in cælo sursum, et signa in terra deor-

γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ.

20 Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

21 Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.”

22 “Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς, δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι’ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε,

23 Τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε·

24 Ὃν ὁ Θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ Ἅιδου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ’ αὐτοῦ.

25 Δαβὶδ γὰρ λέγει εἰς αὐτόν· “Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.

26 Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ’ ἐλπίδι·

27 Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

28 Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.”

29 “Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐ-

sum, sanguinem et ignem et vaporem fumi.

20 Sol convertetur in tenebras, et Luna in sanguinem, antequam venire diem Domini illam magnam et illustrem.

21 Et erit, omnis quicumque invocabit nomen Domini, salvus erit.

22 Viri Israëlitæ, audite verba hæc: Jesum Nazarenum, virum à Deo approbatum in vobis virtutibus et prodigiis et signis quæ fecit per illum Deus in medio vestri, sicut et ipsi scitis,

23 Hunc definito consilio et præscientia Dei expositum accipientes, per manus exlegum, affigentes interemistis:

24 Quem Deus resuscitavit, solvens dolores mortis, juxta quod non erat possibile teneri illum ab eo.

25 David enim dicit in eum. Providebam Dominum in conspectu meo semper, quoniam ex dextris meis est, ut ne concutiar.

26 Propter hoc lætatum est cor meum, et exultavit lingua mea: insuper vero et caro mea requiescet in spe.

27 Quoniam non derelinques animam meam in inferno, nec dabis sanctum tuum videre corruptionem.

28 Notas fecisti mihi vias vitæ: replebis me jucunditate cum facie tua.

29 Viri fratres, liceat dicere cum libertate ad vos de patriarcha David, quoniam et defunctus est, et sepultus est, et

τοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ·

31 προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.

32 Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.

33 Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ πνεύματος τοῦ ἁγίου λαβὼν παρὰ τοῦ πατρὸς, ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε, καὶ ἀκούετε.

34 Οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς· λέγει δὲ αὐτός· "Εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου,

35 Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου."

36 Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

37 Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί ποιήσομεν, ἄνδρες ἀδελφοί;

38 Πέτρος δὲ ἔφη πρὸς αὐτούς· Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος·

39 Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι

sepulchrum ejus est in nobis usque diem hanc.

30 Propheta igitur existens, et sciens quia jure jurando jurasset illi Deus, de fructu lumbi ejus secundum carnem resuscitaturum Christum, ut collocaret super throno ejus,

31 Providens loquutus est de resurrectione Christi, quia non derelicta est anima ejus in inferno, neque caro ejus vidit corruptionem.

32 Hunc Jesum resuscitavit Deus, cujus omnes nos sumus testes.

33 Dextera igitur Dei exaltatus, et promissionem sancti Spiritus accipiens à Patre, effudit hunc quem nunc vos videtis et auditis.

34 Non enim David ascendit in cælum: dicit autem ipse: Dixit Dominus Domino meo: Sede ex dextris meis,

35 Donec ponam inimicos tuos scabellum pedum tuorum.

36 Certo ergo cognoscat omnis domus Israël, quia Dominum et Christum eum Deus fecit, hunc Jesum quem vos crucifixistis.

37 Audientes autem compuncti sunt corde, dixeruntque ad Petrum et reliquos Apostolos: Quid faciemus, viri fratres?

38 Petrus vero ait ad illos: Pœnitemini, et baptizetur unusquisque vestrum in nomine Jesu Christi in remissionem peccatorum: et accipietis donum sancti spiritus.

39 Vobis enim est repromissio et filiis vestris, et omni-

τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο, καὶ παρεκάλει, λέγων· Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

41 Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

42 Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ ταῖς προσευχαῖς.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· Πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο.

44 Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά·

45 Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχε.

46 Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας,

47 Αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

bus qui in longe, quoscumque advocaverit Dominus Deus noster.

40 Aliisque verbis plurimis obtestabatur et exhortabatur, dicens: Salvamini à generatione prava ista.

41 Qui quidem ergo libenter recipientes sermonem ejus, baptizati sunt: et appositæ sunt die illa animæ circiter tria millia.

42 Erant autem perseverantes in doctrina Apostolorum, et communicatione et fractione panis, et orationibus.

43 Fiebat autem omni animæ timor: multaque prodigia et signa per Apostolos fiebant.

44 Omnes autem credentes erant in idem, et habebant omnia communia.

45 Et possessiones et facultates vendebant, et dividebant illa omnibus, prout quis opus habebat.

46 Per diem quoque perdurantes unanimiter in templo, frangentesque per domum panem, sumebant alimentum in exultatione et simplicitate cordis,

47 Laudantes Deum, et habentes gratiam ad omnem plebem. At Dominus apponebat eos qui salvi fiebant per diem ecclesiæ.

Κεφ. γ'. 3.

1 Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην·

2 Καί τις ἀνὴρ χωλὸς ἐκ κοιλί-

CAPUT III.

1 IN idipsum autem Petrus et Joannes ascendebant in templum ad horam orationis nonam.

2 Et quidam vir claudus ex

ας μητρὸς αὐτοῦ ὑπάρχων, ἐβαστάζετο· ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν·

3 Ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην.

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· Βλέψον εἰς ἡμᾶς.

5 Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν.

6 Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει.

7 Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά.

8 Καὶ ἐξαλλόμενος ἔστη, καὶ περιεπάτει· καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ ἁλλόμενος, καὶ αἰνῶν τὸν Θεόν.

9 Καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν·

10 Ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην, συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶνος, ἔκθαμβοι.

12 Ἰδὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ; ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν τοῦ περιπατεῖν αὐτόν;

utero matris suæ existens, bajulabatur: quem ponebant per diem ad portam templi dictam Speciosam, petere eleëmosynam ab introeuntibus in templum.

3 Qui videns Petrum et Joannem futuros introire in templum, rogabat eleëmosynam accipere.

4 Intendens autem Petrus in eum cum Joanne, dixit: Respice in nos.

5 Ille autem attentebat eis, expectans aliquid ab eis accipere.

6 Dixit autem Petrus: Argentum et aurum non est mihi, quod autem habeo, hoc tibi do: in nomine Jesu Christi Nazaræi surge et ambula.

7 Et apprehendens ipsum dextera manu allevavit: protinus autem confirmatæ sunt ejus bases et plantæ.

8 Et exiliens stetit, et ambulabat: et intravit cum illis in templum, ambulans et exiliens, et laudans Deum.

9 Et vidit eum omnis populus ambulantem et laudantem Deum.

10 Cognoscebantque illum quod ipse erat ad eleëmosynam sedens ad Speciosam portam templi; et impleti sunt stupore et extasi super contingente ei.

11 Tenente autem sanato claudo Petrum et Joannem, cucurrit ad eos omnis populus ad porticum vocatam Solomonis, stupentes.

12 Videns autem Petrus respondit ad populum: Viri Israe

ται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

13 Ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν·

14 Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν·

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν.

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

17 Καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν·

18 Ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστὸν, ἐπλήρωσεν οὕτω.

19 Μετανοήσατε οὖν καὶ ἐπιστρέψατε, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας· ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου,

20 Καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν·

21 Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος.

22 Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν· Ὅτι "προφήτην ὑμῖν

Q

elitæ, quid miramini in hoc, aut nobis quid attenditis, quasi propria virtute aut pietate fecimus ambulare eum?

13 Deus Abraham et Isaac et Jacob, Deus Patrum nostrorum glorificavit puerum suum Jesum, quem vos tradidistis, et negastis eum ante faciem Pilati, judicante illo dimitti.

14 Vos autem sanctum et justum negastis, et petistis virum homicidam donari vobis:

15 At principem vitæ interfecistis, quem Deus suscitavit ex mortuis, cujus nos testes sumus.

16 Et in fide nominis ejus, hunc, quem videtis et nostis, confirmavit nomen ejus: et fides quæ per eum dedit illi integritatem hanc in conspectu omnium vestrum.

17 Et nunc, fratres, scio quia per ignorantiam fecistis, sicut et principes vestri.

18 At Deus quæ prænuntiavit per os omnium Prophetarum suorum, pati Christum, implevit sic.

19 Pœnitemini igitur, et convertimini ad deleri vestra peccata: Ut quum venerint tempora refrigerii à conspectu Domini,

20 Et miserit ante prædicatum vobis Jesum Christum,

21 Quem oportet cælum quidem suscipere usque in tempora restitutionis omnium quæ loquutus est Deus per os omnium sanctorum suorum Prophetarum à seculo.

22 Moses quidem enim ad patres dixit: Prophetam vobis

ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.

23 Ἔσται δὲ, πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ."

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ προκατήγγειλαν τὰς ἡμέρας ταύτας.

25 Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ· "Καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς."

26 Ὑμῖν πρῶτον ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

suscitabit Dominus Deus vester de fratribus vestris, tamquam me: ipsum audietis juxta omnia quæcunque loquutus fuerit ad vos.

23 Erit autem, omnis anima, quæ non audierit Prophetam illum, exterminabitur de plebe.

24 Et omnes autem Prophetæ à Samuel et deinceps, quotcumque loquuti sunt, et prænuntiaverunt dies istos.

25 Vos estis filii Prophetarum et testamenti quod disposuit Deus ad patres nostros, dicens ad Abraham: et in semine tuo benedicentur omnes familiæ terræ.

26 Vobis primum Deus suscitans puerum suum Jesum, misit eum benedicentem vobis, in averti unumquemque à nequitiis vestris.

Κεφ. δ'. 4.

1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, καὶ οἱ Σαδδουκαῖοι,

2 Διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν·

3 Καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη.

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον, ἐπίστευσαν· καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε.

5 Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ

CAPUT IV.

1 LOQUENTIBUS autem illis ad populum, supervenerunt eis Sacerdotes et magistratus templi et Sadducæi,

2 Labore affecti propter docere eos populum, et annuntiare in Jesu resurrectionem mortuorum.

3 Et injecerunt eis manus, et posuerunt in custodiam in crastinum: erat enim vespera jam.

4 Multi autem audientium verbum, crediderunt: et factus est numerus virorum quasi millia quinque.

5 Factum est autem in crastinum, congregari eorum prin-

πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἰερουσαλήμ,

6 Καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ.

7 Καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ, ἐπυνθάνοντο· Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;

8 Τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς· Ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ,

9 Εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται·

10 Γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής.

11 Οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας·

12 Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.

13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν·

14 Τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα, τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.

15 Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλους,

cipes et Seniores et Scribas in Hierusalem.

6 Et Annam principem Sacerdotum et Cajapham et Joannem et Alexandrum, et quotquot erant de genere Pontificali.

7 Et statuentes eos in medio, percunctati sunt: In qua virtute aut in quo nomine fecistis hoc vos?

8 Tunc Petrus repletus Spiritu sancto dixit ad eos: Principes populi, et seniores Israël.

9 Si nos hodie dijudicamur in benefacto hominis infirmi, in quo iste servatus est:

10 Notum sit omnibus vobis et omni plebi Israël, quia in nomine Jesu Christi Nazareni, quem vos crucifixistis, quem Deus suscitavit ex mortuis, in hoc iste adstitit coram vobis sanus

11 Hic est lapis nihili habitus à vobis ædificantibus, factus in caput anguli:

12 Et non est in alio nomine salus: Neque enim nomen est aliud sub cælo datum in hominibus, in quo oporteat servari nos.

13 Videntes autem Petri libertatem et Joannis, et deprehendentes quod homines illiterati sunt et idiotæ, admirabantur, cognoscebantque eos quoniam cum Jesu fuerant.

14 At hominem videntes cum eis stantem illum curatum, nihil habebant contradicere.

15 Jussis autem ipsis extra concilium abire, conferebant ad invicem,

16 Λέγοντες· Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; Ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι·

17 Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων.

18 Καὶ καλέσαντες αὐτοὺς, παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ.

19 Ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς, εἶπον· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε.

20 Οὐ δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν.

21 Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτοὺς, μηδὲν εὑρίσκοντες τὸ, πῶς κολάσωνται αὐτοὺς, διὰ τὸν λαόν· ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι·

22 Ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον.

24 Οἱ δὲ ἀκούσαντες, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν, καὶ εἶπον· Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς,

25 Ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπών· " Ἱνατί ἐφρύ-

16 Dicentes: Quid faciemus hominibus istis? quoniam quidem enim notum signum factum est per eos, omnibus habitantibus Hierusalem manifestum, et non possumus negare.

17 Sed ut ne super plus perserpat in populum, minaciter comminemur eis non ultra loqui in nomine hoc ulli homini.

18 Et vocantes eos, denuntiaverunt eis omnino non loqui neque docere in nomine Jesu.

19 At Petrus et Joannes respondentes ad eos dixerunt: Si justum est in conspectu Dei, vos audire potius quam Deum, judicate:

20 Non possumus enim nos, quæ vidimus et audivimus, non loqui.

21 Illi vero comminantes dimiserunt eos: nihil invenientes quomodo punirent eos propter populum: quia omnes glorificabant Deum super facto.

22 Annorum enim erat plurium quadraginta homo, in quo factum fuerat signum istud sanitatis.

23 Dimissi autem venerunt ad proprios: et annuntiaverunt quanta ad eos principes Sacerdotum et seniores dixissent.

24 Ii autem audientes unanimiter levaverunt vocem ad Deum, et dixerunt: Domine, tu Deus, qui fecisti cælum et terram et mare, et omnia quæ in eis:

25 Qui per os David pueri tui dicens, fuisti: ut quid fre-

αξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά ;

26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ."

27 Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σε Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ,

28 Ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι.

29 Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν λόγον σου,

30 Ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα, καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ.

31 Καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι· καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας.

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά.

33 Καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς.

34 Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων,

35 Καὶ ἐτίθουν παρὰ τοὺς πόδας

muerunt gentes, et populum meditati sunt inania ?

26 Adstiterunt reges terræ, et principes coacti sunt in idem adversus Dominum et adversus Christum ejus.

27 Coacti sunt enim in veritate in sanctum puerum tuum Jesum, quem unxisti, Herodesque et Pontius Pilatus, cum gentibus et populis Israël.

28 Facere quæcumque manus tua et consilium tuum præfinivit fieri.

29 Et nunc Domine respice in minas eorum, et da servis tuis cum fiducia omni loqui verbum tuum.

30 In manum tuam extendere in sanitatem, et signa et prodigia fieri per nomen sancti pueri tui Jesu.

31 Et precatis eis motus est locus in quo erant congregati : et repleti sunt omnes Spiritu sancto, et loquebantur verbum Dei cum fiducia.

32 At multitudinis credentium erat cor et anima una : et neque unus quicquam existentium ei dicebat proprium esse, sed erant illis omnia communia.

33 Et magna virtute reddebant testimonium Apostoli resurrectionis Domini Jesu Christi, gratiaque magna erat in omnes eos.

34 Neque enim egens quisquam erat in ipsis : Quotquot enim possessores agrorum aut domorum erant, vendentes afferebant pretia venditorum,

35 Et ponebant ante pedes

τῶν ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν.

36 Ἰωσῆς δέ, ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον, υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει,

37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

Apostolorum: Dividebatur autem singulis, prout quis opus habebat.

36 Joses autem cognominatus Barnabas ab Apostolis, quod est interpretatum, Filius consolationis, Levites Cyprius generé,

37 Existente ei agro, vendito attulit pecuniam, et posuit ante pedes Apostolorum.

Κεφ. έ. 5.

1 Ἀνὴρ δέ τις Ἀνανίας ὀνόμαῖι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα·

2 Καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καὶ ἐνέγκας μέρος τι, παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν.

3 Εἶπε δὲ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου;

4 Οὐχὶ μένον, σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

5 Ἀκούων δὲ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξε· καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

6 Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ, μὴ εἰδυῖα τὸ γεγονὸς, εἰσῆλθεν.

CAPUT V.

1 VIR autem quidam Ananias nomine, cum Sapphira uxore sua vendidit possessionem:

2 Et intervertit de pretio, conscia etiam uxore sua: et afferens partem quandam, ad pedes Apostolorum posuit.

3 Dixit autem Petrus: Anania, propter quid implevit Satanas cor tuum, fallere te Spiritum sanctum, et intervertere de pretio prædii?

4 Nonne manens tibi manebat: et venundatum in tua potestate erat? Quid quod posuisti in corde tuo rem hanc? Non es mentitus hominibus, sed Deo.

5 Audiens autem Ananias verba hæc, cadens exspiravit: Et factus est timor magnus super omnes audientes hæc.

6 Surgentes autem juvenes composuerunt eum, et efferentes sepelierunt.

7 Factum est autem quasi horarum trium spatium, et uxor ipsius, nesciens factum, intr vit.

8 Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; Ἡ δὲ εἶπε· Ναὶ, τοσούτου.

9 Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα Κυρίου; Ἰδοὺ, οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου, ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε.

10 Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

11 Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος.

13 Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς· ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός.

14 Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναικῶν·

15 Ὥστε καὶ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν.

16 Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν περὶξ πόλεων εἰς Ἱερουσαλὴμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων· οἵτινες ἐθεραπεύοντο ἅπαντες.

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου·

18 Καὶ ἐπέβαλον τὰς χεῖρας

8 Respondit autem ei Petrus: Dic mihi, si tanti agrum vendidistis? Illa autem dixit: Etiam tanti.

9 At Petrus ait ad eam, Quid quod convenit vobis tentare Spiritum Domini? Ecce pedes eorum qui sepelierunt virum tuum ad ostium, et efferent te.

10 Cecidit autem confestim ante pedes ejus, et expiravit: Intrantes autem juvenes invenerunt illam mortuam, et efferentes sepelierunt ad virum suum.

11 Et factus est timor magnus in universa ecclesia, et in omnes audientes hæc.

12 Per autem manus Apostolorum fiebant signa et prodigia in plebe multa. Et erant unanimiter omnes in porticu Solomonis.

13 At cæterorum nemo audebat conjungi illis: sed magnificabat eos populus.

14 Magis autem apponebantur credentes Domino, multitudines virorumque ac mulierum.

15 Ut et secundum plateas efferrent infirmos, et ponerent in lectulis ac grabbatis, ut venientis Petri vel umbra obumbraret quemquam illorum.

16 Conveniebat autem et multitudo eorum quæ circa civitatum in Hierusalem, afferentes ægros et vexatos à spiritibus immundis: qui curabantur omnes.

17 Exurgens autem princeps Sacerdotum et omnes qui cum illo, existens hæresis Sadducæorum, repleti sunt zelo:

18 Et injecerunt manus suas

αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.

19 Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς· ἐξαγαγών τε αὐτοὺς εἶπε·

20 Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

21 Ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ· καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, ἀχθῆναι αὐτούς.

22 Οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαντες δὲ ἀπήγγειλαν,

23 Λέγοντες· Ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν.

24 Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ,τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο.

25 Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς, λέγων· Ὅτι ἰδοὺ, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν.

26 Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς, οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ τὸν λαὸν ἵνα μὴ λιθασθῶσιν.

27 Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς,

28 Λέγων· Οὐ παραγγελίᾳ

in Apostolis, et posuerunt eos in custodia publica.

19 Angelus autem Domini per noctem aperuit januas custodiæ, educensque eos, dixit:

20 Ite, et stantes loquimini in templo plebi omnia verba vitæ hujus.

21 Audientes autem intraverunt sub diluculum in templum, et docebant. Adveniens autem princeps Sacerdotum et qui cum eo, convocaverunt concilium et omnem senatum filiorum Israël: Et miserunt ad carcerem, adduci eos.

22 At ministri accedentes non invenerunt eos in custodia, reversi autem nuntiaverunt,

23 Dicentes: Quod quidem carcerem invenimus clausum in omni securitate, et custodes stantes foras ante januas, aperientes autem intus neminem invenimus.

24 Ut autem audierunt sermones hos, et Pontifex et præfectus templi et principes Sacerdotum, ambigebant de illis, quidnam fieret hoc.

25 Adveniens autem quidam nuntiavit eis, dicens: ecce, viri quos posuistis in custodia, sunt in templo stantes et docentes populum.

26 Tunc abiens præfectus cum ministris, adduxit illos, non cum vi, timebant enim populum ut ne lapidarentur.

27 Adducentes autem illos statuerunt in concilio: Et interrogavit eos princeps Sacerdotum,

28 Dicens: Nonne denun

παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; Καὶ ἰδοὺ, πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου.

29 Ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ ἀπόστολοι, εἶπον· Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.

30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου.

31 Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν.

32 Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.

33 Οἱ δὲ ἀκούσαντες διεπρίοντο, καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς.

34 Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιὴλ, νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀποστόλους ποιῆσαι·

35 Εἶπέ τε πρὸς αὐτούς· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν.

36 Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτὸν μέγαν, ᾧ προσεκλίθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν·

37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν

tiatione denuntiavimus vobis non docere in nomine isto? et ecce replestis Hierusalem doctrina vestra, et vultis superinducere super nos sanguinem hominis istius.

29 Respondens autem Petrus et Apostoli, dixerunt Obedire oportet Deo magis, quam hominibus.

30 Deus Patrum nostrorum suscitavit Jesum, quem vos interemistis suspendentes in ligno.

31 Hunc Deus principem et salvatorem exaltavit dextera sua, dare pœnitentiam Israëli, et remissionem peccatorum.

32 Et nos sumus ejus testes verborum horum, et Spiritus vero sanctus, quem dedit Deus obedientibus sibi.

33 Illi autem audientes furebant, et consulebant tollere illos.

34 Surgens autem quidam in concilio Pharisæus, nomine Gamaliel, legisdoctor, honoratus omni populo, jussit foras breve quid apostolos fieri:

35 Dixitque ad illos: Viri Israelitæ, attendite vobis ipsis super hominibus istis, quid estis futuri agere.

36 Ante enim hos dies extitit Theudas, dicens esse aliquem seipsum: cui adhæsit numerus virorum circiter quadringentorum: qui sublatus est, et omnes quicumque assensi sunt ei, dissoluti sunt, et facti sunt ad nihilum.

37 Post hunc extitit Judas Galilæus, in diebus descriptionis, et avertit populum multum

ἱκανὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν.

38 Καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται·

39 Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δύνασθε καταλῦσαι αὐτὸ, μήποτε καὶ θεομάχοι εὑρεθῆτε.

40 Ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς.

41 Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ καταξιώθησαν ἀτιμασθῆναι·

42 Πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ, καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν.

post se : et ipse periit, et omnes quotquot assensi sunt ei, dispersi sunt.

38 Et nunc dico vobis, absistite ab hominibus istis, et finite illos : quoniam si sit ex hominibus consilium hoc aut opus hoc, dissolvetur.

39 Si vero ex Deo est, non potestis dissolvere id : ne forte et Deo pugnantes inveniamini.

40 Consenserunt autem illi : Et convocantes Apostolos, cædentes denuntiaverunt non loqui in nomine Jesu : et dimiserunt eos.

41 Illi quidem igitur ibant gaudentes à conspectu concilii, quoniam digni habiti sunt pro nomine ejus contumelia affici.

42 Totumque diem in templo et circa domum non cessabant docentes et euangelizantes Jesum Christum.

Κεφ. ϛ'. 6.

1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν.

2 Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις.

3 Ἐπισκέψασθε οὖν, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης.

4 Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.

CAPUT VI.

1 In autem diebus illis multiplicantibus discipulis factum est murmur Græcorum adversus Hellenistas, quod despicerentur in ministerio quotidiano viduæ eorum.

2 Advocantes autem duodecim multitudinem discipulorum, dixerunt : Non placitum est nos derelinquentes sermonem Dei, ministrare mensis.

3 Considerate ergo, fratres, viros ex vobis testimonio probatos septem, plenos Spiritu sancto et sapientia, quos constituamus super usu hoc.

4 Nos vero orationi et ministerio verbi perdurabimus.

5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα.

6 Οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

7 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα· πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

8 Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ·

10 Καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει.

11 Τότε ὑπέβαλον ἄνδρας λέγοντας· Ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν.

12 Συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς· καὶ ἐπιστάντες συνήρπασαν αὐτόν, καὶ ἤγαγον εἰς τὸ συνέδριον,

13 Ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου·

14 Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον.

5 Et placuit sermo coram omni multitudine: Et elegerunt Stephanum, virum plenum fide et Spiritu sancto, et Philippum, et Prochorum, et Nicanorem, et Timonem, et Parmenam, et Nicolaum advenam Antiochenum.

6 Quos statuerunt coram Apostolis: et precati imposuerunt eis manus.

7 Et verbum Dei crescebat, et multiplicabatur numerus discipulorum in Hierusalem valde: multaque turba Sacerdotum obediebant fidei.

8 Stephanus autem plenus fide et fortitudine faciebat prodigia et signa magna in populo.

9 Surrexerunt autem quidam de synagoga dicta Libertinorum, et Cyrenensium, et Alexandrinorum, et eorum qui à Cilicia et Asia, disquirentes Stephano.

10 Et non poterant resistere sapientiæ et spiritui quo loquebatur.

11 Tunc summiserunt viros dicentes: audivimus eum dicentem verba blasphema in Mosem et Deum.

12 Commoveruntque plebem et seniores et Scribas: et instantes corripuerunt eum, et adduxerunt in concilium.

13 Statueruntque testes falsos, dicentes: Homo iste non cessat verba blasphema loquens adversus locum sanctum hunc et Legem.

14 Audivimus enim eum dicentem, quoniam Jesus Nazarenus hic dissolvet locum istum

καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς.

15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

et mutabit mores quos tradidit nobis Moyses.

15 Et attendentes in eum omnes sedentes in concilio, viderunt faciem ejus tanquam faciem angeli.

Κεφ. ζ'. 7.

CAPUT VII.

1 Εἶπε δὲ ὁ ἀρχιερεύς· Εἰ ἄρα ταῦτα οὕτως ἔχει;

2 Ὁ δὲ ἔφη· Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν,

3 Καὶ εἶπε πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω.

4 Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαρράν. Κἀκεῖθεν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε,

5 Καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός· καὶ ἐπηγγείλατο αὐτῷ δοῦναι εἰς κατάσχεσιν αὐτὴν, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος αὐτῷ τέκνου.

6 Ἐλάλησε δὲ οὕτως ὁ Θεός· "Ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια.

7 Καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ, εἶπεν ὁ Θεός· καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ."

8 Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως ἐγέννησε τὸν Ἰσαὰκ, καὶ περιέτεμεν αὐτὸν τῇ

1 Dixit autem princeps Sacerdotum: Si hæc ita habent?

2 Is vero ait: Viri fratres et patres, audite: Deus gloriæ apparuit patri nostro Abrahæ existenti in Mesopotamia, prius quam habitare eum in Charran:

3 Et dixit ad illum: Exi de terra tua et de cognatione tua: et veni in terram quam tibi monstravero.

4 Tunc exiens de terra Chaldæorum, habitavit in Charran Et inde, post mori patrem ejus, transtulit illum in terram istam, in quam vos nunc habitatis.

5 Et non dedit illi hæreditatem in ea, nec passum pedis: et repromisit dare illi in possessionem eam, et semini ejus post ipsum, non existente ei nato.

6 Loquutus est autem sic Deus: Quia erit semen ejus accola in terra aliena, et servituti subjicient id, et male tractabunt annos quadringentos.

7 Et gentem, cui servierint, judicabo ego, dixit Deus: et post hæc exibunt, et servient mihi in loco isto.

8 Et dedit illi pactum circumcisionis: et sic genuit Isaac, et circumcidit eum die oc-

ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.

9 Καὶ οἱ πατριάρχαι ζηλώσαντες, τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυπτον· καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ,

10 Καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.

11 Ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλῖψις μεγάλη· καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.

12 Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον.

13 Καὶ ἐν τῷ δευτέρῳ, ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ.

14 Ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ, καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ ἐν ψυχαῖς ἑβδομηκονταπέντε.

15 Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς, καὶ οἱ πατέρες ἡμῶν.

16 Καὶ μετετέθησαν εἰς Συχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ.

17 Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ·

18 Ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ·

tavo: et Isaac, Jacob: et Jacob duodecim patriarchas.

9 Et Patriarchæ æmulantes, Joseph vendiderunt in Ægyptum: et erat Deus cum eo:

10 Et eripuit eum ex omnibus tribulationibus ejus, et dedit ei gratiam et sapientiam in conspectu Pharaonis regis Ægypti, et constituit eum præpositum super Ægyptum, et omnem domum suam.

11 Venit autem fames in universam terram Ægypti et Chanaan, et tribulatio magna: et non inveniebant cibos patres nostri.

12 Audiens autem Jacob existentia frumenta in Ægypto, misit patres nostros primum.

13 Et in secundo cognitus est Joseph fratribus suis, et manifestum factum est Pharaoni genus Joseph.

14 Mittens autem Joseph accersivit patrem suum Jacob, et omnem cognationem suam in septuaginta quinque animabus

15 Descendit autem Jacob in Ægyptum, et defunctus est ipse et patres nostri.

16 Et translati sunt in Sichem, et positi sunt in sepulchro, quod emit Abraham pretio argenti à filiis Emmor Sichem.

17 Quum autem appropinquaret tempus promissionis, quam juraverat Deus Abrahæ, crevit populus et multiplicatus est in Ægypto,

18 Quoadusque surrexit rex alius, qui non sciebat Joseph

19 Οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ ζωογονεῖσθαι.

19 Hic circumveniens genus nostrum, male affecit patres nostros, ad faciendum expositos infantes suos, ad non sobolescere.

20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ· ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός.

20 In quo tempore natus est Moses, et fuit venustus Deo, qui nutritus est menses tres in domo patris sui.

21 Ἐκτεθέντα δὲ αὐτὸν, ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

21 Expositum autem illum, sustulit eum filia Pharaonis, et nutrivit eum sibi ipsi in filium.

22 Καὶ ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων· ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις.

22 Et eruditus est Moses omni sapientia Ægyptiorum: erat autem potens in dictis et factis.

23 Ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ, ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

23 Quum autem impleretur ei quadraginta annorum tempus, ascendit in cor ejus invisere fratres suos filios Israël.

24 Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον·

24 Et videns quendam injuria affectum, ultus est: et fecit ultionem oppresso, percutiens Ægyptium.

25 Ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ συνῆκαν.

25 Existimabat autem intelligere fratres suos, quoniam Deus per manum ipsius daret illis salutem: ii autem non intellexerunt.

26 Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπών· Ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς· ἱνατί ἀδικεῖτε ἀλλήλους;

26 At sequenti die visus est eis pugnantibus, et compulit eos in pacem, dicens: Viri, fratres estis vos: ut quid injuria afficitis alii alios?

27 Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν, εἰπών· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;

27 At injuria afficiens proximum, repulit eum, dicens: Quis te constituit principem et judicem super nos?

28 Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;

28 Num interficere me tu vis, quemadmodum interfecisti heri Ægyptium?

29 Ἔφυγε δὲ Μωσῆς ἐν τῷ λογῳ τούτῳ, καὶ ἐγένετο πάροικος

29 Fugit autem Moses in verbo isto, et factus est advena

ἐν γῇ Μαδιὰμ, οὗ ἐγέννησεν υἱοὺς δύο.

30 Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου.

31 Ὁ δὲ Μωσῆς ἰδὼν, ἐθαύμασε τὸ ὅραμα· προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν·

32 Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. Ἔντρομος δὲ γενόμενος Μωσῆς οὐκ ἐτόλμα κατανοῆσαι.

33 Εἶπε δὲ αὐτῷ ὁ Κύριος· Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν.

34 Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο, ἀποστελῶ σε εἰς Αἴγυπτον.

35 Τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο, εἰπόντες· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ Θεὸς ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

36 Οὗτος ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτου, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ, ἔτη τεσσαράκοντα.

37 Οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε.

38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα, δοῦναι ἡμῖν·

in terra Madian, ubi generavit filios duos.

30 Et expletis annis quadraginta, apparuit illi in deserto montis Sina angelus Domini in flamma ignis rubi.

31 At Moses videns, admiratus est visum: Accedente autem illo considerare, facta est vox Domini ad eum:

32 Ego Deus patrem tuorum, Deus Abraham, et Deus Isaac, et Deus Jacob. Tremens autem factus Moses non audebat considerare.

33 Dixit autem illi Dominus: Solve calceamentum pedum tuorum: enim locus in quo stas, terra sancta est.

34 Videns vidi afflictionem populi mei qui in Ægypto, et gemitum eorum audivi, et descendi eruere eos: Et nunc veni, mittam te in Ægyptum.

35 Hunc Moysen quem negaverunt, dicentes: Quis te constituit principem et judicem? hunc Deus principem et redemptorem misit in manu angeli visi illi in rubo.

36 Hic eduxit illos, faciens prodigia et signa in terra Ægypti, et in rubro mari, et in deserto annos quadraginta.

37 Hic est Moyses dicens filiis Israël: Prophetam vobis resuscitabit Dominus Deus vester de fratribus vestris tanquam me: eum audite

38 Hic est ille factus in ecclesia in solitudine, cum angelo loquente ei in monte Sina, et patribus nostris, qui accepit verba viventia, dare nobis.

39 Ὧι οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον,

40 Εἰπόντες τῷ Ἀαρών· "Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωσῆς οὗτος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ."

41 Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

42 Ἔστρεψε δὲ ὁ Θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· "Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος."

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν ἐν τοῖς πατράσιν ὑμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωσῆ, ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει,

45 Ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαβίδ·

46 Ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ.

47 Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον.

48 Ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει·

39 Cui noluerunt auscultantes fieri patres nostri, sed repulerunt, et versi sunt cordibus suis in Ægyptum,

40 Dicentes ad Aaron : Fac nobis deos qui præcedent nos : Nam Moses hic qui eduxit nos de terra Ægypti, nescimus quid factum sit ei.

41 Et vitulum fecerunt in diebus illis, et obtulerunt hostiam simulachro, et oblectati sunt in operibus manuum suarum.

42 Convertit autem Deus, et tradidit eos servire militiæ cæli, sicut scriptum est in libro Prophetarum : Num victimas et sacrificia obtulistis mihi annos quadraginta in deserto, domus Israël ?

43 Et suscepistis tabernaculum Moloch, et sydus Dei vestri Remphan, figuras quas fecistis adorare eas : Et transferam vos trans Babylonem.

44 Tabernaculum testimonii erat in patribus nostris in deserto, sicut disposuit loquens Mosi, facere illud secundum exemplar quod viderat.

45 Quod et induxerunt suscipientes patres nostri cum Jesu in possessionem Gentium, quas expulit Deus à facie patrum nostrorum, usque dies David :

46 Qui invenit gratiam ante Deum, et petiit invenire tabernaculum Deo Jacob.

47 Solomon autem ædificavit illi domum.

48 Sed non excelsus in manufactis templis habitat, sicut propheta dicit :

49 "Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι ; λέγει Κύριος· ἢ τίς τόπος τῆς καταπαύσεώς μου ;

49 Cælum mihi thronus, at terra scabellum pedum meorum. Qualem domum ædificabitis mihi, dicit Dominus? aut quis locus requietionis meæ ?

50 Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα ;"

50 Nonne manus mea fecit hæc omnia ?

51 Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς.

51 Duri cervice, et incircumcisi corde et auribus, vos semper Spiritui sancto resistitis, sicut patres vestri et vos.

52 Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν ; Καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε,

52 Quem Prophetarum non sunt persequuti patres vestri ? Et occiderunt prænuntiantes de adventu justi, cujus nunc vos proditores et homicidæ fuistis :

53 Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

53 Qui accepistis Legem in dispositiones angelorum, et non custodistis.

54 Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν.

54 Audientes autem hæc, dissecabantur cordibus suis, et stridebant dentes in eum.

55 Ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ,

55 Existens autem plenus spiritu sancto, intendens in cælum, vidit gloriam Dei, et Jesum stantem ex dextris Dei.

56 Καὶ εἶπεν· Ἰδοὺ, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.

56 Et ait : Ecce video cælos apertos, et filium hominis ex dextris stantem Dei.

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν·

57 Clamantes autem voce magna, continuerunt aures suas, et irruerunt unanimiter in eum.

58 Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν· καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου,

58 Et ejicientes extra civitatem, lapidabant : et testes deposuerunt vestimenta sua secus pedes adolescentis vocati Sauli.

59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου.

59 Et lapidabant Stephanum, invocantem et dicentem : Domine Jesu, suscipe spiritum meum.

60 Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη.

60 Positis autem genibus, clamavit voce magna: Domine, ne statuas illis peccatum hoc. Et hoc dicto, obdormivit.

Κεφ. ή. 8.

CAPUT VIII.

1 Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων.

1 SAULUS autem erat consentiens neci ejus. Facta est autem in illa die persequutio magna in ecclesiam in Hierosolymis: omnesque dispersi sunt per regiones Judææ et Samariæ, præter Apostolos

2 Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ.

2 Extulerunt autem Stephanum viri religiosi, et fecerunt planctum magnum super eo.

3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορεύομενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν.

3 Saulus vero devastabat ecclesiam, per domos intrans, trahensque viros ac mulieres, tradebat in custodiam.

4 Οἱ μὲν οὖν διασπαρέντες διῆλθον, εὐαγγελιζόμενοι τὸν λόγον.

4 Illi quidem igitur dispersi pertransibant euangelizantes verbum.

5 Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν.

5 Philippus autem descendens in civitatem Samariæ, prædicabat illis Christum.

6 Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

6 Intendebant autem turbæ dictis à Philippo unanimiter, in audire eos et videre signa quæ faciebat.

7 Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ, ἐξήρχετο· πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.

7 Multorum enim habentium spiritus immundos, clamantes voce magna, exibant: Multi autem paralytici et claudi curati sunt.

8 Καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

8 Et factum est gaudium magnum in civitate illa.

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν,

9 Vir autem quidam nomine Simon, ante fuerat in civitate magicam exercens, et attonitam reddens gentem Samariæ, dicens esse aliquem seipsum magnum.

10 Ὧι προσεῖχον πάντες ἀπὸ

10 Cui auscultabant omnes à

μικροῦ ἕως μεγάλου, λέγοντες· Οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη.

11 Προσεῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς.

12 Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες.

13 Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε σημεῖα καὶ δυνάμεις μεγάλας γινομένας, ἐξίστατο.

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην,

15 Οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον.

16 Οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

17 Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον.

18 Θεασάμενος δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα,

19 Λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον.

20 Πέτρος δὲ εἶπε πρὸς αὐτόν· Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι.

minimo usque ad maximum, dicentes: Hic est virtus Dei magna.

11 Attendebant autem ei, propter multo tempore magicis dementasse eos.

12 Quum vero credidissent Philippo euangelizanti quæ de regno Dei, et nomine Jesu Christi, baptizabantur virique ac mulieres.

13 At Simon et ipse credidit, et baptizatus erat perdurans Philippo: Videnque signa et virtutes magnas factas, obstupefiebat.

14 Audientes autem qui in Hierosolymis Apostoli, quia recepisset Samaria verbum Dei, miserunt ad eos Petrum et Joannem:

15 Qui descendentes oraverunt pro ipsis, ut acciperent Spiritum sanctum.

16 Nondum enim erat in quenquam illorum illapsus: tantum autem baptizati erant in nomen Domini Jesu.

17 Tunc imponebant manus super illos, et accipiebant Spiritum sanctum.

18 Conspiciens autem Simon quia per impositionem manuum Apostolorum daretur Spiritus sanctus, obtulit eis pecunias,

19 Dicens Date et mihi potestatem hanc, ut cuicumque imposuero manus, accipiat Spiritum sanctum.

20 Petrus autem dixit ad eum: Argentum tuum cum te sit in perditionem: quoniam donum Dei existimasti per pecunias acquiri.

21 Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ.

22 Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου·

23 Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

24 Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπε, Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε.

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι, καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ, πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.

26 Ἄγγελος δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον λέγων· Ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἰερουσαλὴμ εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος.

27 Καὶ ἀναστὰς ἐπορεύθη· καὶ ἰδοὺ, ἀνὴρ Αἰθίοψ εὐνοῦχος, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἰερουσαλήμ·

28 Ἦν τε ὑποστρέφων, καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν.

29 Εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε, καὶ κολλήθητι τῷ ἅρματι τούτῳ.

30 Προσδραμὼν δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν· Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;

31 Ὁ δὲ εἶπε· Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με;

21 Non est tibi pars neque sors in sermone isto: nam cor tuum non est rectum coram Deo.

22 Pœnitere igitur ab nequitia tua hac, et roga Deum, si forte remittetur tibi cogitatio cordis tui.

23 In enim felle amaritudinis, et obligatione iniquitatis video te existentem.

24 Respondens autem Simon dixit: Precamini vos pro me ad Dominum, ut nihil veniat super me horum quæ dixistis.

25 Illi quidem itaque testificati et loquuti verbum Domini, redierunt in Hierusalem, multosque vicos Samaritanorum euangelizarunt.

26 Angelus autem Domini loquutus est ad Philippum, dicens: Surge, et vade contra meridiem ad viam descendentem ab Hierusalem in Gazam hæc est deserta.

27 Et surgens abiit: Et ecce vir Æthiops Eunuchus, potens Candaces reginæ Æthiopum qui erat super omnem gazam ejus, qui venerat adoraturus in Hierusalem:

28 Eratque revertens, et sedens super currum suum, et legebat Prophetam Esaiam.

29 Dixit autem Spiritus Philippo: Accede, et agglutinare currui huic.

30 Præcurrens autem Philippus audivit eum legentem prophetam Esaiam, et dixit· Num intelligis quæ legis?

31 Is autem ait. Quomodo enim possem, si non aliquis dux

Παρεκάλεσέ τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ.

32 Ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν ἦν αὕτη· "Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

33 Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ."

34 Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ, εἶπε· Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; Περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός;

35 Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν.

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ· καί φησιν ὁ εὐνοῦχος· Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;

37 Εἶπε δὲ ὁ Φίλιππος· Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν· Ἀποκριθεὶς δὲ εἶπε· Πιστεύω τὸν υἱὸν τοῦ Θεοῦ εἶναι τὸν Ἰησοῦν Χριστόν.

38 Καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα· καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ,τε Φίλιππος καὶ ὁ εὐνοῦχος· καὶ ἐβάπτισεν αὐτόν.

39 Ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων.

40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

viæ fuerit mihi? Rogavitque Philippum ascendentem sedere cum eo.

32 At locus scripturæ quem legebat, erat hic: Tanquam ovis ad occisionem ductus est: et sicut agnus coram tondente se mutus, sic non aperit os suum.

33 In humilitate ejus judicium ejus sublatum est: At generationem ejus quis enarrabit? quoniam tollitur à terra vita ejus.

34 Respondens autem Eunuchus Philippo, dixit: Obsecro te, de quo Propheta dicit hoc? de seipso, an de alio aliquo?

35 Aperiens autem Philippus os suum, et incipiens à scriptura ista, euangelizavit illi Jesum.

36 Ut vero ibant per viam, venerunt ad quandam aquam: et ait Eunuchus: Ecce aqua: quid prohibet me baptizari?

37 Dixit autem Philippus: Si credis ex toto corde, licet. Respondens autem ait: Credo Filium Dei esse Jesum Christum.

38 Et jussit stare currum: et descenderunt uterque in aquam, et Philippus et Eunuchus: et baptizavit eum.

39 Quum autem ascendissent de aqua, Spiritus Domini rapuit Philippum, et non vidit eum amplius Eunuchus: Pergebat enim viam suam gaudens.

40 Philippus autem inventus est in Azotum, et præteriens euangelizabat civitates omnes, donec veniret Cæsaream.

Κεφ. θ'. 9.

1 Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ,

2 Ἠτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγὰς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ.

3 Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ,

4 Καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνὴν λέγουσαν αὐτῷ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

5 Εἶπε δέ· Τίς εἶ, Κύριε; Ὁ δὲ Κύριος εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις· σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

6 Τρέμων τε καὶ θαμβῶν εἶπε· Κύριε, τί με θέλεις ποιῆσαι; Καὶ ὁ Κύριος πρὸς αὐτόν· Ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν.

7 Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐννεοὶ, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωρῶντες.

8 Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς· ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε· χειραγωγοῦντες δὲ αὐτὸν, εἰσήγαγον εἰς Δαμασκόν.

9 Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων· καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιεν.

10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας, καὶ εἶπε

CAPUT IX.

1 AT Saulus adhuc spirans minarum et cædis in discipulos Domini, accedens principi Sacerdotum,

2 Petiit ab eo epistolas in Damascum ad synagogas, ut si quos invenisset hujus viæ existentes virosque et mulieres, vinctos perduceret in Hierusalem.

3 In autem proficisci factum est eum appropinquare Damasco, et subito circumfulsit eum lux de cælo.

4 Et cadens in terram, audivit vocem dicentem sibi: Saule, Saule, quid me persequeris?

5 Ait autem: Quis es, Domine? At Dominus dixit: Ego sum Jesus, quem tu persequeris: durum tibi ad stimulos calcitrare.

6 Tremensque et pavens dixit: Domine, quid me vis facere? Et Dominus ad eum. Surge, et ingredere in civitatem, et dicetur tibi quid te oporteat facere.

7 At viri simul iter facientes ipsi, steterunt attoniti, audientes quidem vocem, neminem autem videntes.

8 Surrexit autem Saulus de terra: apertis autem oculis suis, neminem videbat: Manuducentes vero eum, introduxerunt in Damascum.

9 Et erat dies tres non videns: et non manducavit, neque bibit.

10 Erat autem quidam discipulus in Damasco, nomine

πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· Ἀνανία. Ὁ δὲ εἶπεν· Ἰδοὺ, ἐγὼ, Κύριε.

11 Ὁ δὲ Κύριος πρὸς αὐτόν· Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην Εὐθείαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, ταρσέα· ἰδοὺ γὰρ προσεύχεται.

12 Καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν, εἰσελθόντα, καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ.

13 Ἀπεκρίθη δὲ ὁ Ἀνανίας· Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἰερουσαλήμ·

14 Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου.

15 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος· Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ.

16 Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.

17 Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν· καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε· Σαοὺλ ἀδελφὲ, ὁ Κύριος ἀπέσταλκέ με, Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς πνεύματος ἁγίου.

18 Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα· καὶ ἀναστὰς ἐβαπτίσθη,

19 Καὶ λαβὼν τροφὴν, ἐνίσχυσεν. Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς·

Ananias : et dixit ad illum Dominus in visu, Anania. Is autem ait : Ecce ego, Domine.

11 At Dominus ad eum : Surgens vade in vicum vocatum Rectum : et quære in domo Judæ Saulum nomine, Tarsensem : ecce enim orat :

12 Et vidit in visione virum nomine Ananiam introeuntem, et imponentem sibi manum, ut visum recipiat.

13 Respondit autem Ananias : Domine, audivi à multis de viro hoc, quanta mala fecerit sanctis tuis in Hierusalem.

14 Et hic habet potestatem à principibus Sacerdotum, ligare omnes invocantes nomen tuum.

15 Dixit autem ad eum Dominus : Vade, quoniam vas electionis mihi est iste, ad portandum nomen meum coram gentibus, et regibus, filiisque Israël.

16 Ego enim ostendam illi quanta oportet eum pro nomine meo pati.

17 Abiit autem Ananias, et introivit in domum : et imponens in eum manus, dixit : Saule frater, Dominus misit me, Jesus visus tibi in via qua veniebas, ut videas, et implearis Spiritu sancto.

18 Et confestim ceciderunt ab oculis ejus tanquam squamæ, visum recepitque statim : et surgens baptizatus est.

19 Et accepto cibo confortatus est : Fuit autem Saulus cum iis qui in Damasco discipulis dies aliquot.

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστὸν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

21 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἰερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς τοῦτο ἐληλύθει ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς;

22 Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναὶ, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν·

24 Ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν· παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι.

25 Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι.

26 Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἰερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής.

27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ.

28 Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἰερουσαλὴμ, καὶ παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ,

29 Ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. Οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν·

20 Et continuo in synagogis prædicabat Christum, quoniam hic est Filius Dei.

21 Stupebant autem omnes audientes, et dicebant: Nonne hic est ille populatus in Hierusalem invocantes nomen istud: et huc ad hoc venit ut vinctos illos duceret ad principes Sacerdotum?

22 Saulus autem magis convalescebat, et confundebat Judæos habitantes in Damasco, conferens quoniam hic est Christus.

23 Quum autem implerentur dies multi, simul consilium fe cerunt Judæi interimere eum.

24 Notæ factæ sunt autem Saulo insidiæ eorum. Adservabantque portas dieque ac nocte, ut eum interficerent.

25 Accipientes autem eum discipuli nocte, demiserunt per murum, submittentes in sporta.

26 Adveniens autem Saulus in Hierusalem, tentabat jungi discipulis: et omnes timebant eum, non credentes, quod esset discipulus.

27 Barnabas autem apprehendens illum, duxit ad Apostolos, et narravit illis quomodo in via vidisset Dominum, et quia loquutus est ei, et quomodo in Damasco fiducialiter egerit in nomine Jesu.

28 Et erat cum illis intrans et exiens in Hierusalem, et fiducialiter agens in nomine Domini Jesu.

29 Loquebaturque et disputabat adversus Hellenistas: Illi autem quærebant eum occide re.

30 Ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν.

30 Cognoscentes autem fratres, deduxerunt eum in Cæsaream, et dimiserunt eum in Tarsum.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο.

31 Ille quidem igitur ecclesiæ per totam Judæam et Galilæam et Samariam habebant pacem, ædificatæ et purgentes timore Domini, et consolatione sancti Spiritus replebantur.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν.

32 Factum est autem Petrum transeuntem per omnes, devenire et ad sanctos habitantes Lyddam.

33 Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος,

33 Invenit autem ibi hominem quendam Æneam nomine, ab annis octo jacentem in grabbato, qui erat paralyticus.

34 Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη·

34 Et ait illi Petrus: Ænea, sanat te Jesus Christus: surge, et sterne tibi ipsi. Et continuo surrexit.

35 Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σαρωνᾶν, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

35 Et viderunt eum omnes habitantes Lyddam et Saronam: qui conversi sunt ad Dominum.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, ὀνόματι Ταβιθά, ἡ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

36 In Joppe autem quædam erat discipula nomine Tabitha, quæ interpretata dicitur Dorcas: Hæc erat plena bonis operibus et eleëmosynis quas faciebat.

37 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ.

37 Factum est autem in diebus illis infirmatam eam mori: Lavantes autem eam posuerunt in cœnaculo.

38 Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.

38 Prope autem existente Lydda Joppe, discipuli audientes quia Petrus est in ea, miserunt duos viros ad eum, rogantes, non pigritari venire usque ad ipsos.

39 Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῶον, καὶ παρέσ-

39 Surgens autem Petrus simul venit illis: Quem advenientem duxerunt in cœnacu-

σησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας, καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς.

40 Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο· καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε.

41 Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν· φωνήσας δὲ τοὺς ἁγίους, καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν.

42 Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης· καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

lum : et adstiterunt ei omnes viduæ flentes, et ostendentes tunicas et vestes quas faciebat cum illis existens Dorcas.

40 Ejiciens autem foras omnes Petrus, ponens genua oravit : et conversus ad corpus, dixit : Tabitha, resurge. Illa vero aperuit oculos suos : et videns Petrum resedit.

41 Dans autem illi manum, erexit eam. Vocans autem sanctos et viduas, stitit eam vivam.

42 Notum autem factum est per universam Joppen : et multi crediderunt in Dominum.

43 Factum est autem dies multos manere eum in Joppe, apud quendam Simonem coriarium.

Κεφ. ι'. 10.

1 Ἀνὴρ δέ τις ἦν ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν, σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός·

3 Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥραν ἐννάτην τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ· Κορνήλιε.

4 Ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος, εἶπε· Τί ἐστι Κύριε; Εἶπε δὲ αὐτῷ· Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 Καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνά τινα ὃς ἐπικαλεῖται Πέτρος·

CAPUT X

1 VIR autem quidam erat in Cæsarea nomine Cornelius, centurio ex cohorte vocata Italica,

2 Pius et timens Deum, cum omni domo sua, faciensque eleëmosynas multas plebi, et deprecans Deum per omne.

3 Vidit in visu manifeste quasi horam nonam diei, angelum Dei introeuntem ad se, et dicentem ei : Corneli.

4 Ille autem attendens ei, et pavefactus dixit : Quid est Domine ? Dixit autem illi : Orationes tuæ et eleëmosynæ tuæ ascenderunt in memoriam in conspectu Dei.

5 Et nunc mitte in Joppen viros, et accerse Simonem quendam qui cognominatur Petrus

6 Οὗτός ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν· οὗτος λαλήσει σοι τί σε δεῖ ποιεῖν.

6 Hic hospitatur apud quendam Simonem coriarium, cui est domus juxta mare: hic dicet tibi quid te oportet facere.

7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ,

7 Ut autem discessit angelus ille loquens Cornelio, vocatis duobus famulis suis, et milite pio assistentium ei,

8 Καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.

8 Et expositis illis omnibus, misit illos in Joppen.

9 Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων, καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἕκτην.

9 At postridie iter facientibus illis, et civitati appropinquantibus, ascendit Petrus supra domum precari, circa horam sextam.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. Παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις·

10 Factus est autem esuriens, et voluit gustare: Parantibus autem illis, cecidit super eum mentis excessus:

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς·

11 Et spectat cælum apertum, et descendens super se vas quoddam velut linteum magnum, quatuor initiis vinctum, et demissum in terram:

12 Ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

12 In quo erant omnia quadrupedia terræ, et feræ, et reptilia, et volatilia cæli.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀναστὰς Πέτρε, θῦσον, καὶ φάγε.

13 Et facta est vox ad eum: Surgens, Petre, occide et manduca.

14 Ὁ δὲ Πέτρος εἶπε· Μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

14 At Petrus ait: Nequaquam, Domine: quia nunquam manducavi omne commune aut immundum.

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

15 Et vox iterum ex secundo ad eum: Quæ Deus purificavit, tu ne commune dic.

16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.

16 Hoc autem factum est per ter: Et rursum receptum est vas in cælum.

17 Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι

17 Ut autem in seipsum hæsitabat Petrus quidnam esset visio quam vidisset, et ecce,

ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα.

18 Καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται.

19 Τοῦ δὲ Πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα, Ἰδοὺ, ἄνδρες τρεῖς ζητοῦσί σε·

20 Ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς.

21 Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτὸν, εἶπεν· Ἰδοὺ, ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν πάρεστε;

22 Οἱ δὲ εἶπον, Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεὸν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σου.

23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς, ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς· καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ.

24 Καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν· ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ, καὶ τοὺς ἀναγκαίους φίλους.

25 Ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν.

26 Ὁ δὲ Πέτρος αὐτὸν ἤγειρε, λέγων· Ἀνάστηθι· καὶγὼ αὐτὸς ἄνθρωπός εἰμι.

27 Καὶ συνομιλῶν αὐτῷ, εἰ-

viri missi à Cornelio, inquirentes domum Simonis, astiterunt ad vestibulum.

18 Et vocantes interrogabant si Simon cognominatus Petrus illic hospitatur.

19 At Petro cogitanti de visione, dixit ei Spiritus : Ecce, viri tres quærunt te :

20 Sed surgens descende, et vade cum eis, nihil ambigens : quia ego misi illos

21 Descendens autem Petrus ad viros missos à Cornelio ad ipsum, dixit : Ecce ego sum quem quæritis : quæ causa, propter quam adestis ?

22 Illi vero dixerunt, Cornelius centurio, vir justus et timens Deum, testimonio ornatusque à tota gente Judæorum, divinitus admonitus est ab angelo sancto accersere te in domum suam, et audire verba abs te.

23 Introvocans ergo eos recepit hospitio. At sequenti die Petrus exiit cum illis, et quidam fratrum ab Joppe comitati sunt eum.

24 Et altera die introierunt in Cæsaream : At Cornelius erat expectans eos, convocans cognatos suos et necessarios amicos.

25 Ut autem factum est ingredi Petrum, occurrens ei Cornelius, procidens ad pedes, adoravit.

26 At Petrus elevavit eum, dicens, Surge : et ego ipse homo sum.

27 Et colloquens ei, intra-

σῆλθε, καὶ εὗρίσκει συνεληλυθότας πολλούς.

28 Ἔφη τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· κἀμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον·

29 Διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με;

30 Καὶ ὁ Κορνήλιος ἔφη· Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδοὺ, ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ,

31 Καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

32 Πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.

33 Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε· σύ τε καλῶς ἐποίησας παραγενόμενος· νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν, ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα, εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός·

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι.

36 Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ, οὗτός ἐστι πάντων Κύριος.

37 Ὑμεῖς οἴδατε τὸ γενόμενον

vit, et invenit conventos multos.

28 Dixitque ad illos: Vos scitis ut nefas est viro Judæo conjungi aut accedere alienigenæ: Et mihi Deus ostendit neminem communem aut immundum dicere hominem.

29 Ideo et incontradicenter veni accersitus. Interrogo ergo, qua causa accersistis me?

30 Et Cornelius ait: A nudiusquarta die usque ad hanc horam eram jejunans, et nona hora orans in domo mea, et ecce vir stetit ante me in veste splendida,

31 Et ait: Corneli, exaudita est tua oratio, et eleëmosynæ tuæ commemoratæ sunt in conspectu Dei.

32 Mitte ergo in Joppen, et accerse Simonem, qui cognominatur Petrus: hic hospitatur in domo Simonis coriarii juxta mare: qui adveniens loquetur tibi.

33 Ex eadem ergo misi ad te: tuque bene fecisti adveniens: Nunc ergo omnes nos coram Deo adsumus, audire omnia præcepta tibi à Deo.

34 Aperiens autem Petrus os, dixit: in veritate deprehendo quia non est personarum acceptor Deus:

35 Sed in omni gente timens eum, et operans justitiam, acceptus illi est.

36 Verbum quod misit filiis Israël, annuntians pacem per Jesum Christum: hic est omnium Dominus.

37 Vos scitis factum verbum

ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης·

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ.

39 Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων, ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλὴμ, ὃν ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου.

40 Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι,

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ, μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν.

42 Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν·

43 Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

45 Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται·

46 Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος·

47 Μήτι τὸ ὕδωρ κωλῦσαι δύ-

per universam Judæam, incep tum à Galilæa, post baptismum quod prædicavit Joannes :

38 Jesum à Nazaret, ut unxit eum Deus Spiritu sancto et efficacia, qui pertransiit benefaciens et sanans omnes potestate oppressos à diabolo, quoniam Deus erat cum illo.

39 Et nos sumus testes omnium quæ fecit inque regione Judæorum et in Hierusalem : quem et occiderunt suspendentes in ligno.

40 Hunc Deus suscitavit tertia die, et dedit eum manifestum fieri :

41 Non omni populo, sed testibus præordinatis à Deo, nobis, qui commanducavimus et combibimus ei, post resurrexisse eum ex mortuis.

42 Et præcepit nobis prædicare populo, et testificari quia ipse est ille definitus à Deo judex vivorum et mortuorum.

43 Huic omnes Prophetæ testantur, remissionem peccatorum accipere per nomen ejus omnem credentem in eum.

44 Adhuc loquente Petro verba hæc, cecidit Spiritus sanctus super omnes audientes verbum.

45 Et obstupuerunt qui ex circumcisione fideles quotquot comitati fuerant Petrum, quia et in gentes donum sancti Spiritus effusum est.

46 Audiebant enim illos loquentes linguis, et magnificantes Deum. Tunc respondit Petrus :

47 Numquid aquam prohi-

ναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον, καθὼς καὶ ἡμεῖς;

48 Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου· Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

bere potest quis, ad non baptizari hos, qui Spiritum sanctum acceperunt sicut et nos?

48 Jussitque eos baptizari in nomine Domini Jesu. Tunc rogaverunt eum manere dies aliquot.

Κεφ. ιά. 11.

1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.

2 Καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς,

3 Λέγοντες· Ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς.

4 Ἀρξάμενος δὲ ὁ Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς, λέγων·

5 Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος· καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ,

6 Εἰς ἣν ἀτενίσας κατενόουν· καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

7 Ἤκουσα δὲ φωνῆς λεγούσης μοι· Ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε.

8 Εἶπον δέ· Μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.

9 Ἀπεκρίθη δέ μοι φωνὴ ἐκ

CAPUT XI.

1 AUDIERUNT autem Apostoli et fratres existentes apud Judæam, quoniam et Gentes receperunt verbum Dei.

2 Et quum ascendisset Petrus in Hierosolyma, discepta bant adversus illum qui ex circumcisione,

3 Dicentes: Quod ad viros præputium habentes ingressus es, et commanducasti eis.

4 Incipiens autem Petrus, exponebat illis secundum ordinem, dicens:

5 Ego eram in civitate Joppe orans: et vidi in excessu mentis visionem, descendens vas quoddam velut linteum magnum, quatuor initiis demissum ex cælo, et venit usque ad me:

6 In quod attendens considerabam, et vidi quadrupedia terræ, et bestias, et reptilia, et volatilia cæli.

7 Audivi autem vocem dicentem mihi: Surgens Petre, occide et manduca.

8 Dixi autem: Nequaquam, Domine: quia omne commune aut immundum nunquam introivit in os meum.

9 Respondit autem mihi vox

δευτέρου ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.

11 Καὶ ἰδοὺ, ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἦμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με.

12 Εἶπε δέ μοι τὸ πνεῦμα συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον. Ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρὸς,

13 Ἀπήγγειλέ τε ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· Ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον,

14 Ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου.

15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ.

16 Ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίου, ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ.

17 Εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς, ὡς καὶ ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;

18 Ἀκούσαντες δὲ ταῦτα, ἡσύχασαν, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες· Ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν.

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στε-

ex secundo de cælo: Quæ Deus mundavit, tu ne commune dixeris.

10 Hoc autem factum est per ter: et rursum recepta sunt omnia in cælum.

11 Et ecce ex eadem tres viri astiterunt in domo in qua eram, missi à Cæsarea ad me.

12 Dixit autem mihi Spiritus simul ire illis, nihil ambigentem. Venerunt autem cum me et sex fratres isti, et ingressi sumus in domum viri.

13 Annuntiavitque nobis quomodo vidisset angelum in domo sua stantem et dicentem sibi: Mitte in Joppen viros, et accerse Simonem cognominatum Petrum,

14 Qui loquetur verba ad te, in quibus salvus eris tu, et universa domus tua.

15 In vero incipere me loqui, cecidit Spiritus sanctus super eos, sicut et super nos in initio.

16 Recordatus sum autem verbi Domini, sicut dicebat: Joannes quidem baptizavit aqua, vos autem baptizabimini in Spiritu sancto.

17 Si ergo par donum dedit illis Deus, sicut et nobis, credentibus in Dominum Jesum Christum, ego autem quis eram potens prohibere Deum?

18 Audientes autem hæc, tacuerunt, et glorificaverunt Deum, dicentes: Nempe et gentibus Deus pœnitentiam dedit ad vitam.

19 Illi quidem igitur dispersi à tribulatione facta in Ste

φάνω, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.

20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἕλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

21 Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον.

22 Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν· καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας·

23 Ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ·

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς, καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον· καὶ εὑρὼν αὐτὸν, ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν.

26 Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανὸν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς, Χριστιανούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν.

28 Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

phano, perambulaverunt usque ad Phœnicem et Cyprum et Antiochiam, nemini loquentes verbum si non solum Judæis.

20 Erant autem quidam ex eis viri Cyprii et Cyrenæi, qui introeuntes in Antiochiam, loquebantur ad Hellenistas, euangelizantes Dominum Jesum.

21 Et erat manus Domini cum eis ad sanandum eos : multusque numerus credens conversus est ad Dominum.

22 Auditus est autem sermo ad aures ecclesiæ quæ in Hierosolymis super istis : et miserunt Barnabam venire usque Antiochiam.

23 Qui adveniens et videns gratiam Dei, gavisus est : et hortabatur omnes proposito cordis permanere Domino :

24 Quia erat vir bonus et plenus Spiritu sancto et fide Et apposita est turba multa Domino.

25 Profectus est autem in Tarsum Barnabas requirere Saulum : Et inveniens eum duxit eum in Antiochiam.

26 Factum est autem eos annum totum convenire in ecclesia, et docere turbam multam, appellarique primum in Antiochia discipulos Christianos.

27 In his autem diebus descenderunt ab Hierosolymis Prophetæ in Antiochiam.

28 Surgens autem unus ex eis nomine Agabus, significabat per Spiritum, famem magnam futuram in universam habitatam, quæ et facta est sub Claudio Cæsare.

29 Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς·

30 Ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

29 At discipulorum prout bene agebat quis, decreverunt singuli eorum in ministerium mittere habitantibus in Judea fratribus.

30 Quod et fecerunt, mittentes ad seniores per manum Barnabæ et Sauli.

Κεφ. ιβ'. 12.

1 ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας·

2 Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου, μαχαίρᾳ·

3 Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων·

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

6 Ὅτε δὲ ἤμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσὶ, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν·

7 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων. Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν·

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω,

1 PER illud autem tempus injecit Herodes rex manus male tractare quosdam de ecclesia.

2 Occidit autem Jacobum fratrem Joannis, gladio.

3 Et videns quod gratum est Judæis, apposuit apprehendere et Petrum : Erant autem dies azymorum :

4 Quem et prehendens misit in custodiam, tradens quatuor quaternionibus militum custodire eum : volens post Pascha producere eum populo.

5 Ille quidem igitur Petrus servabatur in custodia : Oratio autem erat assidua facta ab ecclesia ad Deum pro eo.

6 Quum autem futurus esset producere eum Herodes, nocte illa erat Petrus dormiens inter duos milites, vinctus catenis duabus, custodesque ante ostium servabant custodiam.

7 Et ecce angelus Domini adstitit, et lumen refulsit in carcere : pulsans autem latus Petri, excitavit eum, dicens Surge in celeritate. Et ceciderunt ejus catenæ de manibus.

8 Dixitque angelus ad eum : Præcingere, et subliga sandalia tua. Fecit autem sic. Et dixit

καὶ λέγει αὐτῷ· Περιζωλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.

9 Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν.

10 Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ.

11 Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

12 Συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι.

13 Κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη·

14 Καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστᾶναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος.

15 Οἱ δὲ πρὸς αὐτὴν εἶπον· Μαίνῃ; Ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν· οἱ δὲ ἔλεγον· Ὁ ἄγγελος αὐτοῦ ἐστιν.

16 Ὁ δὲ Πέτρος ἐπέμενε κρούων· ἀνοίξαντες δὲ εἶδον αὐτὸν, καὶ ἐξέστησαν.

17 Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾷν, διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς· εἶπε δέ· Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα.

illi : Circumda vestimentum, et sequere me.

9 Et exiens sequebatur eum, et nesciebat quia verum est factum per angelum : existimabat autem visum videre.

10 Transeuntes autem primam custodiam et secundam, venerunt ad civitatem, quæ spontanea aperta est eis : Et exeuntes processerunt virum unum : et continuo discessit angelus ab eo.

11 Et Petrus factus in seipso, dixit : Nunc scio vere quia emisit Dominus angelum suum, et eripuit me de manu Herodis, et omni expectatione plebis Judæorum.

12 Consideransque venit ad domum Mariæ matris Joannis, cognominati Marci, ubi erant multi congregati fratres et orantes.

13 Pulsante autem Petro ostium vestibuli, processit puella subauscultare, nomine Rhode

14 Et agnoscens vocem Petri, præ gaudio non aperuit vestibulum, introcurrens autem nuntiavit stare Petrum ante vestibulum.

15 Illi autem ad eam dixerunt : Insanis. Illa autem affirmabat sic habere. Illi autem dicebant : Angelus ejus est.

16 At Petrus perseverabat pulsans : Aperientes autem viderunt eum, et obstupuerunt.

17 Annuens autem eis manu tacere, narravit eis quomodo Dominus eum eduxisset de custodia : dixit autem : Annuntiate Jacobo et fratribus hæc

Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.

18 Γενομένης δὲ ἡμέρας, ἦν τάραχος οὐχ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο.

19 Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν, καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν, διέτριβεν.

20 Ἦν δὲ ὁ Ἡρώδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην· διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

21 Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς.

22 Ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου.

23 Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ· καὶ γενόμενος σκωληκόβρωτος, ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο.

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἰερουσαλὴμ, εἰς Ἀντιόχειαν, πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον.

Et egressus abiit in alium locum.

18 Facta autem die erat turbatio non parva in militibus, quidnam Petrus factus esset.

19 Herodes autem requirens eum, et non inveniens, inquirens custodes, jussit ad supplicium trahi : et descendens à Judæa in Cæsaream, commoratus est.

20 Erat autem Herodes iratus Tyriis et Sidoniis. Uno animo autem advenerunt ad eum, et persuadentes Blastum, qui super cubiculum regis, postulabant pacem, propter ali ipsorum regionem à regia.

21 Statuto autem die Herodes vestitus vestem regiam, et sedens pro tribunali, concionabatur ad eos.

22 At populus acclamabat : Vox Dei, et non hominis.

23 Confestim autem percussit eum angelus Domini, pro quibus non dedisset gloriam Deo : et factus vermibus corrosus exspiravit :

24 At verbum Dei crescebat et multiplicabatur.

25 Barnabas autem et Saulus reversi sunt ex Hierusalem implentes ministerium, simul assumentes et Joannem cognominatum Marcum.

Κεφ. ιγ'. 13.

1 Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ,τε Βαρνάβας καὶ Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος.

CAPUT XIII.

1 ERANT autem quidam in Antiochia apud existentem ecclesiam prophetæ et doctores, Barnabasque et Simon vocatus Niger, et Lucius Cyrenæus, Manahenque Herodis Tetrarchæ coëducatus, et Saulus

2 Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τόν τε Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.

2 Ministrantibus autem illis Domino et jejunantibus, dixit Spiritus sanctus: Segregate mihi Barnabamque et Saulum in opus quod advocavi eos.

3 Τότε νηστεύσαντες καὶ προσευξάμενοι, καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέλυσαν.

3 Tunc jejunantes et precati, et imponentes manus eis, dimiserunt.

4 Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον.

4 Hi quidem emissi à Spiritu sancto, descenderunt in Seleuciam, illincque abnavigaverunt in Cyprum.

5 Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. Εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

5 Et facti in Salamina, annuntiabant verbum Dei in synagogis Judæorum: Habebant autem et Joannem ministrum.

6 Διελθόντες δὲ τὴν νῆσον ἄχρι Πάφου, εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς,

6 Peragrantes autem insulam usque ad Paphum, invenerunt quendam magum pseudoprophetam Judæum, cui nomen Bar-jesus,

7 Ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ· οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον, ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ·

7 Qui erat cum Proconsule Sergio Paulo, viro prudente: Hic advocans Barnabam et Saulum, expetebat audire verbum Dei.

8 Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος· οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ, ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως.

8 Resistebat autem illis Elymas magus, sic enim interpretatur nomen ejus, quærens avertere Proconsulem à fide.

9 Σαῦλος δὲ, ὁ καὶ Παῦλος, πλησθεὶς πνεύματος ἁγίου, καὶ ἀτενίσας εἰς αὐτὸν,

9 Saulus autem, qui et Paulus, repletus Spiritu sancto, et intendens in eum,

10 Εἶπεν· Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥαδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

10 Dixit: O plene omni dolo et omni maleficentia, fili diaboli, inimice omnis justitiæ, non cessabis pervertere vias Domini rectas?

11 Καὶ νῦν ἰδοὺ, χεὶρ τοῦ Κυρίου ἐπὶ σέ· καὶ ἔσῃ τυφλὸς, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος· καὶ περιάγων ἐζήτει χειραγωγούς.

11 Et nunc ecce manus Domini super te: et eris cæcus, non videns solem usque ad tempus. Confestim autem cecidit in eum caligo et tenebræ: et circumiens quærebat manuductores

12 Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς, ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

12 Tunc videns Proconsul factum, credidit perculsus super doctrina Domini.

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

13 Provecti autem à Papho qui circa Paulum, venerunt in Pergen Pamphyliæ : Joannes autem discedens ab eis, reversus est in Hierosolyma.

14 Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων, ἐκάθισαν.

14 Illi vero pertranseuntes à Perge venerunt in Antiochiam Pisidiæ, et ingressi in synagogam die Sabbatorum, sederunt.

15 Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς, λέγοντες· Ἄνδρες ἀδελφοὶ, εἴ ἐστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε.

15 Post autem lectionem Legis et Prophetarum, miserunt principes synagogæ ad eos, dicentes : Viri fratres, si est sermo in vobis exhortationis ad plebem, dicite.

16 Ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ, εἶπεν· Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν Θεὸν, ἀκούσατε.

16 Surgens autem Paulus, et silentium indicens manu, ait : Viri Israëlitæ, et timentes Deum, audite.

17 Ὁ Θεὸς τοῦ λαοῦ τούτου Ἰσραὴλ, ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτῳ· καὶ μετὰ βραχίονος ὑψηλῷ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς·

17 Deus populi hujus Israël elegit patres nostros, et populum exaltavit in terra Ægypto, et cum brachio excelso eduxit eos ex ea.

18 Καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ·

18 Et quasi quadraginta annorum tempus mores sustinuit eorum in deserto ;

19 Καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληροδότησεν αὐτοῖς τὴν γῆν αὐτῶν·

19 Et delens gentes septem in terra Chanaan, sorte distribuit eis terram eorum.

20 Καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πενήκοντα, ἔδωκε κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου.

20 Et post hæc quasi annis quadringentis et quinquaginta dedit Judices, usque ad Samuel Prophetam.

21 Κἀκεῖθεν ἠτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ υἱὸν Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν, ἔτη τεσσαράκοντα·

21 Et exinde postulaverunt regem : et dedit illis Deus Saul filium Cis, virum de tribu Benjamin, annos quadraginta.

22 Καὶ μεταστήσας αὐτὸν, ἤγειρεν αὐτοῖς τὸν Δαβὶδ, εἰς βασι-

22 Et amovens eum, excitavit illis David in regem, cui et

λέα, ᾧ καὶ εἶπε μαρτυρήσας· "Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου."

23 Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγειρε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν,

24 Προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ.

25 Ὡς δὲ ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; Οὐκ εἰμὶ ἐγώ, ἀλλ' ἰδοὺ, ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι.

26 Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη.

27 Οἱ γὰρ κατοικοῦντες ἐν Ἰερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες, ἐπλήρωσαν, .

28 Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν.

29 Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον·

30 Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν,

31 Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἰερουσαλὴμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν.

32 Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν, ἡμῖν, ἀναστήσας Ἰησοῦν·

dixit testatus: Inveni David filium Jesse, virum secundum cor meum, qui faciet omnes voluntates meas.

23 Hujus Deus à semine secundum promissionem excitavit Israëli Salvatorem Jesum:

24 Prædicante Joanne ante faciem adventus ejus baptismum pœnitentiæ omni populo Israël.

25 Quum autem impleret Joannes cursum, dicebat: Quem me arbitramini esse? non sum ego: sed ecce venit post me, cujus non sum dignus calcea menta pedum solvere.

26 Viri fratres, filii generis Abraham, et qui in vobis timentes Deum, vobis verbum salutis hujus missum est.

27 Nam habitantes in Hierusalem et principes eorum, hunc ignorantes, et voces Prophetarum per omne Sabbatum lectas, judicantes, impleverunt·

28 Et nullam causam mortis invenientes, petierunt Pilatum interfici eum.

29 Ut autem consummarunt omnia de eo scripta, detrahentes à ligno posuerunt in monumentum.

30 At Deus excitavit eum ex mortuis.

31 Qui visus est per dies multos simul ascendentibus cum eo de Galilæa in Hierusalem: qui sunt testes ejus ad plebem.

32 Et nos vobis annuntiamus illam ad patres repromissionem factam, Quoniam hanc Deus adimplevit natis eorum nobis, resuscitans Jesum·

33 Ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται· "Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε."

34 Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἴρηκεν· "Ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά."

35 Διὸ καὶ ἐν ἑτέρῳ λέγει· "Οὐ δώσεις τὸν ὅσιόν σε ἰδεῖν διαφθοράν."

36 Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν·

37 Ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν.

38 Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται,

39 Καὶ ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται.

40 Βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφήταις·

41 "Ἴδετε οἱ καταφρονηταί, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν."

42 Ἐξιόντων δὲ ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων, παρεκάλουν τὰ ἔθνη εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.

43 Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς, ἔπειθον αὐτοὺς ἐπιμένειν τῇ χάριτι τοῦ Θεοῦ.

44 Τῷ τε ἐρχομένῳ σαββάτῳ

33 Sicut et in Psalmo secundo scriptum est: Filius meus es tu, ego hodie genui te.

34 Quod autem resuscitavit eum ex mortuis, non amplius futurum reverti in corruptionem, ita dixit: Quia dabo vobis sancta David fidelia.

35 Ideoque in alio dicit: Non dabis sanctum tuum videre corruptionem.

36 David quidem enim propria generatione administrans Dei voluntati, dormivit, et appositus est ad patres suos, et vidit corruptionem.

37 Quem vero Deus suscitavit, non vidit corruptionem.

38 Notum igitur sit vobis, viri fratres, quia per hunc vobis remissio peccatorum annuntiatur:

39 Et ab omnibus quibus non potuistis in Lege Mosi justificari, in hoc omnis credens justificatur.

40 Videte ergo ne superveniat in vos dictum in Prophetis:

41 Videte contemptores, et admiramini, et evanescite: quia opus ego operor in diebus vestris, cui non credetis, si quis enarraverit vobis.

42 Exeuntibus autem illis ex synagoga Judæorum, rogarunt gentes in sequens Sabbatum narrari sibi hæc verba.

43 Soluta autem synagoga, sequuti sunt multi Judæorum et colentium Deum proselytorum Paulum et Barnabam: qui ad loquentes eos, suadebant eis permanere gratiæ Dei

44 Ipso autem veniente sub

σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

45 Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοις ὑπὸ τοῦ Παύλου λεγομένοις, ἀντιλέγοντες καὶ βλασφημοῦντες.

46 Παῤῥησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας, εἶπον· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.

47 Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· " Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς."

48 Ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρον, καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου· καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον.

49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας·

50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν.

51 Οἱ δὲ ἐκλιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς, ἦλθον εἰς Ἰκόνιον.

52 Οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου.

Κεφ. ιδ'. 14.

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ, κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων,

bato pene universa civitas convenit audire verbum Dei.

45 Videntes autem Judæi turbas, repleti sunt zelo, et contradicebant à Paulo dictis, contradicentes et blasphemantes.

46 Libertate usi vero Paulus et Barnabas, dixerunt: Vobis erat necessarium primum dici verbum Dei: quandoquidem vero repellitis illud, et non dignos judicatis vos ipsos æternæ vitæ, ecce, convertimur ad Gentes.

47 Sic enim præcepit nobis Dominus: Posui te in lucem Gentium, ad existendum te in salutem usque ad extremum terræ.

48 Audientes autem Gentes gavisæ sunt, et glorificabant verbum Domini, et crediderunt quotquot erant ordinati ad vitam æternam.

49 Perferebatur autem verbum Domini per universam regionem.

50 At Judæi concitaverunt religiosas mulieres et honestas et primos civitatis, et excitaverunt persequutionem in Paulum et Barnabam, et ejecerunt eos de finibus suis.

51 Illi vero excutientes pulverem pedum suorum in eos, venerunt in Iconium.

52 At discipuli replebantur gaudio et Spiritu sancto

CAPUT XIV.

1 FACTUM est autem in Iconio juxta illud ipsum introire eos in synagogam Ju-

κοὶ λαλῆσαι οὕτως ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος.

2 Οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν.

3 Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παῤῥησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν

4 Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις.

5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτοὺς,

6 Συνιδόντες καὶ ἔφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον,

7 Κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι.

8 Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιεπεπατήκει·

9 Οὗτος ἤκουε τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι,

10 Εἶπε μεγάλῃ τῇ φωνῇ· Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός· Καὶ ἥλλετο, καὶ περιεπάτει.

11 Οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ Παῦλος, ἐπῆραν τὴν φωνὴν αὐτῶν, Λυκαονιστὶ λέγοντες· Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις καλέσησαν πρὸς ἡμᾶς·

12 Ἐκάλουν τε τὸν μὲν Βαρνάβαν, Δία· τὸν δὲ Παῦλον, Ἑρ-

dæorum, et loqui ita ut crederet Judæorumque et Græcorum multa multitudo.

2 At increduli Judæi suscitaverunt et male affectas reddiderunt animas Gentium adversus fratres.

3 Multo quidem igitur tempore demorati sunt libere loquentes in Domino testante verbo gratiæ suæ, et dante signa et prodigia fieri per manus eorum.

4 Divisa est autem multitudo civitatis : et hi quidem erant cum Judæis, hi vero cum Apostolis.

5 Ut autem factus est impetus Gentiumque et Judæorum cum principibus suis, injuriari et lapidare eos,

6 Intelligentes confugerunt ad civitates Lycaoniæ, Lystram et Derben, et circum regionem.

7 Et ibi erant euangelizantes.

8 Et quidam vir in Lystris impotens pedibus sedebat, claudus ex utero matris suæ subsistens, qui nunquam ambulaverat.

9 Hic audivit Paulum loquentem : qui intuitus eum, et videns quia fidem haberet ad salvum fieri,

10 Dixit magna voce, Surge super pedes tuos rectus. Et exiliebat et ambulabat.

11 At turbæ videntes quod fecerat Paulus, levaverunt vocem suam, Lycaonice dicentes Dii similati hominibus descenderunt ad nos.

12 Vocabantque quidem Barnabam, Jovem at Paulum,

μῆν· ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου.

13 Ὁ δὲ ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε θύειν·

14 Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες,

15 Καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε ; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν, καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς,

16 Ὃς ἐν ταῖς παρωχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν·

17 Καίτοι γε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν, ἀγαθοποιῶν, οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.

18 Καὶ ταῦτα λέγοντες, μόλις καλέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.

19 Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι.

20 Κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν· καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην.

21 Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανους, ὑπέστρεψαν εἰς τὴν Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν·

Mercurium : quoniam ipse erat dux verbi.

13 At sacerdos Jovis existentis ante civitatem eorum, tauros et coronas ad portas adferens, cum turbis volebat sacrificare.

14 Audientes autem Apostoli, Barnabas et Paulus, dirumpentes pallia sua, insiluerunt in turbam, clamantes,

15 Et dicentes : Viri, quid hæc facitis ? et nos similiter patibiles sumus vobis homines, annuntiantes vobis ab his vanis converti ad Deum vivum, qui fecit cælum et terram, et mare, et omnia quæ in eis.

16 Qui in præteritis generationibus dimisit omnes Gentes ingredi vias suas.

17 Quemquam non intestatum semetipsum reliquit, benefaciens, cælitus nobis pluvias dans et tempora fructifera, implens cibo et lætitia corda nostra.

18 Et hæc dicentes, vix sedaverunt turbas ad non sacrificandum sibi.

19 Supervenerunt autem ab Antiochia et Iconio Judæi, et suadentes turbis, et lapidantes Paulum, traxerunt extra civitatem, æstimantes eum mortuum esse.

20 Circumdantibus autem eum discipulis, surgens intravit in civitatem, et postridie exiit cum Barnaba in Derben.

21 Euangelizantesque civitatem illam, et docentes multos, reversi sunt in Lystram et Iconium et Antiochiam ·

32 Ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

23 Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν πεπιστεύκεισαν.

24 Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν.

25 Καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, καλέβησαν εἰς Ἀττάλειαν·

26 Κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν· ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν.

27 Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως.

28 Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

22 Confirmantes animas discipulorum, exhortantes permanere in fide, et quoniam per multas tribulationes oportet nos intrare in regnum Dei.

23 Ordinantes autem illis presbyteros per ecclesiam, precati cum jejunationibus, commendaverunt eos Domino in quem crediderunt.

24 Et transeuntes Pisidiam, venerunt in Pamphyliam.

25 Et loquentes in Perge verbum, descenderunt in Attaliam.

26 Et inde abnavigaverunt in Antiochiam, unde erant traditi gratiæ Dei in opus, quod compleverunt.

27 Advenientes autem et congregantes ecclesiam, annuntiaverunt quanta fecisset Deus cum illis, et quia aperuisset Gentibus ostium fidei.

28 Morati sunt autem illic tempus non modicum cum discipulis.

Κεφ. ιέ. 15.

1 Καί τινες καταβάντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφούς· Ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι.

2 Γενομένης οὖν στάσεως καὶ συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ, περὶ τοῦ ζητήματος τούτου.

3 Οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι

CAPUT XV.

1 Et quidam descendentes de Judæa, docebant fratres: Quia si non circumcidamini more Moysis, non potestis salvari.

2 Facta ergo seditione et disceptatione non exigua Paulo et Barnabæ adversus illos, statuerunt ascendere Paulum et Barnabam, et quosdam alios ex illis ad Apostolos et presbyteros in Hierusalem, de quæstione hac.

3 Illi quidem ergo deducti ab ecclesia, pertransibant Phœnicen, et Samariam, narrantes

τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς.

4 Παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν.

5 Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν φαρισαίων, πεπιστευκότες, λέγοντες· Ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως.

6 Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.

7 Πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ἡμῖν ἐξελέξατο, διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ πιστεῦσαι.

8 Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς, δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν·

9 Καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.

10 Νῦν οὖν τί πειράζετε τὸν Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;

11 Ἀλλὰ διὰ τῆς χάριτος Κυρίου Ἰησοῦ Χριστοῦ πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι.

12 Ἐσίγησε δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι δι' αὐτῶν.

13 Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς,

conversionem Gentium. et faciebant gaudium magnum omnibus fratribus.

4 Advenientes autem in Hierusalem, suscepti sunt ab Ecclesia et Apostolis, et senioribus, annuntiaveruntque quanta Deus fecisset cum illis.

5 Exsurrexerunt autem quidam de hæresi Pharisæorum credentes, dicentes: Quia oportet circumcidere eos, præcipereque servare legem Moysis.

6 Congregati sunt autem Apostoli et seniores videre de verbo hoc.

7 Multa autem conquisitione facta, surgens Petrus dixit ad eos: Viri fratres, vos scitis quoniam à diebus antiquis Deus in nobis elegit per os meum audire Gentes verbum Euangelii, et credere.

8 Et corda noscens Deus testatus est eis, dans illis Spiritum sanctum, sicut et nobis:

9 Et nihil discrevit inter nosque et illos, fide purificans corda eorum.

10 Nunc ergo quid tentatis Deum, imponere jugum super cervicem discipulorum, quod neque patres nostri neque nos potuimus portare?

11 Sed per gratiam Domini Jesu Christi credimus salvari, quemadmodum et illi.

12 Tacuit autem omnis multitudo, et audiebant Barnabam et Paulum narrantes, quanta fecisset Deus signa et prodigia in Gentibus per eos.

13 Post autem tacere eos,

ἀπεκρίθη Ἰάκωβος, λέγων· Ἄνδρες ἀδελφοί, ακούσατέ μου.

14 Συμεὼν ἐξηγήσαλο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ τῷ ὀνόμαλι αὐτοῦ,

15 Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπλαι·

16 "Μετὰ ταῦτα ἀναστρέψω, καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ καλεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν,

17 Ὅπως ἂν ἐκζηλήσωσιν οἱ καλάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάνλα τὰ ἔθνη ἐφ' οὓς ἐπικέκληλαι τὸ ὄνομά μου ἐπ' αὐτούς· λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα.

18 Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάνλα τὰ ἔργα αὐτοῦ."

19 Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεὸν,

20 Ἀλλὰ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικλοῦ, καὶ τοῦ αἵμαλος·

21 Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων καλὰ πόλιν τοὺς κηρύσσονλας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς καλὰ πᾶν σάββατον ἀναγινωσκόμενος.

22 Τότε ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυλέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀνλιόχειαν, σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ· Ἰούδαν τὸν ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς·

23 Γράψανλες διὰ χειρὸς αὐτῶν τάδε· Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ, τοῖς καλὰ τὴν

respondit Jacobus, dicens: Viri fratres, audite me.

14 Simeon narravit quemadmodum primum Deus respexit sumere ex Gentibus populum in nomine suo.

15 Et huic concordant verba Prophetarum, sicut scriptum est:

16 Post hæc revertar, et reædificabo tabernaculum David collapsum, et diruta ejus reædificabo, et erigam illud:

17 Ut requirant cæteri hominum Dominum, et omnes Gentes super quas invocatum est nomen meum super eos: dicit Dominus faciens hæc omnia.

18 Nota à seculo sunt Deo omnia opera ejus.

19 Ideo ego judico non obturbari ex Gentibus conversos ad Deum:

20 Sed mittere eis ad abstinendum à contaminationibus simulachrorum et fornicatione et suffocato et sanguine.

21 Moyses enim ex generationibus antiquis per civitatem prædicantes eum habet, in synagogis per omnē sabbatum lectus.

22 Tunc visum est Apostolis, et senioribus cum omni ecclesia, electos viros ex eis mittere cum Paulo et Barnaba in Antiochiam, Judam cognominatum Barsabam, et Silam, viros ductores in fratribus:

23 Scribentes per manus eorum hæc: Apostoli, et seniores et fratres, his qui apud Antio-

Ἀνλιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν, χαίρειν.

24 Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλάμεθα,

25 Ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν, ἐκλεξαμένοις ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ,

26 Ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τῆ Κυρίου ἡμῶν Ἰησοῦ Χριστῆ.

27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά.

28 Ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν ἐπάναγκες τούτων,

29 Ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. Ἔρρωσθε.

30 Οἱ μὲν οὖν ἀπολυθέντες ἦλθον εἰς Ἀντιόχειαν· καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν.

31 Ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει·

32 Ἰούδας δὲ καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφὲς, καὶ ἐπεστήριξαν.

33 Ποιήσαντες δὲ χρόνον, ἀπελυθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους·

34 Ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ.

35 Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες

chiam, et Syriam, et Ciliciam fratribus qui ex Gentibus, gaudere.

24 Quandoquidem audivimus quia quidam ex nobis exeuntes turbaverunt vos verbis, labefactantes animas vestras, dicentes circumcidi, et servare legem, quibus non mandavimus :

25 Visum est nobis factis concorditer, electos viros mittere ad vos, cum dilectis nostris Barnaba et Paulo,

26 Hominibus tradentibus animas suas pro nomine Domini nostri Jesu Christi.

27 Misimus ergo Judam et Silam, et eos per sermonem annuntiantes eadem.

28 Visum est enim sancto Spiritui et nobis, nihil amplius imponere vobis onus, quam necessarium horum :

29 Abstinere immolatis simulachrorum et sanguine et suffocato et fornicatione : ex quibus custodientes vos ipsos, bene agetis. Valete.

30 Illi quidem ergo dimissi, venerunt in Antiochiam, et congregantes multitudinem tradiderunt epistolam.

31 Legentes autem, gavisi sunt super cohortatione.

32 Judasque et Silas, et ipsi prophetæ existentes, per sermonem multum exhortati sunt fratres, et confirmaverunt.

33 Facientes autem tempus, dimissi sunt cum pace à fratribus ad Apostolos.

34 Visum est autem Silæ remanere ibi.

35 Paulus autem et Barnabas demorabantur in Antiochia,

καὶ εὐαγγελιζόμενοι, μετὰ καὶ ἑτέρων πολλῶν, τὸν λόγον τοῦ Κυρίου.

36 Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς καθηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι.

37 Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ἰωάννην τὸν καλούμενον Μάρκον·

38 Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον.

39 Ἐγένετο οὖν παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων· τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον, ἐκπλεῦσαι εἰς Κύπρον·

40 Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε, παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν.

41 Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας.

docentes et euangelizantes cum et aliis pluribus verbum Domini.

36 Post autem aliquot dies dixit Paulus ad Barnabam: Revertentes visitemus fratres nostros per omnem civitatem, in quibus annuntiavimus verbum Domini, quomodo habent.

37 Barnabas autem consuluit coassumere Joannem vocatum Marcum:

38 Paulus autem ducebat, illum absistentem ab eis de Pamphylia, et non coëuntem eis in opus, non coassumere hunc.

39 Facta est ergo irritatio, ita ut abscedere eos ab invicem: ipsumque Barnabam assumentem Marcum enavigare in Cyprum.

40 Paulus vero eligens Silam abiit, traditus gratiæ Dei à fratribus.

41 Perambulabat autem Syriam et Ciliciam, confirmans ecclesias.

Κεφ. ις'. 16.

1 Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν· καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος,

2 Ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν·

3 Τοῦτον ἐθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν· καὶ λαβὼν περιέτεμεν αὐτὸν, διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχεν.

CAPUT XVI.

1 PERVENIT autem in Derben et Lystram: et ecce discipulus quidam erat ibi, nomine Timotheus, filius mulieris cujusdam Judææ fidelis, patris autem Græci;

2 Qui testimonio probabatur ab his qui in Lystris et Iconio fratribus.

3 Hunc voluit Paulus cum se proficisci: et assumens circumcidit eum propter Judæos existentes in locis illis: sciebant enim omnes patrem ejus quod Græcus erat.

4 Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἰερουσαλήμ.

5 Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν.

6 Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ,

7 Ἐλθόντες κατὰ τὴν Μυσίαν, ἐπείραζον κατὰ τὴν Βιθυνίαν πορεύεσθαι· καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα.

8 Παρελθόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρωάδα.

9 Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ· Ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς παρακαλῶν αὐτὸν, καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν.

10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς.

11 Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρωάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην· τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν·

12 Ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις, κολώνια. Ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς·

13 Τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ εἶναι· καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί.

14 Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων,

4 Quum autem pertransirent civitates, tradebant eis custodire dogmata judicata ab Apostolis et senioribus qui in Hierusalem.

5 Ipsæ quidem ergo ecclesiæ confirmabantur fide, et abundabant numero per diem.

6 Transeuntes autem Phrygiam et Galaticam regionem vetiti sunt à sancto Spiritu loqui verbum in Asia,

7 Venientes versus Mysiam, tentabant versus Bithyniam ire: et non permisit eos Spiritus

8 Prætereuntes autem Mysiam, descenderunt in Troadem.

9 Et visio per noctem conspecta est Paulo: Vir quidam erat Macedo stans deprecans eum, et dicens: Transiens in Macedoniam adjuva nos.

10 Ut autem visum vidit, statim quæsivimus proficisci in Macedoniam, colligentes quod vocasset nos Dominus euangelizare eis.

11 Provecti ergo à Troade, recta cucurrimus in Samothraciam, et sequenti in Neapolim

12 Indeque in Philippos, quæ est prima partis Macedoniæ civitas, Colonia. eramus autem in hac urbe versantes dies aliquot.

13 Ipsaque die sabbatorum egressi sumus extra urbem juxta flumen, ubi solebat oratio esse: et sedentes loquebamur convenientibus mulieribus.

14 Et quædam mulier nomine Lydia purpuræ venditrix

σεβομένη τὸν Θεὸν, ἤκουεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν, προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου.

15 Ὡς δὲ ἐβαπτίσθη, καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε, λέγουσα· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε. Καὶ παρεβιάσατο ἡμᾶς.

16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος, ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς, μαντευομένη.

17 Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· Οὗτοι οἱ ἄνθρωποι, δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας.

18 Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας· διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε· Παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν ἀπ' αὐτῆς. Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας·

20 Καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες·

21 Καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσι.

22 Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν· καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια, ἐκέλευον ῥαβδίζειν·

23 Πολλάς τε ἐπιθέντες αὐτοῖς

civitatis Thyatirenorum, colens Deum, audivit: cujus Dominus aperuit cor, intendere effatis à Paulo.

15 Ut autem baptizata est, et domus ejus, deprecata est, dicens: Si judicastis me fidelem Domino esse, ingredientes in domum meam manete: et coëgit nos.

16 Factum est autem euntibus nobis ad orationem, puellam quandam habentem spiritum Pythonis, occurrere nobis, quæ quæstum multum præstabat dominis suis, vaticinans.

17 Hæc subsequuta Paulum et nos, clamabat, dicens: isti homines servi Dei excelsi sunt, qui annuntiant vobis viam salutis.

18 Hoc autem faciebat ad multos dies: dolens autem Paulus, et conversus, spiritui dixit; Præcipio tibi in nomine Jesu Christi exire ab ea. Et exiit eadem hora.

19 Videntes autem domini ejus quia exivit spes quæstus eorum, apprehendentes Paulum et Silam, traxerunt in forum ad principes.

20 Et offerentes eos præfectis, dixerunt: Hi homines conturbant nostram civitatem, Judæi subsistentes:

21 Et annuntiant mores, quos non licet nobis suscipere, neque facere Romanis existentibus.

22 Et consurrexit turba adversus eos, et præfecti dirumpentes eorum vestes, jusserunt flagellare.

23 Multasque imponentes

πληγὰς, ἔβαλον εἰς φυλακὴν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς.

24 Ὃς παραγγελίαν τοιαύτην εἰληφὼς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον.

25 Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν· ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι.

26 Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.

27 Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους.

28 Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε.

29 Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος γενόμενος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ·

30 Καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ;

31 Οἱ δὲ εἶπον· Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου.

32 Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.

33 Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν· καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα·

eis plagas, miserunt in custodiam, mandantes vinctorum custodi tutò custodire eos.

24 Qui mandatum tale accipiens, misit eos in interiorem carcerem, et pedes eorum strinxit in lignum.

25 Secundum autem mediam noctem Paulus et Silas orantes laudabant Deum : audiebant autem eos vincti.

26 Subito vero terræmotus factus est magnus, ita ut moveri fundamenta carceris : aperta suntque statim ostia omnia, et universorum vincula remissa sunt.

27 E somnis autem factus vinctorum custos, et videns apertas januas carceris, educens gladium, futurus erat seipsum interficere, æstimans effugisse vinctos.

28 Clamavit autem voce magna Paulus, dicens : Nihil feceris tibi ipsi malum : universi enim sumus hic.

29 Petens vero lumen irrupit, et tremefactus factus procidit Paulo et Silæ.

30 Et producens eos foras, ait : Domini, quid me oportet facere ut server ?

31 Illi autem dixerunt : Crede in Dominum Jesum Christum, et servaberis tu et domus tua.

32 Et loquuti sunt ei verbum Domini, et omnibus qui erant in domo ejus.

33 Et tollens eos in illa hora noctis, lavit à plagis : et baptizatus est ipse et ejus omnes continuo

34 Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ.

35 Ἡμέρας δὲ γενομένης ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες· Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους.

36 Ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον· Ὅτι ἀπεστάλκασιν οἱ στρατηγοί, ἵνα ἀπολυθῆτε· νῦν οὖν ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ.

37 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· Δείραντες ἡμᾶς δημοσίᾳ, ἀκαταχρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν, καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; Οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἐξαγαγέτωσαν.

38 Ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· καὶ ἐφοβήθησαν ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσι.

39 Καὶ ἐλθόντες παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως.

40 Ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον εἰς τὴν Λυδίαν· καὶ ἰδόντες τοὺς ἀδελφούς, παρεκάλεσαν αὐτούς, καὶ ἐξῆλθον.

34 Perducensque eos in domum suam, apposuit mensam, et lætatus est cum omni domo credens Deo.

35 Die autem facto miserunt magistratus lictores, dicentes: Dimitte homines illos.

36 Annuntiavit autem carceris custos verba hæc ad Paulum: Quia miserunt magistratus, ut dimittamini: nunc igitur exeuntes, ite in pace.

37 At Paulus ait ad eos: Cædentes nos publice, indemnatos, homines Romanos subsistentes, miserunt in carcerem, et nunc occultè nos ejiciunt? non enim: sed venientes ipsi nos educant.

38 Renuntiaverunt autem magistratibus lictores verba hæc: et timuerunt audientes quod Romani essent.

39 Et venientes deprecati sunt eos, et educentes rogabant egredi urbe.

40 Exeuntes autem de custodia introierunt ad Lydiam: et videntes fratres, consolati sunt eos, et egressi sunt.

Κεφ. ιζ'. 17.

1 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων.

2 Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν,

3 Διανοίγων καὶ παραλιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός

CAPUT XVII.

1 ITER facientes autem per Amphipolim et Apolloniam, venerunt in Thessalonicam, ubi erat synagoga Judæorum.

2 Secundum autem consuetum Paulo introivit ad eos, et per Sabbata tria differebat eis de scripturis.

3 Adaperiens et proponens, quia Christum oportuit pati, et resurgere à mortuis: et quia

ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

4 Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι.

5 Ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον·

6 Μὴ εὑρόντες δὲ αὐτοὺς, ἔσυρον τὸν Ἰάσονα, καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες· Ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν,

7 Οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράττουσι, βασιλέα λέγοντες ἕτερον εἶναι, Ἰησοῦν.

8 Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα.

9 Καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.

10 Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν· οἵτινες παραγενόμενοι, εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων ἀπῆσαν.

11 Οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς, εἰ ἔχοι ταῦτα οὕτω.

12 Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων

hic est Christus Jesus, quem ego annuntio vobis.

4 Et quidam ex eis persuasi sunt, et adjuncti sunt Paulo et Silæ, et religiosorum Græcorum multa multitudo, mulierumque primariarum non paucæ.

5 Æmulantes autem Judæi impersuasi, et assumentes circumforaneorum quosdam viros malos, et turbam facientes, concitaverunt civitatem : instantesque domui Jasonis, quærebant eos ducere in populum.

6 Non invenientes autem eos, trahebant Jasonem et quosdam fratres ad principes civitatis, clamantes : Quoniam habitatam subvertentes, hi et hic adsunt,

7 Quos suscepit Jason : et hi omnes contra decreta Cæsaris faciunt, regem dicentes alium, Jesum.

8 Concitaverunt autem turbam et principes civitatis audientes hæc :

9 Et accipientes satisfactionem à Jasone et cæteris, dimiserunt eos.

10 At fratres confestim per noctem emiserunt Paulum et Silam in Berœam, qui adveni entes, in synagogam Judæorum abierunt.

11 Hi autem erant generosiores iis qui in Thessalonica, qui susceperunt verbum cum omni alacritate, per diem scru tantes scripturas, si haberent hæc ita.

12 Multi quidem ergo ex eis crediderunt, et Græcarum mu-

γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι.

13 Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ, σαλεύοντες τοὺς ὄχλους.

14 Εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ, ὅτε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ.

15 Οἱ δὲ καθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν· καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῆεσαν.

16 Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν.

17 Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

18 Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνεβαλλον αὐτῷ· καί τινες ἔλεγον· Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δέ· Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο.

19 Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπό σου λαλουμένη διδαχή;

20 Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι.

lierum honestarum, et virorum non pauci.

13 Quum autem cognovissent ex Thessalonica Judæi, quia et in Berœa annuntiatum est à Paulo verbum Dei, venerunt et illuc, concitantes turbas.

14 Statim autem tunc Paulum dimiserunt fratres ire usque ad mare: remanserunt autem Silasque et Timotheus ibi.

15 At tuto collocaturi Paulum, perduxerunt eum usque ad Athenas: et accipientes mandatum ad Silam et Timotheum, ut quam citissime venirent ad illum, abierunt.

16 In autem Athenis exspectante eos Paulo, incitabatur spiritus ejus in ipso, videnteidololatram existentem civitatem.

17 Disputabat quidem igitur in synagoga Judæis et colentibus, et in foro per omnem diem ad contingentes.

18 Quidam autem Epicureorum et Stoicorum Philosophorum conferebant cum eo: et quidam dicebant: Quid utique vult seminator verborum hic dicere? hi autem: Peregrinorum dæmoniorum videtur annuntiator esse: quia Jesum et resurrectionem annuntiabat.

19 Apprehendentesque eum, ad Areopagum duxerunt, dicentes: Possumus scire quæ nova hæc à te effata doctrina?

20 Peregrina enim quædam infers in aures nostras: volumus ergo scire quid utique velint hæc esse

21 Αθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

23 Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο· Ἀγνώστῳ Θεῷ· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.

24 Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ·

25 Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν κατὰ πάντα.

26 Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν·

27 Ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν· καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.

28 Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν· ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ καὶ γένος ἐσμέν.

29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.

30 Τοὺς μὲν οὖν χρόνους τῆς

21 Athenienses autem omnes et advenæ hospites ad nihil aliud vacabant quam dicere aliquid et audire novum.

22 Stans autem Paulus in medio Areopagi, ait : Viri Athenienses, per omnia quasi superstitiosiores vos aspicio.

23 Præteriens enim et contemplans sacra vestra, inveni et aram in qua scriptum erat : Ignoto Deo : Quem ergo ignorantes colitis, hunc ego annuntio vobis.

24 Deus faciens mundum et omnia quæ in eo, hic cæli et terræ Dominus existens, non in manufactis templis habitat.

25 Nec à manibus hominum colitur, indigens aliquo, ipse dans omnibus vitam et inspirationem et omnia.

26 Fecitque ex uno sanguine omne genus hominum inhabitare super universam faciem terræ : definiens præstituta tempora, et terminos habitationis eorum :

27 Quærere Dominum, si forte attrectent eum et inveniant : quamvis non longe ab unoquoque nostrum subsistentem.

28 In ipso enim vivimus et movemur et sumus : sicut et quidam apud vos poëtarum dixerunt : Ipsius enim et genus sumus.

29 Genus ergo subsistentes Dei, non debemus æstimare, auro aut argento aut lapidi, sculpturæ artis et cogitationis hominis, Divinum esse simile.

30 Ipsa quidem ergo tem-

ἀγνοίας ὑπερ.δὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν.

31 Διότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον· οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου πάλιν περὶ τούτου.

33 Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

34 Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

Κεφ. ιή. 18.

1 Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον·

2 Καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς.

3 Καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς, καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην.

4 Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας.

5 Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ,τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦ-

pora hujus ignorantiæ despiciens Deus, nunc annuntiat hominibus omnibus ubique pœnitere:

31 Propter quod statuit diem in quo futurus est judicare habitatam in justitia, in viro quo statuit, fidem præbens omnibus, suscitans eum à mortuis.

32 Audientes autem resurrectionem mortuorum, hi quidem irridebant, hi vero dixerunt: Audiemus te iterum de hoc.

33 Et sic Paulus exivit de medio eorum.

34 Quidam vero viri adhærentes ei, crediderunt: in quibus et Dionysius Areopagita, et mulier nomine Damaris, et alii cum eis.

CAPUT XVIII.

1 POST autem hæc egressus Paulus ab Athenis, venit in Corinthum.

2 Et inveniens quendam Judæum nomine Aquilam, Ponticum genere, nuper venientem ab Italia, et Priscillam uxorem ejus, propter ordinasse Claudium discedere omnes Judæos à Roma, accessit eos.

3 Et propter ejusdem artis esse, manebat apud eos, et operabatur: erant enim taber naculi factores artem.

4 Disputabat autem in synagoga per omne sabbatum sua debatque Judæis et Græcis.

5 Ut autem venissent de Macedonia, Silasque et Timotheus, constringebatur spiritu

λος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν.

6 Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγὼ, ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.

7 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεὸν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων ἀκουοντες ἐπίστευον, καὶ ἐβαπτίζοντο.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς·

10 Διότι ἐγώ εἰμι μετά σου, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε· διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.

11 Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, καλεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,

13 Λέγοντες· Ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.

14 Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρὸν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν·

15 Εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι

Paulus, testificans Judæis Christum Jesum.

6 Oppositis autem eis, et blasphemantibus, excutiens vestimenta, dixit ad eos : Sanguis vester super caput vestrum : mundus ego, à nunc ad gentes vadam.

7 Et migrans inde, intravit in domum cujusdam nomine Justi, colentis Deum, cujus domus erat conjuncta synagogæ.

8 Crispus autem archisynagogus credidit Domino cum omni domo sua : et multi Corinthiorum audientes credebant, et baptizabantur.

9 Dixit autem Dominus per visionem in nocte Paulo : Ne time, sed loquere, et ne taceas.

10 Propter quod ego sum tecum, et nemo apponetur tibi ad malefaciendum tibi, propter quod populus est mihi multus in civitate hac.

11 Seditque annum et menses sex, docens in eis verbum Dei.

12 Gallione autem proconsule Achaiæ, insurrexerunt concorditer Judæi Paulo, et adduxerunt eum ad tribunal,

13 Dicentes : Quia contra legem hic persuadet hominibus colere Deum.

14 Futuro autem Paulo aperire os, dixit Gallio ad Judæos : Si quidem ergo esset injuria aliqua aut facinus malum, ô Judæi, juxta rationem utique sustinerem vos.

15 Si vero quæstio est de verbo et nominibus et lege quæ secundum vos, videritis ipsi : judex enim ego horum non volo esse

16 Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.

16 Et abegit eos à tribunali.

17 Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν.

17 Apprehendentes autem omnes Græci Sosthenem principem synagogæ, percutiebant ante tribunal: et nihil eorum Gallioni curæ erat.

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν Συρίαν· καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν.

18 At Paulus adhuc admanens dies multos, fratribus valefaciens, enavigavit in Syriam: et cum eo Priscilla et Aquila, tonsus caput in Cenchreis: habebat enim votum.

19 Κατήντησε δὲ εἰς Ἔφεσον, κἀκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν, διελέχθη τοῖς Ἰουδαίοις·

19 Devenit autem in Ephesum, et illos reliquit ibi: ipse vero ingressus in synagogam, disputabant Judæis.

20 Ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν·

20 Interrogantibus autem eis super plus tempus manere apud eos, non consensit:

21 Ἀλλ' ἀπετάξατο αὐτοῖς, εἰπών· Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. Καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου.

21 Sed valedixit eis, dicens: Oportet me omnino festum venientem facere in Hierosolyma: iterum autem revertar ad vos, Deo volente. Et profectus est ab Epheso.

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν.

22 Et descendens in Cæsaream, ascendens et salutans ecclesiam, descendit in Antiochiam.

23 Καὶ ποιήσας χρόνον τινὰ, ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς.

23 Et faciens tempus aliquod, profectus est, perambulans ex ordine Galaticam regionem et Phrygiam, confirmans omnes discipulos.

24 Ἰουδαῖος δέ τις, Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς·

24 Judæus autem quidam Apollos nomine, Alexandrinus genere, vir eloquens, devenit in Ephesum, potens existens in scripturis.

25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου· καὶ ζέων τῷ πνεύματι, ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.

25 Hic erat edoctus viam Domini, et fervens spiritu loquebatur, et docebat diligenter ea quæ de Domino, sciens tantum Baptisma Joannis.

26 Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. Ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάξοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν.

27 Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος·

28 Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν, εἶναι τὸν Χριστὸν Ἰησοῦν.

26 Hicque cœpit fiducialiter agere in synagoga. Audientes autem eum Aquila et Priscilla, assumpserunt eum, et diligentius ei exposuerunt viam Dei.

27 Volente autem eo ire in Achaiam, exhortati fratres scripserunt discipulis excipere eum : qui adveniens contulit multum credentibus per gratiam.

28 Vehementer enim Judæos redarguebat publice, ostendens per scripturas, esse Christum Jesum.

Κεφ. ιθ'. 19.

CAPUT XIX.

1 Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητὰς,

1 FACTUM est autem in Apollo esse in Corintho, Paulum peragrantem superiores partes, venire in Ephesum : et inveniens quosdam discipulos,

2 Εἶπε πρὸς αὐτούς· Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες ; Οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν, ἠκούσαμεν.

2 Dixit ad eos : Si Spiritum sanctum accepistis credentes ? Illi autem dixerunt ad eum : Sed neque si Spiritus sanctus est, audivimus.

3 Εἶπέ τε πρὸς αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε ; Οἱ δὲ εἶπον· Εἰς τὸ Ἰωάννου βάπτισμα.

3 Dixitque ad eos : In quid ergo baptizati estis ? Illi autem dixerunt : In Joannis baptisma.

4 Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν.

4 Dixit autem Paulus, Joannes quidem baptizavit baptisma pœnitentiæ, populo dicens : In venientem post ipsum ut crederent, hoc est, in Christum Jesum.

5 Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ,

5 Audientes autem baptizati sunt in nomine Domini Jesu

6 Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς· ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον.

6 Et imponente illis Paulo manus, venit Spiritus sanctus super eos : loquebanturque linguis, et prophetabant.

7 Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο.

8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο, ἐπὶ μῆνας τρεῖς διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

9 Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν, ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου·

12 Ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν.

13 Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες· Ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν ὁ Παῦλος κηρύσσει.

14 Ἦσαν δε τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ, οἱ τοῦτο ποιοῦντες.

15 Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε· Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ;

16 Καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμ-

7 Erant autem omnes viri fere duodecim.

8 Introgressus autem in synagogam, libere loquebatur per menses tres disputans et suadens quæ de regno Dei.

9 Quum autem quidam indurarentur et non crederent, maledicentes viam coram multitudine, discedens ab eis, segregavit discipulos, quotidie disputans in schola Tyranni cujusdam.

10 Hoc autem factum est per annos duos, ita ut omnes habitantes Asiam audire verbum Domini Jesu, Judæosque et Græcos.

11 Virtutesque non vulgares faciebat Deus per manus Pauli.

12 Ita ut etiam super languidos adferri à corpore ejus sudaria vel semicinctia, et abscedere ab eis languores, et spiritus malignos exire ab eis.

13 Tentaverunt autem quidam de circumeuntibus Judæis exorcistis invocare super habentes spiritus malos nomen Domini Jesu, dicentes: Adjuramus vos Jesum quem Paulus prædicat.

14 Erant autem quidam filii Scevæ Judæi principis sacerdotum septem, hoc facientes:

15 Respondens autem spiritus malignus, dixit: Jesum novi, et Paulum scio: vos autem qui estis?

16 Et insiliens in eos homo in quo erat spiritus malignus, et prædominatus eis, invaluit contra eos, ita ut nudos et

νοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.

17 Τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον· καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

18 Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν.

19 Ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, συνενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε.

20 Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν.

21 Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἰερουσαλὴμ, εἰπών· Ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν.

22 Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.

24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην,

25 Οὓς συναθροίσας, καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· Ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι·

26 Καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος

vulneratos effugere ex domo illa.

17 Hoc autem factum est notum omnibus Judæisque et Græcis habitantibus Ephesum: et cecidit timor super omnes illos, et magnificabatur nomen Domini Jesu.

18 Multique credentium veniebant, confitentes et annuntiantes actus suos.

19 Multi autem curiosa agentium, conferentes libros combusserunt coram omnibus, et computaverunt pretia illorum, et invenerunt argenti myriades quinque.

20 Ita per potentiam verbum Domini crescebat et invalescebat.

21 Ut autem impleta sunt hæc, proposuit, Paulus in Spiritu, pervadens Macedoniam et Achaiam, ire in Hierusalem, dicens: Quod post fieri me ibi, oportet me et Romam videre.

22 Mittens autem in Macedoniam duos ministrantium sibi, Timotheum et Erastum, ipse remansit tempus in Asiam.

23 Facta est autem secundum tempus illud turbatio non parva de via.

24 Demetrius enim quidam nomine, argenti cælator, faciens ædes argenteas Dianæ, præstabat artificibus quæstum non modicum.

25 Quos congregans, et eos qui circa talia opifices, dixit: Viri, scitis quia de hoc opificio acquisitio nobis est.

26 Et spectatis, et auditis quia non solum Ephesi, sed pene totius Asiæ, Paulus hic

οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι.

27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν λογισθῆναι, μέλλειν δὲ καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.

28 Ἀκούσαντες δὲ, καὶ γενόμενοι πλήρεις θυμοῦ, ἔκραζον λέγοντες· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

29 Καὶ ἐπλήσθη ἡ πόλις ὅλη συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον, συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους τοῦ Παύλου.

30 Τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί.

31 Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.

32 Ἄλλοι μὲν οὖν ἄλλό τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ἤδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν.

33 Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας τὴν χεῖρα, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ.

34 Ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν

suadens avertit multam turbam, dicens : Quoniam non sunt Dii per manus facti.

27 Non solum autem hæc periclitatur nobis pars in redargutionem venire, sed et magnæ deæ Dianæ templum in nihilum reputari, futurumque et destrui majestatem ejus, quam tota Asia et habitata colit.

28 Audientes autem, et facti pleni excandescentia, exclamaverunt dicentes : Magna Diana Ephesiorum.

29 Et impleta est civitas tota confusione, irrueruntque unanimiter in theatrum, corripientes Cajum et Aristarchum Macedonas, comites Pauli.

30 At Paulo volente intrare in populum, non siverent eum discipuli.

31 Quidam autem et Asiæ principum existentes ei amici, mittentes ad eum, rogarunt non dare seipsum in theatrum.

32 Alii quidem ergo aliud quid clamabant ; erat enim ecclesia confusa, et plures nesciebant cujus causa convenissent.

33 De autem turba produxerunt Alexandrum, propellentibus eum Judæis : at Alexander concutiens manum, volebat ratiocinari populo.

34 Agnoscentes autem quod Judæus esset, vox facta est una ex omnibus quasi per horas duas clamantibus : Magna Diana Ephesiorum.

35 Reprimens autem scriba turbam, dixit : Viri Ephesii, quis enim est homo qui non cognoscit Ephesiorum civita

νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος, καὶ τοῦ Διοπετοῦς;

36 Ἀναντιῤῥήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράττειν.

37 Ἠγάγετε γὰρ τοὺς ἄνδρας οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν.

38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται πρός τινα λόγον ἔχουσιν, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις.

39 Εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται·

40 Καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης.

41 Καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν.

tem ædituam existentem magnæ deæ Dianæ, et Jovis prolis?

36 Incontradicibilibus ergo existentibus his, necesse est vos sedatos subsistere, et nihil præceps agere.

37 Adduxistis enim homines istos neque sacrilegos, neque blasphemantes Deam vestram.

38 Si quidem ergo Demetrius et qui cum eo artifices adversus aliquem sermonem habent, forenses aguntur, et proconsules sunt: postulent alii alios.

39 Si autem quid de aliis requiritis, in legitima ecclesia absolvetur.

40 Etenim periclitamur postulari seditionis circa hodiernum, nulla causa subsistente, de qua poterimus dare rationem concursus istius.

41 Et hæc dicens, dimisit ecclesiam.

Κεφ. κ'. 20.

CAPUT XX.

1 Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς, καὶ ἀσπασάμενος, ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν.

2 Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα,

3 Ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας.

4 Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βερροιαῖος· Θεσσαλονικέων δὲ, Ἀρίσταρχος, καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ

1 Post autem cessasse tumultum, advocans Paulus discipulos et salutans, exiit proficisci in Macedoniam

2 Perambulans autem partes illas, et exhortatus eos sermone multo, venit in Græciam.

3 Faciensque menses tres, factis ei insidiis à Judæis futuro provehi in Syriam, facta fuit sententia ad revertendum per Macedoniam.

4 Comitatus est autem eum usque in Asiam Sopater Berœensis: Thessalonicensium vero Aristarchus et Secundus et

Τιμόθεος, Ἀσιανοὶ δὲ, Τυχικὸς καὶ Τρόφιμος.

5 Οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρωάδι·

6 Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρωάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων τῶν μαθητῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον· παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου·

8 Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν συνηγμένοι.

9 Καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου, ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω· καὶ ἤρθη νεκρός.

10 Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβὼν εἶπε· Μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.

11 Ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν.

12 Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως.

13 Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν.

14 Ὡς δὲ συνέβαλεν ἡμῖν εἰς

Cajus Derbæus, et Timotheus: Asiani vero, Tychicus et Trophimus.

5 Hi præcedentes manserunt nos in Troade.

6 Nos vero enavigavimus post dies azymorum à Philippis, et venimus ad eos in Troadem intra dies quinque, ubi demorati sumus diebus septem.

7 In autem una sabbatorum congregatis discipulis ad frangendum panem, Paulus disputabat eis, futurus exire postridie: protraxitque sermonem usque in mediam noctem.

8 Erant autem lampades multæ in cœnaculo ubi erant congregati.

9 Sedens autem quidam adolescens nomine Eutychus super fenestram, dejectus somno profundo, disputante Paulo diutius, ruens præ somno, cecidit de tertio cœnaculo deorsum: et sublatus est mortuus.

10 Descendens autem Paulus irruit ei, et complexus dixit: Ne tumultuemini: nam anima ipsius in ipso est.

11 Ascendens autem, et frangens panem et gustans, ad multumque alloquutus usque in diluculum, sic exiit.

12 Adduxerunt autem puerum viventem, et cansolati sunt non mediocriter.

13 Nos autem progressi ad navem, devecti sumus in Asson, inde futuri recipere Paulum: sic enim erat constitutus, futurus ipse pedibus ire.

14 Ut autem congressus est

τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην.

15 Κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ Χίου· τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον· καὶ μείναντες ἐν Τρωγυλλίῳ τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον·

16 Ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γὰρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.

18 Ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· Ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην·

19 Δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων·

20 Ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους·

21 Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

22 Καὶ νῦν ἰδοὺ, ἐγὼ δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς·

23 Πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον ὅτι δεσμά με καὶ θλίψεις μένουσιν·

24 Ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

nobis in Asson, recipientes eum venimus in Mitylenen.

15 Et inde abnavigantes, sequenti devenimus contra Chium: at alia adjecimus in Samon: et manentes in Trogyllio, sequenti venimus in Miletum.

16 Proposuerat enim Paulus transnavigare Ephesum, ut non fieret ea tempus terere in Asia: festinabit enim, si possibile esset sibi, diem Pentecostes fieri in Hierosolymis.

17 A autem Mileto mittens in Ephesum, vocavit seniores ecclesiæ.

18 Ut autem advenerunt ad eum, dixit eis: Vos scitis, à prima die à qua ingressus sum in Asiam, quomodo cum vobis omne tempus fuerim:

19 Serviens Domino cum omni humilitate, et multis lacrymis et tentationibus, evenientibus mihi in insidiis Judæorum.

20 Ut nihil remiserim conferentium, ad non annuntiandum vobis et docendum vos publice et per domos:

21 Testificans Judæisque et Græcis in Deum pœnitentiam, et fidem in Dominum nostrum Jesum Christum.

22 Et nunc ecce ego vinctus spiritu vado in Hierusalem, quæ in ea concursura mihi non noscens.

23 Nisi quod Spiritus sanctus per civitatem protestatur mihi, dicens quoniam vincula me et tribulationes manent.

24 Sed nullius rationem facio, nec habeo animam meam

μίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

25 Καὶ νῦν ἰδοὺ, ἐγὼ οἶδα ὅτι οὐκ ἔτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ.

26 Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων·

27 Οὐ γὰρ ὑπεστειλάμην ὑμῖν τοῦ μὴ ἀναγγεῖλαι πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.

28 Προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

29 Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου,

30 Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.

31 Διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν, νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον·

32 Καὶ τανῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοὶ, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι, καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.

33 Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα·

34 Αὐτοὶ δὲ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.

pretiosam mihi ipsi, ut finire cursum meum cum gaudio, et ministerium quod accepi à Domino Jesu, testificari Euangelium gratiæ Dei.

25 Et nunc ecce, ego scio quia non amplius videbitis faciem meam vos omnes, in quibus transivi prædicans regnum Dei.

26 Ideo et testor vobis in hodierna die quia mundus ego à sanguine omnium.

27 Non enim subterfugi, ad non annuntiandum vobis omne consilium Dei.

28 Attendite ergo vobis ipsis et universo gregi in quo vos Spiritus sanctus posuit episcopos, pascere ecclesiam Dei, quam acquisivit per proprium sanguinem.

29 Ego enim scio hoc, quoniam intrabunt post discessionem meam lupi graves in vos non parcentes gregi.

30 Et ex vobis ipsis exsurgent viri loquentes perversa, ad abstrahendum discipulos post se.

31 Ideo vigilate, memores quoniam triennium noctem et diem non cessavi cum lacrymis monens unumquemque.

32 Et nunc commendo vos, fratres, Deo et verbo gratiæ ipsius, potenti superædificare et dare vobis hæreditatem in sanctificatis omnibus.

33 Argentum aut aurum aut vestem nullius concupivi.

34 Ipsi autem noscitis quoniam usibus meis et existentibus cum me ministraverunt manus istæ.

35 Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε· Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν.

36 Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξατο.

37 Ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων· καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτόν·

38 Ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν· προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

35 Omnia ostendi vobis, quoniam sic laborantes oportet suscipere infirmos, meminisseque verborum Domini Jesu, quoniam ipse dixit: Beatius est dare magis quam accipere.

36 Et hæc dicens, ponens genua sua, cum omnibus illis oravit.

37 Magnus autem factus est fletus omnium: et incumbentes super collum Pauli exosculabantur eum:

38 Dolentes maxime in verbo quod dixerat, quoniam non amplius futuri essent faciem ejus spectare: deducebant autem eum ad navem.

Κεφ. κά. 21.

1 Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν, τῇ δὲ ἐξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα.

2 Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν.

3 Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον.

4 Καὶ ἀνευρόντες μαθητὰς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος, μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ·

5 Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως· καὶ θέντες τὰ γό-

CAPUT XXI.

1 UT autem factum est provehi nos avulsos ab eis, recta currentes venimus in Coum, at sequenti in Rhodum, et inde in Patara.

2 Et invenientes navem transfretantem in Phœnicem, ascendentes provecti sumus.

3 Apparentes autem Cypro, et relinquentes eam ad sinistram, navigavimus in Syriam, et devecti sumus in Tyrum: ibi enim erat navis expositura onus.

4 Et invenientes discipulos, admansimus ibi diebus septem, qui Paulo dicebant per Spiritum, non ascendere in Hierusalem.

5 Quando autem factum est nos peragere dies, exeuntes ibamus, deducentibus nos omnibus cum uxoribus et liberis, usque foras civitatem: et po-

ματα ἐπὶ τὸν αἰγιαλόν, προσηυξάμεθα,

6 Καὶ ἀσπασάμενοι ἀλλήλους, ἐπέβημεν εἰς τὸ πλοῖον· ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.

7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες, ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς, ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.

8 Τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ περὶ τὸν Παῦλον, ἤλθον εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ.

9 Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι.

10 Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, κατῆλθέ τις ἀπὸ τῆς Ἰουδαίας, προφήτης, ὀνόματι Ἄγαβος.

11 Καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας, εἶπε· Τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν ἐν Ἰερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.

12 Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἰερουσαλήμ.

13 Ἀπεκρίθη δὲ ὁ Παῦλος· Τί ποιεῖτε, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἰερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.

14 Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες· Τὸ θέλημα τοῦ Κυρίου γενέσθω.

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀποσκευασάμενοι ἀνεβαίνομεν εἰς Ἰερουσαλήμ.

nentes genua in littore, oravimus,

6 Et salutantes invicem, ascendimus in navem : illi autem redierunt in propria.

7 Nos vero navigationem perficientes, à Tyro descendimus in Ptolemaidem, et salutantes fratres, mansimus die una apud illos.

8 At postridie egressi qui circa Paulum, venimus in Cæsaream : et intrantes in domum Philippi Euangelistæ, existentis ex septem, mansimus apud eum.

9 Huic autem erant filiæ virgines quatuor prophetantes.

10 Admanentibus autem nobis dies plures, descendit quidam à Judæa propheta nomine Agabus :

11 Et veniens ad nos, et tol lens zonam Pauli, alligansque sibi manus et pedes, dixit : Hæc dicit Spiritus sanctus : Virum, cujus est zona hæc, sic vincient in Hierusalem Judæi, et tradent in manus Gentium.

12 Ut autem audivimus hæc, rogabamus nosque et qui loci illius non ascendere eum in Hierusalem.

13 Respondit autem Paulus : Quid facitis flentes, et comminuentes meum cor ? ego enim non solum vinciri, sed et mori in Hierusalem parate habeo pro nomine Domini Jesu.

14 Non suaso autem eo, quievimus, dicentes : Voluntas Domini fiat.

15 Post autem dies istos ascendebamus in Hierusalem.

16 Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ.

16 Simul venerunt autem et discipulorum à Cæsarea cum nobis, adducentes apud quem hospitaremur, Mnasonem quendam Cyprium, antiquum discipulum.

17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί.

17 Factis autem nobis in Hierosolyma, libenter exceperunt nos fratres.

18 Τῇ δὲ ἐπιούσῃ εἰσήει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον· πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι.

18 At sequenti introibat Paulus nobiscum ad Jacobum; omnesque adfuerunt seniores.

19 Καὶ ἀσπασάμενος αὐτοὺς ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

19 Et salutans eos, exposuit per unum singulum quæ fecisset Deus in Gentibus per ministerium illius.

20 Οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Κύριον· εἶπόν τε αὐτῷ· Θεωρεῖς ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι;

20 At audientes glorificabant Deum: dixeruntque ei: Conspicis, frater, quot decem millia sunt Judæorum credentium? et omnes zelatores legis subsistunt.

21 Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν.

21 Edocti erant autem de te, quia discessionem doceas à Mose eos qui per Gentes omnes Judæos, dicens non circumcidere ipsos filios, neque ritibus ambulare.

22 Τί οὖν ἐστι; Πάντως δεῖ πλῆθος συνελθεῖν· ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.

22 Quid ergo est? omnino oportet multitudinem convenire: audient enim quod venisti.

23 Τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν·

23 Hoc ergo fac quod tibi dicimus: Sunt nobis viri quatuor, votum habentes super seipsos.

24 Τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλήν· καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περί σου οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων.

24 Hos assumens purificator cum illis: et impende in illis, ut radant caput: et scient omnes, quia eorum quæ audierunt de te nihil est, sed incedis et ipse legem custodiens.

25 Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτοὺς, εἰ μὴ

25 De autem credentibus Gentibus nos scripsimus, judicantes nihil hujusmodi obser-

φυλάσσεσθαι αὐτοὺς τό,τε εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ πνικτὸν, καὶ πορνείαν.

26 Τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσήει εἰς τὸ ἱερὸν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά.

27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν,

28 Κράζοντες· Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον.

29 Ἦσαν γὰρ προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.

30 Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ· καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἵλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

31 Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης, ὅτι ὅλη συγκέχυται Ἱερουσαλήμ·

32 Ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ' αὐτούς· οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.

vare eos, si non cavere eos hoc, et idolis immolatum, et sanguinem, et suffocatum, et fornicationem.

26 Tunc Paulus assumens viros, sequenti die cum illis purificatus intravit in templum, annuntians expletionem dierum purificationis, donec offeretur pro unoquoque eorum oblatio.

27 Ut autem futuri erant septem dies consummari, hi qui de Asia Judæi conspicientes eum in templo, confuderunt omnem turbam, et injecerunt manus in eum ;

28 Clamantes, Viri Israëlitæ, adjuvate : hic est homo adversus populum et legem et locum hunc omnes ubique docens : insuperque et Græcos induxit in templum, et polluit sanctum locum istum.

29 Fuerant enim ante videntes Trophimum Ephesium in civitate cum ipso, quem existimaverunt quoniam in templum introduxisset Paulus.

30 Commotaque est civitas tota, et facta est concursio populi : et apprehendentes Paulum, trahebant eum extra templum : et statim clausæ sunt januæ.

31 Quærentibus autem eum occidere, ascendit fama tribuno cohortis, Quia tota confusa est Hierusalem.

32 Qui ex ipsa assumens milites et centuriones, decurrit ad illos. Illi autem videntes tribunum et milites, cessaverunt percutientes Paulum.

33 Τότε ἐγγίσας ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί· καὶ ἐπυνθάνετο τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς.

34 Ἄλλοι δὲ ἄλλό τι ἐβόων ἐν τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν·

35 Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου.

36 Ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ, κράζον· Αἶρε αὐτόν.

37 Μέλλων τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ· Εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; Ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις;

38 Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;

39 Εἶπε δὲ ὁ Παῦλος· Ἐγὼ ἀνθρωπος μέν εἰμι Ἰουδαῖος, Ταρσεὺς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν.

40 Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνει τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων·

33 Appropinquans autem tribunus apprehendit eum, et jussit vinciri catenis duabus : et interrogabat quisnam esset, et quid est perpetrans.

34 Alii autem aliud quid clamabant in turba : non potens autem cognoscere certum propter tumultum, jussit duci eum in castra.

35 Quum autem factus est ad gradus, contigit portari eum à militibus propter violentiam turbæ.

36 Sequebatur enim multitudo populi clamans : Tolle eum.

37 Futurusque induci in castra Paulus, dicit tribuno : Si licet mihi dicere aliquid ad te ? Ille vero dixit, Græce nosti ?

38 Nonne tu es Ægyptius ille ante hos dies tumultum movens et educens in desertum quatuor mille viros sicariorum?

39 Dixit autem Paulus : Ego homo quidem sum Judæus Tarsensis, Ciliciæ non obscuræ civitatis civis: rogo autem te, permitte mihi loqui ad populum.

40 Permittente autem eo, Paulus stans in gradibus annuit manu populo : multo vero silentio facto, alloquutus est Hebræa lingua, dicens·

Κεφ. κβ'. 22.

1 Ἄνδρες ἀδελφοὶ, καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας.

2 Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς,

CAPUT XXII.

1 VIRI fratres et patres, audite meam ad vos nunc excusationem.

2 Audientes autem quia Hebræa lingua alloqueretur illos,

μᾶλλον παρέσχον ἡσυχίαν, καὶ φησιν·

3 Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιὴλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχον τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον·

4 Ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας,

5 Ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον· παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας, δεδεμένους εἰς Ἱερουσαλὴμ, ἵνα τιμωρηθῶσιν.

6 Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμὲ,

7 Ἔπεσά τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαοὺλ, Σαοὺλ, τί με διώκεις.

8 Ἐγὼ δὲ ἀπεκρίθην· Τίς εἶ, Κύριε; Εἶπέ τε πρός με· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις.

9 Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι.

10 Εἶπον δέ· Τί ποιήσω, Κύριε; Ὁ δὲ Κύριος πρός με· Ἀναστὰς πορεύου εἰς Δαμασκόν· κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι.

11 Ὡς δὲ οὐκ ἐνέβλεπον, ἀπὸ

magis præstiterunt silentium. et dicit:

3 Ego quidem sum vir Judæus, natus in Tarso Ciliciæ, nutritus autem in civitate ista secus pedes Gamalielis, eruditus juxta exquisitionem paternæ legis, zelotes existens Dei, sicut omnes vos estis hodie:

4 Qui hanc viam persequutus sum usque ad mortem, vinciens et tradens in custodias virosque et mulieres:

5 Sicut princeps sacerdotum testatur mihi, et omnis senatus. à quibus et epistolas accipiens ad fratres, in Damascum pergebam, adducturus et illic existentes, vinctos in Hierusalem, ut punirentur.

6 Factum est autem mihi profecto et appropinquanti Damasco circa meridiem, subito de cælo circumfulgere lucem copiosam circa me:

7 Cecidique in solum, et audivi vocem dicentem mihi: Saule, Saule, quid me persequeris?

8 Ego autem respondi: Quis es, Domine? dixitque ad me: Ego sum Jesus Nazarenus, quem tu persequeris.

9 Qui vero cum me existentes quidem lumen spectabant, et expavefacti sunt: at vocem non audierunt loquentis mihi.

10 Dixi autem: Quid faciam, Domine? at Dominus dixit ad me: Surgens vade in Damascum, et illic tibi dicetur de omnibus, quæ constituta sunt tibi facere.

11 Quum autem non vide

τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν.

12 Ἀνανίας δέ τις ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων,

13 ἐλθὼν πρός με, καὶ ἐπιστὰς εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν.

14 Ὁ δὲ εἶπεν· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ·

15 Ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας.

16 Καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου.

17 Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἰερουσαλὴμ, καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει,

18 καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι· Σπεῦσον, καὶ ἔξελθε ἐν τάχει ἐξ Ἰερουσαλὴμ· διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ.

19 Κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπί σε·

20 Καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἑφεστὼς, καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν.

21 Καὶ εἶπε πρός με· Πορεύου· ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε.

rem præ gloria luminis illius, manuductus à simul existentibus mihi, veni in Damascum.

12 Ananias autem quidam, vir pius secundum legem, testimonio ornatus ab omnibus habitantibus Judæis,

13 Veniens ad me, et astans dixit mihi : Saule frater, respice. Et ego eadem hora respexi in eum.

14 Ille autem dixit : Deus patrum nostrorum præordinavit te cognoscere voluntatem ejus, et videre justum, et audire vocem ex ore ejus.

15 Quia eris testis ei ad omnes homines, eorum quæ vidisti et audisti.

16 Et nunc quid moraris ? surgens baptizare, et ablue peccata tua, invocans nomen Domini.

17 Factum est autem mihi revertenti in Hierusalem, et orante me in templo, fieri me in exstasi,

18 Et videre illum dicentem mihi : Festina et exi in celeritate ex Hierusalem, quoniam non recipient tuum testimonium de me.

19 Et ego dixi : Domine, ipsi sciunt quia ego eram carcerans et cædens per synagogas credentes in te.

20 Et quum effunderetur sanguis Stephani primi testis tui, et ipse eram astans et consentiens interemptioni ejus, et custodiens vestimenta interficientium illum.

21 Et dixit ad me : Vade, quoniam ego in gentes longe emittam te.

22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, λέγοντες· Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκον αὐτὸν ζῆν.

23 Κραυγαζόντων δὲ αὐτῶν, καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,

24 Ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν· ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ.

25 Ὡς δὲ προέτεινεν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος· Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν ;

26 Ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων· Ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι.

27 Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· Λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ ; Ὁ δὲ ἔφη, Ναί·

28 Ἀπεκρίθη τε ὁ χιλίαρχος· Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. Ὁ δὲ Παῦλος ἔφη· Ἐγὼ δὲ καὶ γεγέννημαι.

29 Εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς.

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ, τί κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν· καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς.

22 Audiebant autem eum usque ad hoc verbum, et sustulerunt vocem suam, dicentes : Tolle de terra hujuscemodi : non enim convenit eum vivere.

23 Vociferantibus autem eis, et projicientibus vestimenta, et pulverem jactantibus in aerem,

24 Jussit eum tribunus induci in castra, dicens flagellis inquiri eum, ut sciret propter quam causam sic acclamarent ei.

25 Quum autem astrinxisset eum loris, dixit ad adstantem centurionem Paulus : Si hominem Romanum et indemnatum licet vobis flagellare ?

26 Audiens autem centurio, accedens nuntiavit tribuno dicens : Vide quid futurus es facere : nam homo hic Romanus est.

27 Accedens autem tribunus dixit illi : Dic mihi, si tu Romanus es ? Ille autem dixit : Etiam.

28 Responditque tribunus : Ego multo capitali civitatem hanc consequutus sum. At Paulus ait : Ego autem et natus sum.

29 Protinus ergo discesserunt ab illo futuri eum inquirere : et tribunus vero timuit, cognoscens quia Romanus esset, et quia erat eum vinciens.

30 At postridie volens scire certum, quid accusaretur à Judæis, solvit eum à vinculis, et jussit venire principes sacerdotum et omnem confessum eorum : et producens Paulum, statuit inter illos.

Κεφ. κγ'. 23.

1 Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ, εἶπεν· Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας.

2 Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ, τύπτειν αὐτοῦ τὸ στόμα.

3 Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι;

4 Οἱ δὲ παρεστῶτες εἶπον· Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;

5 Ἔφη τε ὁ Παῦλος· Οὐκ ᾔδειν, ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ· "Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς."

6 Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· Ἄνδρες ἀδελφοί, ἐγὼ φαρισαῖός εἰμι, υἱὸς φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.

7 Τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν φαρισαίων καὶ τῶν Σαδδουκαίων· καὶ ἐσχίσθη τὸ πλῆθος·

8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

9 Ἐγένετο δὲ κραυγὴ μεγάλη· καὶ ἀναστάντες οἱ γραμματεῖς τοῦ μέρους τῶν φαρισαίων διεμάχοντο, λέγοντες· Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα

CAPUT XXIII.

1 INTENDENS autem Paulus consessui, ait: Viri fratres, ego omni conscientia bona ministravi Deo usque in hunc diem.

2 At princeps sacerdotum Ananias præcepit astantibus sibi percutere ejus os.

3 Tunc Paulus ad eum dixit: Percutere te futurus est Deus, paries dealbate; et tu sedes judicans me secundum legem, et contra legem faciens jubes me percuti?

4 At astantes dixerunt: Summum sacerdotem Dei conviciaris?

5 Dixitque Paulus: Nesciebam, fratres, quia est princeps sacerdotum: scriptum est enim Principi populi tui non dices male.

6 Sciens autem Paulus quia una pars esset Sadducæorum, at altera Pharisæorum, exclamavit in confessu: Viri fratres, ego Pharisæus sum, filius Pharisæi: de spe et resurrectione mortuorum ego judicor.

7 Hoc autem ipso loquuto, facta est seditio Pharisæorum et Sadducæorum, et divisa est multitudo.

8 Sadducæi quidem enim dicunt non esse resurrectionem, neque angelum, neque spiritum: Pharisæi autem confitentur utraque.

9 Factus est autem clamor magnus; et exsurgentes scribæ partis Pharisæorum depugnabant, dicentes: Nihil malum invenimus in homine isto: si

ἐλάλησεν αὐτῷ, ἢ ἄγγελος, μὴ θεομαχῶμεν.

10 Πολλῆς δὲ γενομένης στάσεως, εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν.

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε· Θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἰερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς, λέγοντες· μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον.

13 Ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες,

14 Οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· Ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς, μηδενὸς γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.

15 Νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ, ὅπως αὔριον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ, πρὸ τοῦ ἐγγίσαι αὐτὸν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ Παύλῳ.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· Τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ.

18 Ὁ μὲν οὖν παραλαβὼν αὐ-

autem spiritus loquutus est ei aut angelus, ne repugnemus Deo.

10 Multa autem facta seditione, veritus tribunus ne discerperetur Paulus ab ipsis, jussit milites descendentes rapere eum de medio eorum, ducereque in castra.

11 At sequenti nocte adsistens ei Dominus, ait: Confide, Paule: sicut enim testificatus es quæ de me in Hierusalem, sic te oportet et in Romam testificari.

12 Facta autem die, facientes quidam Judæorum coitionem, devoverunt sese, dicentes neque edere neque bibere usquequo occiderent Paulum.

13 Erant autem plures quadraginta hanc conjurationem facientes.

14 Qui accedentes ad principes sacerdotum et seniores, dixerunt: Devotione devovimus nos ipsos, nihil gustare usquequo occidamus Paulum.

15 Nunc ergo vos indicate tribuno cum confessu ut cras illum producat ad vos, ut futuros cognoscere exquisitius quæ de eo: nos vero, ante appropinquare eum, parati sumus interficere illum.

16 Audiens autem filius sororis Pauli insidias, adveniens et intrans in castra, nuntiavit Paulo.

17 Advocans autem Paulus unum centurionum, ait: Adolescentem hunc adduc ad tribunum: habet enim aliquid indicare illi.

18 Ille quidem ergo assu-

τὸν ἤγαγε πρὸς τὸν χιλίαρχον, καί φησιν· Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι.

19 Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο· Τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;

20 Εἶπε δὲ· Ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς τὸν Παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ.

21 Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτόν· καὶ νῦν ἕτοιμοί εἰσι, προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.

22 Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι, ὅτι ταῦτα ἐνεφάνισας πρός με.

23 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· Ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός·

24 Κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα·

25 Γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον·

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 Τὸν ἄνδρα τοῦτον, συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτὸν, μαθὼν ὅτι Ῥωμαῖός ἐστι.

mens eum duxit ad tribunum, et ait: Vinctus Paulus advocans me rogavit hunc adolescentem perducere ad te, habentem aliquid loqui tibi.

19 Apprehendens autem manum illius tribunus, et secedens seorsum, interrogavit: Quid est quod habes indicare mihi?

20 Dixit autem: Quia Judæi constituerunt rogare te ut cras in confessum producas Paulum, ut futuri aliquid exquisitius percunctari de illo.

21 Tu ergo ne credideris illis: insidiantur enim ei ex eis viri plures quadraginta, qui devoverunt sese neque manducare neque bibere usquequo interfecerint eum: et nunc parati sunt expectantes à te renuntiationem.

22 Ipse quidem igitur tribunus dimisit adolescentem, præcipiens nemini eloqui, quoniam hæc indicaveris ad me.

23 Et advocans duos quosdam centurionum, dixit: Parate milites ducentos, ut eant usque Cæsaream, et equites septuaginta, et stipatores ducentos, à tertia hora noctis.

24 Jumentaque adparare, ut imponentes Paulum salvum perducerent ad Felicem præsidem.

25 Scribens epistolam continentem formam hanc:

26 Claudius Lysias præstantissimo præsidi Felici gaudere.

27 Virum hunc comprehensum à Judæis, et futurum interfici ab eis, superveniens cum exercitu eripui eum, discens quia Romanus est

28 Βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν·

29 Ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα.

30 Μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρός σε, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ· Ἔρρωσο.

31 Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντιπατρίδα.

32 Τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν.

33 Οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ.

34 Ἀναγνοὺς δὲ ὁ ἡγεμὼν, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστὶ, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας·

35 Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδου φυλάσσεσθαι.

28 Volens autem scire causam ob quam incusarent eum, deduxi eum in consessum eorum.

29 Quem inveni appellatum de quæstionibus legis ipsorum, nihil vero dignum morte aut vinculis crimen habentem.

30 Indicatis autem mihi in sidiis in virum futuris esse à Judæis, statim misi ad te : denuntians et accusatoribus dicere quæ ad eum apud te. Vale.

31 Ipsi quidem ergo milites secundum constitutum sibi, assumentes Paulum, duxerunt per noctem in Antipatridem.

32 At postridie dimittentes equites ire cum eo, reversi sunt in castra.

33 Qui ingressi in Cæsaream, et reddentes epistolam præsidi, statuerunt et Paulum ei.

34 Legens autem præses, et interrogans ex quali provincia esset, et cognoscens quia de Cilicia :

35 Audiam te, inquit, quum et accusatores tui adfuerint. Jussitque eum in præterio Herodis custodiri.

Κεφ. κδ'. 24.

1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων, καὶ ῥήτορος Τερτύλλου τινὸς, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου.

2 Κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος, λέγων·

3 Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομέ-

CAPUT XXIV.

1 POST autem quinque dies descendit princeps sacerdotum Ananias cum senioribus et oratore Tertullo quodam, qui comparuerunt præsidi adversus Paulum.

2 Citato autem eo, cœpit accusare Tertullus, dicens :

3 Multæ pacis compotes per te, et directionum factarum

νων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας.

4 Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ.

5 Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ κινοῦντα στάσιν πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως·

6 Ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν.

7 Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε·

8 Κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπί σε· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

9 Συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν.

10 Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι·

11 Δυναμένου σου γνῶναι ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι ἢ δεκαδύο, ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ·

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν,

13 Οὔτε παραστῆσαί με δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι

genti huic per tuam prudentiam, prorsusque et ubique suscipimus, præstantissime Felix, cum omni gratiarum actione.

4 Ut autem non super plus te interpellem, oro audire te nos concise tua æquitate.

5 Invenientes enim hominem hunc pestem, et moventem seditionem omnibus Judæis qui per habitatam, antistitemque Nazarenorum sectæ :

6 Qui etiam templum tentavit prophanare, quem et apprehendimus, et secundum nostram legem voluimus judicare.

7 Adveniens autem Lysias tribunus, vi multa ex manibus nostris abduxit :

8 Jubens accusatores ejus venire ad te : à quo poteris ipse judicans de omnibus istis cognoscere quorum nos accusamus eum.

9 Consenserunt autem et Judæi, dicentes hæc ita habere.

10 Respondit autem Paulus, annuente sibi præside dicere : Ex multis annis existentem te judicem genti huic sciens, meliore animo quæ de meipso defendam.

11 Potente te cognoscere quia non plures sunt mihi dies quam duodecim, ex quo ascendi adoraturus in Hierusalem.

12 Et neque in templo invenerunt me apud aliquem disputantem, aut seditionem facientem turbæ, neque in synagogis, neque per urbem.

13 Neque probare possunt de quibus nunc accusant me.

14 Confiteor autem hoc tibi,

κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον, καὶ τοῖς προφήταις, γεγραμμένοις·

15 Ἐλπίδα ἔχων εἰς τὸν Θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων.

16 Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους διαπαντός.

17 Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου, καὶ προσφοράς·

18 Ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου. Τινὲς δὲ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι,

19 Οὓς δεῖ ἐπὶ σοῦ παρεῖναι, καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με·

20 Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, εἴ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου,

21 Ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς· Ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν.

22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐτούς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών· Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς.

23 Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ.

24 Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκου-

quod secundum viam quam dicunt hæresim, sic deservio patrio Deo, credens omnibus quæ secundum legem et in Prophetis scripta :

15 Spem habens in Deum, quam et hi ipsi expectant, resurrectionem futuram esse mortuorum, justorumque et injustorum.

16 In hoc autem ipse exerceo inoffensam conscientiam habere ad Deum et homines semper.

17 Per annos autem plures accessi eleëmosynas facturus in gentem meam et oblationes.

18 In quibus invenerunt me purificatum in templo, non cum turba, neque cum tumultu, quidam ex Asia Judæi.

19 Quos oportebat apud te præsto esse, et accusare si quid haberent adversus me.

20 Aut ipsi hi dicant, si quid invenerunt in me iniquum, stante me in consessu,

21 Aut de una hac voce, qua clamavi stans in eis : quoniam de resurrectione mortuorum ego judicor hodie à vobis.

22 Audiens autem hæc Felix distulit illos, exquisitius cognoscens quæ de via, dicens : Quum Lysias tribunus descenderit, pernoscam quæ juxta vos.

23 Constituensque centurioni custodire Paulum, habereque laxationem, et neminem prohibere propriorum ei ministrare, aut audire eum.

24 Post autem dies aliquot adveniens Felix cum Drusilla uxore sua existente Judæa, accersivit Paulum, et audivit eum

σεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν πίστεως.

25 Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· Τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μεταπέμψομαί σε·

26 Ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος, ὡμίλει αὐτῷ.

27 Διετίας δὲ πληρωθείσης ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων τε χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον.

de quæ in Christum Jesum fide.

25 Differente autem illo de justitia et castitate et judicio futuro esse, tremefactus Felix respondit : Quod nunc habens vade : opportunitatem autem nactus accersam te :

26 Simul et sperans quod pecunia daretur ei à Paulo, ut solveret eum : ideo et frequenter eum accersens, loquebatur ei.

27 Biennio autem expleto, accepit successorem Felix Porcium Festum : volensque gratias præstare Judæis Felix, reliquit Paulum vinctum.

Κεφ. κέ. 25.

1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας.

2 Ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτὸν,

3 Αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ· ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.

4 Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη, τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι.

5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησὶ, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ.

6 Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι.

CAPUT XXV

1 FESTUS ergo ingressus provinciam, post tres dies ascendit in Hierosolyma à Cæsarea.

2 Indicaverunt autem ei et princeps sacerdotum, et primi Judæorum adversus Paulum, et rogabant eum :

3 Postulantes gratiam adversus eum, ut accerseret eum in Hierusalem : insidias facientes interficere eum per viam.

4 Ipse quidem ergo Festus respondit, servari Paulum in Cæsarea, seipsum autem futurum in festinatione proficisci.

5 Qui ergo potentes in vobis, ait, simul descendentes, si quod est in viro hoc accusent eum.

6 Demoratus autem in illis dies plures quam decem, descendens in Cæsaream, postridie sedens pro tribunali jussit Paulum adduci

7 Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι·

8 Ἀπολογουμένου αὐτοῦ· Ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον.

9 Ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε· Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ;

10 Εἶπε δὲ ὁ Παῦλος· Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι· Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.

11 Εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι καταγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι· Καίσαρα ἐπικαλοῦμαι.

12 Τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι; Ἐπὶ Καίσαρα πορεύσῃ.

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν Φῆστον.

14 Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων· Ἀνήρ τις ἐστὶ καταλελειμμένος ὑπὸ Φήλικος, δέσμιος·

15 Περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην·

16 Πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ

7 Adveniente autem eo, circumsteterunt qui ab Hierosolymis descenderant Judæi, multas et graves criminationes ferentes adversus Paulum, quas non poterant probare:

8 Se defendente eo: Quoniam neque in legem Judæorum, neque in templum, neque in Cæsarem peccavi.

9 Festus autem Judæis volens gratiam præstare, respondens Paulo dixit: Vis in Hierosolyma ascendens ibi de his judicari apud me?

10 Dixit autem Paulus: Ad tribunal Cæsaris stans sum, ubi me oportet judicari: Judæis nihil nocui, sicut et tu pulchrius nosti.

11 Si quidem enim nocui, et dignum morte feci aliquid, non recuso mori: si vero nihil est quorum hi accusant me, nemo me potest illis gratificari: Cæsarem appello.

12 Tunc Festus colloquutus cum concilio, respondit: Cæsarem appellasti? ad Cæsarem ibis.

13 Diebus autem peractis quibusdam, Agrippa rex et Bernice venerunt in Cæsaream salutaturi Festum.

14 Ut autem plures dies demorabantur ibi, Festus regi indicavit quæ ad Paulum, dicens: Vir quidam est derelictus à Felice vinctus,

15 De quo, facto me in Hierosolyma, indicaverunt principes sacerdotum et seniores Judæorum, postulantes adversus illum sententiam.

16 Ad quos respondi, quia

ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ καὶ ηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς καὶ ηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.

17 Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα·

18 Περὶ οὗ σταθέντες οἱ καλήγοροι οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ·

19 Ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτὸν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν.

20 Ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτου ζήτησιν, ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων.

21 Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν, ἕως οὗ πέμψω αὐτὸν πρὸς Καίσαρα.

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη· Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Ὁ δὲ Αὔριον, φησὶν, ἀκούσῃ αὐτοῦ.

23 Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνικης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις, καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος.

24 Καὶ φησιν ὁ Φῆστος· Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἱερο-

non est consuetudo Romanis donare aliquem hominem ad perditionem, prius quam accusatus ad conspectum habeat accusatores, locumque defensionis accipiat de criminatione.

17 Convenientibus ergo illis huc, dilationem nullam faciens, sequenti sedens pro tribunali, jussi adduci virum.

18 De quo stantes accusatores, nullam causam inferebant quorum suspicabar ego.

19 Quæstiones vero quasdam de propria superstitione habebant adversus eum, et de quodam Jesu defuncto, quem affirmabat Paulus vivere.

20 Hæsitans autem ego in eam quæ de hoc quæstione n, dicebam si vellet ire in Hierusalem, et ibi judicari de istis.

21 At Paulo appellante servari se ad Augusti cognitionem, jussi servari eum, usque quo mittam eum ad Cæsarem.

22 Agrippa autem ad Festum dixit: Volebam et ipse hominem audire. Ille autem: Cras, inquit, audies eum.

23 Ergo postridie veniente Agrippa et Bernice cum multo apparatu, et introëuntibus, in auditorium cumque tribunis et viris secundum eminentiam existentibus civitatis, et jubente Festo, adductus est Paulus.

24 Et dicit Festus: Agrippa rex, et omnes qui simul adstantes nobis viri, spectatis hunc, de quo omnis multitudo Judæorum interpellavit me inqua

σολύμοις, καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι.

25 Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν·

26 Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ Κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι·

27 Ἄλογον γάρ μοι δοκεῖ, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.

Hierosolymis et hic acclamantes non oportere vivere eum amplius.

25 Ego vero comperiens nihil dignum morte eum admisisse, et ipso autem hoc appellante Augustum, judicavi mittere eum.

26 De quo certum quid scribere Domino non habeo : ideo produxi eum ad vos, et maxime ad te, rex Agrippa, ut interrogatione facta habeam quid scribere.

27 Irrationibile enim mihi videtur, mittentem vinctum, non et eas quæ contra eum causas significare.

Κεφ. κϛ'. 26.

1 Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα·

2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἡγημαι ἐμαυτὸν μακάριον, μέλλων ἀπολογεῖσθαι ἐπὶ σοῦ σήμερον·

3 Μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἠθῶν τε καὶ ζητημάτων· διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου.

4 Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι,

5 Προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα φαρισαῖος.

6 Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος·

CAPUT XXVI.

1 AGRIPPA vero ad Paulum ait : Permittitur tibi pro temetipso dicere. Tunc Paulus se defendebat extendens manum :

2 De omnibus quibus accusor à Judæis, rex Agrippa, æstimo me ipsum beatum, defensurus me apud te hodie :

3 Maxime cognitorem existentem te omnium illorum apud Judæos morumque et quæstionum. ideo obsecro te patienter audire me.

4 Quidem ergo vitam meam à juventute, ab initio factam in gente mea in Hierosolymis, noverunt omnes Judæi.

5 Præscientes me antea, si velint testari, quoniam secundum diligentissimam sectam nostræ religionis vixi Pharisæus.

6 Et nunc in spe quæ ad patres repromissionis factæ à Deo, sto judicio subjectus :

7 Εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ τῶν Ἰουδαίων.

8 Τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει ;

9 Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι·

10 Ὃ καὶ ἐποίησα ἐν Ἰερουσολύμοις· καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον·

11 Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν· περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις.

12 Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων,

13 Ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.

14 Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις ; Σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

15 Ἐγὼ δὲ εἶπον· Τίς εἶ Κύριε, Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις·

16 Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι

7 In quam duodecim tribus nostræ in assiduitate nocte et die deservientes sperant devenire : de qua spe accusor, rex Agrippa, à Judæis.

8 Quid ? incredibile judicatur apud vos si Deus mortuos suscitat ?

9 Ego quidem ergo videbar mihi ipsi adversus nomen Jesu Nazareni debere multa contraria agere.

10 Quod et feci in Hierosolymis : et multos sanctorum ego carceribus inclusi, à principibus Sacerdotum potestatem accipiens : interemptisque illis detuli suffragium.

11 Et per omnes synagogas frequenter puniens eos, compellabam blasphemare, immoderateque insaniens eis, persequebar usque et in exteras civitates.

12 In quibus et profectus in Damascum cum potestate et procuratione à principibus sacerdotum,

13 Die media, per viam vidi, rex, cælitus supra splendorem solis, circumfulgens me lumen et eos qui cum me proficiscentes.

14 Omnibus autem decidentibus nobis in terram, audivi vocem loquentem ad me, et dicentem Hebraica lingua : Saule, Saule, quid me persequeris ? durum tibi ad stimulos calcitrare.

15 Ego autem dixi, Quis es, Domine ? Ille autem dixit : Ego sum Jesus, quem tu persequeris.

16 Sed exsurge, et sta supra

ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι·

17 Ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ, καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω,

18 Ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ.

19 Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·

20 Ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν, ἀπαγγέλλων μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

21 Ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι.

22 Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ Μωσῆς·

23 Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.

24 Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· Μαίνῃ Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει.

25 Ὁ δὲ, Οὐ μαίνομαι, φησὶ, κράτιστε Φῆστε· ἀλλ' ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι.

pedes tuos : ad hoc enim apparui tibi, designare te ministrum et testem quorumque vidisti, quorumque apparebo tibi :

17 Eripiens te de populo et Gentibus, in quas nunc te mitto,

18 Aperire oculos eorum, ad convertendum à tenebris ad lucem, et potestate Satanæ ad Deum, ad accipiendum eos remissionem peccatorum, et sortem in sanctificatis, fide quæ in me.

19 Unde, rex Agrippa, non fui incredulus cælesti visioni :

20 Sed his qui in Damasco primum et Hierosolymis, in omnemque regionem Judææ, et Gentibus annuntiabam pœnitere, et converti ad Deum, digna pœnitentiæ opera facientes

21 Causa horum me Judæi comprehendentes in templo, tentabant interficere.

22 Auxilium igitur nactus à Deo, usque in diem hanc sto, testificans parvoque et magno, nihil extra dicens eorum quæ et Prophetæ loquuti sunt futurorum esse, et Moses :

23 Si passibilis Christus, si primus ex resurrectione mortuorum, lumen futurus est annuntiare populo et Gentibus.

24 Hæc autem eo defendente, Festus magna voce dixit : Insanis, Paule : multæ te literæ ad insaniam convertunt.

25 Ille vero : Non insanio, inquit, optime Feste, sed veritatis et sobrietatis verba eloquor

26 Ἐπίσταλαι γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ παῤῥησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.

26 Scit enim de his rex, ad quem et libertate usus eloquor· latere enim eum quicquam horum non arbitror: neque enim in angulo gestum hoc est.

27 Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.

27 Credis rex Agrippa Prophetis? scio quia credis.

28 Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.

28 Ipse autem Agrippa ad Paulum ait: In parvo me suades Christianum fieri.

29 Ὁ δὲ Παῦλος εἶπεν· Εὐξαίμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους οἵοιος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.

29 At Paulus ait: Optarem utique Deo, et in parvo et in multo, non solum te, sed et omnes audientes me hodie, fieri tales qualis et ego sum, exceptis vinculis his.

30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς,

30 Et hæc dicente eo, exsurrexit rex et Præses, et Bernice, et considentes eis.

31 Καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες· Ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος.

31 Et secedentes loquebantur ad invicem, dicentes: Quia nihil morte dignum aut vinculis facit homo iste.

32 Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

32 Agrippa autem Festo dixit: Absolvi poterat homo hic, si non appellasset Cæsarem

Κεφ. κζ'. 27.

CAPUT XXVII

1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι Ἰουλίῳ, σπείρης Σεβαστῆς.

1 UT autem judicatum est navigare nos in Italiam, tradiderunt et Paulum et quosdam alios vinctos centurioni, nomine Julio, cohortis Augustæ

2 Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως.

2 Ascendentes autem navem Adramyttenam, futuri navigare quæ circa Asiam loca, avecti sumus, existente cum nobis Aristarcho Macedone Thessalonicensi.

3 Τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα· φιλανθρώπως τε ὁ Ἰούλιος

3 Ipsaque altera devenimus in Sidonem: humaneque Julius

τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς φίλους πορευθέντα, ἐπιμελείας τυχεῖν.

4 Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.

5 Τό,τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας·

6 Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό.

7 Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην·

8 Μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία.

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος,

10 Λέγων αὐτοῖς· Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φόρτου καὶ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν.

11 Ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις.

12 Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴπως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι,

Paulo usus, permisit ad amicos euntem curam sui nancisci

4 Et inde avecti subnavigavimus Cyprum, propter hoc ventos esse contrarios.

5 Hocque pelagus quod juxta Ciliciam et Pamphyliam pernavigantes, delati sumus in Myra Lyciæ.

6 Et ibi inveniens centurio navem Alexandrinam navigantem in Italiam, imposuit nos in eam.

7 In multis autem diebus tarde navigantes, et vix devenientes secundum Cnidum, non permittente nos vento, subnavigavimus Cretam secundum Salmonem.

8 Vixque præterlegentes eam, venimus in locum quendam vocatum Pulchros portus, cui juxta erat civitas Lasæa.

9 Multo autem tempore peracto, et existente jam periculosa navigatione, propter quod et jejunium jam præteriisse, admonebat Paulus,

10 Dicens eis: Viri, conspicio quoniam cum injuria et multo damno non solum oneris et navis, sed etiam animarum nostrarum futuram esse navigationem.

11 At centurio gubernatori et nauclero credebat magis, quam à Paulo dictis.

12 Inapposito autem portu subsistente ad hyemationem, plerique posuerunt consilium subduci inde, si quo modo possent devecti in Phœnicem hy

λιμένα τῆς Κρήτης βλέπονλα κατὰ Λίβα καὶ κατὰ Χῶρον

13 Ὑποπνεύσανλος δὲ Νότου, δόξανλες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες Ἄσσον, παρελέγοντο τὴν Κρήτην.

14 Μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος Εὐροκλύδων.

15 Συναρπασθέντος δὲ τοῦ πλοίε, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα.

16 Νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν περικραλεῖς γενέσθαι τῆς σκάφης·

17 Ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτην ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο.

18 Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο·

19 Καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν.

20 Μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν· Ἔδει μὲν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν.

22 Καὶ τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τῆ πλοίου.

23 Παρέστη γάρ μοι τῇ νυκτὶ

emare, portum Cretæ respicientem ad Africum et ad Chorum.

13 Adspirante autem Noto, æstimantes propositum tenere, solventes Asson legebant Cretam.

14 Post non multum autem misit contra ipsam ventus Typhonicus, vocatus Euroclydon.

15 Correpta autem navi, et non potente obtueri vento, concedentes ferebamur.

16 Insulam autem quandam succurrentes, vocatam Claudam, vix potuimus compotes fieri scaphæ.

17 Quam subducentes, adjutoriis utebantur, accingentes navem : timentesque ne in Syrtim inciderent, submittentes vas, sic ferebantur.

18 Vehementer autem tempestate jactatis nobis, sequenti jactum fecerunt.

19 Et tertia nostris manibus armamenta navis ejecimus.

20 Neque autem Sole, neque syderibus apparentibus per plures dies, tempestateque non exigua imminente, reliquum ablata erat omnis spes servari nos.

21 Multa autem inedia existente, tunc stans Paulus in medio eorum, dixit : Oportebat quidem, ô viri, obedientes mihi, non avehi à Creta, lucrarique injuriam hanc, et jacturam.

22 Et nunc suadeo vobis bono animo esse : jactura enim animæ nulla erit ex vobis, præterquam navis.

23 Adstitit enim mihi nocte

ταύτῃ ἄγγελος τοῦ Θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω,

24 Λέγων· Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ, κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.

25 Διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ, ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι·

26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινα αὐτοῖς χώραν·

28 Καὶ βολίσαντες, εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε·

29 Φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωσιν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι.

30 Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,

31 Εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε.

32 Τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

33 Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι.

34 Διὸ παρακαλῶ ὑμᾶς προσ-

hac angelus Dei cujus sum cui et deservio,

24 Dicens: Ne timeas Paule: Cæsari te oportet assistere: et ecce donavit tibi Deus omnes navigantes cum te.

25 Ideo bono animo estote, viri: credo enim Deo, quia sic erit quemadmodum dictum est mihi.

26 In insulam autem quan dam oportet nos incidere.

27 Ut vero quartadecima nox facta est, perlatis nobis in Adria circa medium noctis, suspicabantur nautæ afferri aliquam sibi regionem.

28 Et demisso perpendiculo nautico, invenerunt passus viginti: brevi autem distantes, et rursum demisso perpendiculo invenerunt passus quindecim.

29 Timentesque ne quomodo in aspera loca incideremus, de puppi projicientes ancoras quatuor, optabant diem fieri.

30 Ipsis vero nautis quærentibus fugere ex navi, et laxantibus scapham in mare, obtentu quasi è prora futurorum ancoras extendere,

31 Dixit Paulus centurioni et militibus: Si non hi manserint in navi, vos servari non potestis.

32 Tunc milites absciderunt funes scaphæ, et siverunt eam excidere.

33 Usque autem quo futurus erat dies fieri, hortabatur Paulus omnes sumere cibum, dicens: Quartamdecimam hodie diem expectantes, jejuni permanetis, nihil accipientes.

34 Ideo hortor vos accipere

λαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται.

35 Εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν.

36 Εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.

37 Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακόσιαι ἑβδομηκοντα ἕξ.

38 Κορεσθέντες δὲ τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον.

40 Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν.

41 Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκκολυμβήσας διαφύγοι.

43 Ὁ δὲ ἑκατόνταρχος, βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾶν, ἀποῤῥίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι·

44 Καὶ τοὺς λοιποὺς, οὓς μὲν

cibum: hoc enim ad vestram salutem est: nullius enim vestrum capillus ex capite cadet.

35 Dicens autem hæc, et sumens panem, gratias egit Deo in conspectu omnium: et frangens cœpit manducare.

36 Bono animo autem facti omnes, et ipsi adsumpserunt cibum.

37 Eramus vero in navi universæ animæ, ducentæ septuaginta sex.

38 Satiati autem cibo, alleviabant navem, jacientes triticum in mare.

39 Quum autem dies factus esset, terram non agnoscebant: sinum vero quendam considerabant habentem litus, in quem cogitabant, si possent, expellere navem.

40 Et ancoras sustollentes, permiserunt in mare simul laxantes juncturas gubernaculorum: et sustollentes artemonem flanti, tendebant ad litus.

41 Incidentes autem in locum bimarem illiserunt navem: et quidem prora fixa manebat immobilis, at puppis solvebatur à vi fluctuum.

42 At militum consilium fuit, ut vinctos occiderent, ne quis enatans effugeret.

43 At centurio volens servare Paulum, prohibuit eos consilio, jussitque potentes natare, abjicientes primos ad terram exire:

44 Et reliquos, hos quidem

ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

Κεφ. κή. 28.

1 ΚΑὶ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται.

2 Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος.

3 Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα καθῆψε τῆς χειρὸς αὐτοῦ.

4 Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν.

5 Ὁ μὲν οὖν, ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν·

6 Οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν· ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον Θεὸν αὐτὸν εἶναι.

7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν.

8 Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν, καὶ προσευξάμε-

in tabulis, hos autem super quædam eorum quæ de navi. et sic factum est, omnes servari ad terram.

CAPUT XXVIII.

1 ET salvi evasi, tunc cognoverunt quia Melita insula vocatur.

2 At Barbari præstabant non vulgarem humanitatem nobis: accedentes enim pyram, acceperunt omnes nos, propter imbrem instantem, et propter frigus.

3 Congregante autem Paulo sarmentorum multitudinem, et imponente super pyram, vipera à calore exiens invasit manum ejus.

4 Ut vero viderunt Barbari pendentem bestiam de manu ejus, dicebant ad invicem: Omnino homicida est homo hic, quem salvum evasum de mari ultio vivere non sinit.

5 Ille quidem ergo excutiens bestiam in ignem, passus est nullum malum.

6 Illi autem expectabant eum futurum intumescere, aut decidere repente mortuum: in multo autem illis expectantibus, et videntibus nihil incommodum in illum factum, mutati dicebant Deum esse.

7 In autem illis quæ circa locum illum erant prædia primario insulæ, nomine Publio, qui suscipiens nos, tres dies amice hospitio excepit.

8 Factum est autem patrem Publii febribus et dysenteria detentum decumbere: ad quem Paulus ingressus, et precatus,

νος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν.

9 Τούτου οὖν γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο, καὶ ἐθεραπεύοντο,

10 Οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις·

12 Καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς·

13 Ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον· καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους,

14 Οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτὰ, καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν.

15 Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ Τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος, εὐχαριστήσας τῷ Θεῷ, ἔλαβε θάρσος.

16 Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ· τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν, σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ.

17 Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος

imponens manus ei, sanavit eum.

9 Hoc ergo facto, et reliqui habentes infirmitates in insula, accedebant et curabantur.

10 Qui etiam multis honoribus honoraverunt nos, et navigantibus imposuerunt quæ ad usum.

11 Post autem tres menses navigavimus in navi quæ hyemaverat in insula, Alexandrina, adsignata Castori et Polluci.

12 Et devecti in Syracusas, mansimus dies tres.

13 Unde circumvenientes devenimus in Rhegium: et post unum diem superveniente Austro, secunda die venimus in Puteolos.

14 Ubi invenientes fratres, rogati sumus apud eos manere dies septem: et sic in Romam venimus.

15 Et inde fratres audientes ea quæ de nobis, exierunt in occursum nobis usque ad Appii forum, et Tres tabernas: quos videns Paulus, gratias agens Deo, accepit fiduciam.

16 Quum autem venissemus in Romam, centurio tradidit vinctos præfecto castrorum: at Paulo permissum est manere per seipsum, cum custodiente se milite.

17 Factum est autem post dies tres convocare Paulum existentes Judæorum primos. Convenientibus autem eis, dicebat ad eos: Viri fratres, ego nihil contrarium faciens populo aut moribus patriis, vinctus ex

ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων·

18 Οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί·

19 Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι·

20 Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι.

21 Οἱ δὲ πρὸς αὐτὸν εἶπον· Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν.

22 Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν ὅτι πανταχοῦ ἀντιλέγεται.

23 Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἦλθον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες· οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ, ἀπό τε τοῦ νόμου Μωσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.

24 Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν.

25 Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους, ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν,

26 Λέγον· "Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.

Hierosolymis traditus sum in manus Romanorum:

18 Qui examinantes me voluerunt dimittere, propter nullam causam mortis esse in me.

19 Contradicentibus autem Judæis, coactus sum appellare Cæsarem, non quasi gentem meam habens aliquid accusare

20 Propter hanc igitur causam rogavi vos videre, et alloqui: propter enim spem Israëlis catenam hanc circumdatus sum.

21 Illi autem ad eum dixerunt: Nos neque literas de te accepimus à Judæa; neque adveniens aliquis fratrum nuntiavit aut loquutus est quid de te malum.

22 Velimus autem à te audire quæ sentis: de quidem enim secta hac notum est nobis quia ubique contradicitur.

23 Constituentes autem illi diem, venerunt ad eum in hospitium plures: quibus exponebat testificans regnum Dei, suadensque eis ea quæ de Jesu exque lege Mosi et Prophetis, à mane usque ad vesperam.

24 Et hi quidem persuadebantur dictis, hi vero non credebant.

25 Discordes autem existentes ad invicem, discedebant, dicente Paulo verbum unum, Quia pulchre Spiritus sanctus loquutus est per Esaiam prophetam ad patres nostros,

26 Dicens: Vade ad populum istum, et dic: Auditu audietis, et non intelligetis: et videntes videbitis, et non cernetis.

27 Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς."

28 Γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται.

29 Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν.

30 Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι· καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν·

31 Κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάσης παῤῥησίας, ἀκωλύτως.

27 Incrassatum est enim cor populi hujus; et auribus graviter audierunt, et oculos suos compresserunt; ne quando videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos.

28 Notum ergo sit vobis, quoniam Gentibus missum est salutare Dei, ipsi et audient.

29 Et hæc eo dicente, abierunt Judæi, multam habentes in seipsis quæstionem.

30 Mansit autem Paulus biennio toto in proprio conducto, et suscipiebat omnes ingredientes ad eum:

31 Prædicans regnum Dei, et docens ea quæ de Domino Jesu Christo cum omni libertate, improhibite.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΡΩΜΑΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ,

2 Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις,

3 Περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα,

4 Τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν

PAULI

Apostoli ad

ROMANOS

EPISTOLA.

CAPUT I.

1 PAULUS servus Jesu Christi, vocatus Apostolus, discretus in Euangelium Dei,

2 Quod ante promiserat per Prophetas suos in scripturis sanctis,

3 De Filio suo, facto ex semine David secundum carnem:

4 Definito Filio Dei in vir

δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν,

5 Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ·

6 Ἐν οἷς ἐστε καὶ ὑμεῖς, κλητοὶ Ἰησοῦ Χριστοῦ·

7 Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

8 Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ, ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ·

9 Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι·

10 Πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ, ἐλθεῖν πρὸς ὑμᾶς·

11 Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν, εἰς τὸ στηριχθῆναι ὑμᾶς·

12 Τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν.

tute, secundum Spiritum sanctificationis, ex resurrectione mortuorum, Jesu Christi Domini nostri.

5 Per quem accepimus gratiam et apostolatum ad obediendam fidei in omnibus Gentibus, pro nomine ejus.

6 In quibus estis et vos vocati Jesu Christi.

7 Omnibus existentibus in Roma, dilectis Dei, vocatis sanctis; gratia vobis et pax à Deo Patre nostro, et Domino Jesu Christo.

8 Primum quidem gratias ago Deo meo per Jesum Christum pro omnibus vobis, quia fides vestra annuntiatur in universo mundo.

9 Testis enim meus est Deus, cui servio in spiritu meo, in Euangelio Filii ejus, ut indesinenter memoriam vestri facio:

10 Semper in orationibus meis obsecrans si quo modo tandem aliquando prosperum iter habeam in voluntate Dei, venire ad vos.

11 Desidero enim videre vos, ut aliquid impertiar donum vobis spirituale, ad stabiliri vos:

12 Hoc autem est, simul exhortari in vobis per eam quæ in invicem fidem, vestram atque meam.

13 Non volo autem vos ignorare, fratres, quia sæpe proposui venire ad vos, et prohibitus sum usque adhuc, ut fructum aliquem habeam in vobis, sicut et in cæteris Gentibus.

14 Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί·

15 Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

16 Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι·

17 Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν· καθὼς γέγραπται· "Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται."

18 Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων·

19 Διότι τὸ γνωστὸν τοῦ Θεοῦ, φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε·

20 Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους·

21 Διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία·

22 Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν,

23 Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν.

24 Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμά-

14 Græcisque et Barbaris, sapientibusque et insipientibus debitor sum.

15 Ita quod in me promptum et vobis qui in Roma euangelizare.

16 Non enim erubesco Euangelium Christi: virtus enim Dei est, in salutem omni credenti, Judæoque primum et Græco.

17 Justitia enim Dei in eo revelatur ex fide in fidem: sicut scriptum est: At justus ex fide vivet.

18 Revelatur enim ira Dei de cælo super omnem impietatem et injustitiam hominum veritatem in injustitia detinentium.

19 Propter quod notum Dei, manifestum est in illis: nam Deus illis manifestavit.

20 Nam invisibilia ipsius à creatura mundi, factis intellecta conspiciuntur, ipsaque sempiterna ejus virtus et divinitas, ad esse eos inexcusabiles.

21 Quoniam cognoscentes Deum, non sicut Deum glorificaverunt, aut gratias egerunt: sed evanuerunt in ratiocinationibus suis, et obscuratum est insipiens eorum cor.

22 Dicentes esse sapientes, stulti facti sunt.

23 Et mutaverunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volucrum et quadrupedum et reptilium.

24 Quapropter et tradidit illos Deus in desideria cordium eorum in immunditiam, ad de

ζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς·

25 Οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

26 Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας· αἵτε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν·

27 Ὁμοίως τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.

28 Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα·

29 Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας·

30 Ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς,

31 Ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας·

32 Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

Κεφ. Β'. 2.

1 Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· ἐν ᾧ

decore afficiendum corpora sua in semetipsis :

25 Qui commutaverunt veritatem Dei in mendacium, et coluerunt et servierunt creaturæ præter creatorem, qui est benedictus in secula. Amen.

26 Propter hoc tradidit illos Deus in passiones ignominiæ : ipsæque enim fœminæ eorum immutarunt naturalem usum in eum qui contra naturam.

27 Similiter et masculi relinquentes naturalem usum fœminæ, exarserunt in libidine sua in invicem, masculi in masculos turpitudinem operantes, et mercedem, quam oportuit, erroris sui in semetipsis recipientes.

28 Et sicut non probaverunt Deum habere in notitia, tradidit illos Deus in reprobum sensum, facere non convenientia.

29 Repletos omni injustitia, fornicatione, nequitia, avaritia, malitia : plenos invidia, cæde, contentione, dolo, malignitate :

30 Susurrones, detractores, Deo odibiles, contumeliosos, superbos, arrogantes, inventores malorum, parentibus inobedientes.

31 Insipientes, incompositos, inhumanos, infœderabiles, immisericordes.

32 Qui jus Dei cognoscentes, quoniam talia agentes digni morte sunt, non solum ea faciunt, sed etiam consentiunt facientibus.

CAPUT II.

1 IDEO inexcusabilis es, ô homo omnis judicans : in

γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων.

2 Οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

3 Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;

4 Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει;

5 Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ·

6 Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·

7 Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον·

8 Τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή·

9 Θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος.

10 Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι·

11 Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ·

12 Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται,

13 Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται·

quo enim judicas alterum, teipsum condemnas: nam eadem agis judicans.

2 Scimus autem quoniam judicium Dei est secundum veritatem in talia agentes.

3 Existimas autem hoc, ô homo judicans talia agentes, et faciens ea, quia tu effugies judicium Dei?

4 An divitias bonitatis ejus, et patientiæ, et longanimitatis contemnis, ignorans quoniam benignitas Dei ad pœnitentiam te adducit?

5 Secundum autem duritiam tuam et impœnitens cor, thesaurizas tibi ipsi iram in die iræ, et revelationis justi judicii Dei.

6 Qui reddet unicuique secundum opera ejus.

7 Iis quidem secundum permanentiam operis boni, gloriam et honorem et incorruptionem quærentibus, vitam æternam.

8 Iis autem ex contentione, et incredulis quidem veritati, credentibus autem injustitiæ, indignatio et ira.

9 Tribulatio et angustia in omnem animam hominis operantis malum, Judæique primum et Græci.

10 Gloria autem et honor, et pax omni operanti bonum, Judæoque primum et Græco.

11 Non enim est acceptio personarum apud Deum.

12 Quicumque enim sine lege peccaverunt, sine lege et peribunt: et quicumque in lege peccaverunt, per legem judicabuntur.

13 Non enim auditores le-

μου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται.

14 Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος·

15 Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων,

16 Ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.

17 Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ,

18 Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου·

19 Πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει,

20 Παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ·

21 Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις;

22 Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;

23 Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;

24 "Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι," καθὼς γέγραπται.

25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης ᾖς νόμου, ἡ περιτομή σου ἀκροβυστία γέγονεν.

gis justi apud Deum, sed factores legis justificabuntur.

14 Quum enim Gentes non legem habentes, natura ea quæ legis faciunt, ejusmodi legem non habentes, sibi ipsis sunt lex.

15 Qui ostendunt opus legis scriptum in cordibus suis, contestante ipsorum conscientia, et inter se invicem cogitationibus, accusantibus, aut etiam defendentibus,

16 In die quum judicabit Deus occulta hominum secundum Euangelium meum, per Jesum Christum.

17 Ecce tu Judæus cognominaris, et requiescis legi, et gloriaris in Deo,

18 Et nosti voluntatem, et probas differentia, instructus ex lege :

19 Confidisque teipsum ducem esse cæcorum, lumen eorum qui in tenebris :

20 Eruditorem insipientium, magistrum infantium, habentem formam scientiæ et veritatis in lege.

21 Ergo docens alium, teipsum non doces? prædicans non furari, furaris?

22 Dicens non mœchari, mœcharis? abominans idola, sacrilegium facis?

23 Qui in lege gloriaris, per transgressionem legis Deum inhonoras?

24 Ipsum enim nomen Dei per vos blasphematur in Gentibus, sicut scriptum est.

25 Circumcisio quidem enim prodest, si legem observes : si

θάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν.

26 Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται;

27 Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου;

28 Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ, Ἰουδαῖός ἐστιν· οὐδὲ ἡ ἐν τῷ φανερῷ, ἐν σαρκὶ, περιτομή·

29 Ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, Ἰουδαῖος· καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ.

autem transgressor legis sis, circumcisio tua præputium facta est.

26 Si igitur præputium instituta legis custodiat, nonne præputium illius in circumcisionem reputabitur?

27 Et judicabit ex natura præputium legem consummans, te per literam et circumcisionem transgressorem legis?

28 Non enim qui in manifesto, Judæus est: neque quæ in manifesto, in carne, circumcisio:

29 Sed qui in abscondito Judæus: et circumcisio cordis, in spiritu, non litera: cujus laus non ex hominibus, sed ex Deo

Κεφ. γ'. 3.

1 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς;

2 Πολὺ, κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ·

3 Τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει;

4 Μὴ γένοιτο· γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης· καθὼς γέγραπται· "Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε."

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω.

6 Μὴ γένοιτο· ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον;

7 Εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ

CAPUT III.

1 QUID ergo præstans Judæo? aut quæ utilitas circumcisionis?

2 Multum, per omnem modum. Primum quidem enim, quia credita sunt eloquia Dei.

3 Quid enim, si non crediderunt quidam, num incredulitas illorum fidem Dei inutilem reddet?

4 Ne fiat: esto autem Deus verax, omnis autem homo mendax, sicut scriptum est: Ut justificeris in sermonibus tuis, et vincas in judicari te.

5 Si autem iniquitas nostra Dei justitiam commendat, quid dicemus? Num injustus Deus, inferens iram? secundum hominem dico.

6 Ne sit: alioquin quomodo judicabit Deus mundum?

7 Si enim veritas Dei in meo

ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι ;

8 Καὶ μὴ, καθὼς βλασφημούμεθα, καὶ καθώς φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά ; ὧν τὸ κρίμα ἔνδικόν ἐστι.

9 Τί οὖν ; προεχόμεθα ; οὐ πάντως· προητιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι·

10 Καθὼς γέγραπται· "Ὅτι οὐκ ἔστι δίκαιος οὐδὲ εἷς·

11 Οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν·

12 Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός·

13 Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν,

14 Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει·

15 Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα·

16 Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν,

17 Καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν·

18 Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν."

19 Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ·

20 Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

21 Νυνὶ δὲ χωρὶς νόμου δικαιο-

mendacio abundavit in gloriam ipsius, quid adhuc et ego tanquam peccator judicor ?

8 Et non sicut blasphemamur, et sicut aiunt quidam nos dicere, quia faciamus mala, ut veniant bona ; quorum damnatio justa est.

9 Quid ergo ? præcellimur ? non omnino : præcausati sumus enim Judæosque et Græcos omnes sub peccato esse :

10 Sicut scriptum est, Non est justus, neque unus :

11 Non est intelligens, non est requirens Deum.

12 Omnes declinaverunt, simul inutiles facti sunt : non est faciens bonitatem, non est usque ad unum.

13 Sepulchrum patens guttur eorum : linguis suis dolose egerunt : venenum aspidum sub labiis eorum :

14 Quorum os maledictione et amaritudine plenum est :

15 Veloces pedes eorum effundere sanguinem.

16 Contritio et calamitas in viis eorum.

17 Et viam pacis non cognoverunt.

18 Non est timor Dei ante oculos eorum.

19 Scimus autem, quoniam quæcumque lex dicit, iis qui in lege loquitur, ut omne os obstruatur, et subditus fiat omnis mundus Deo.

20 Propterea ex operibus legis non justificabitur omnis caro coram illo : per enim legem cognitio peccati.

21 Nunc aut emsine lege jus-

σύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν·

22 Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας· οὐ γάρ ἐστι διαστολή·

23 Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ·

24 Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ·

25 Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων,

26 Ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, ἐν τῷ νῦν καιρῷ· εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.

27 Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. Διὰ ποίου νόμου; τῶν ἔργων; οὐχί· ἀλλὰ διὰ νόμου πίστεως.

28 Λογιζόμεθα οὖν, πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου.

29 Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν·

30 Ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.

31 Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν.

titia Dei manifestata est, testificata à lege et Prophetis.

22 Justitia autem Dei per fidem Jesu Christi, in omnes et super omnes credentes: non enim est distinctio.

23 Omnes enim peccaverunt, et deficiuntur gloria Dei:

24 Justificati gratis ipsius gratia, per redemptionem quæ in Christo Jesu.

25 Quem proposuit Deus propitiationem per fidem in ipsius sanguine, ad ostensionem justitiæ suæ, per remissionem præfactorum delictorum:

26 In sustentatione Dei, ad ostensionem justitiæ ejus, in nunc tempore: ad esse ipsum justum, et justificantem eum qui ex fide Jesu.

27 Ubi ergo gloriatio? exclusa est. Per quam legem? operum? non: sed per legem fidei.

28 Ratione colligimus ergo, fide justificari hominem, sine operibus legis.

29 An Judæorum Deus tantum? nonne vero et Gentium? imo et Gentium.

30 Si quidem unus Deus, qui justificabit circumcisionem ex fide, et præputium per fidem.

31 Legem ergo destruimus per fidem? ne fiat: sed legem stabilimus.

Κεφ. δ'. 4.

1 Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα;

2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων

CAPUT IV.

1 QUID ergo dicemus Abraham patrem nostrum invenisse secundum carnem?

2 Si enim Abraham ex

ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν.

3 Τί γὰρ ἡ γραφὴ λέγει; "Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην."

4 Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ τὸ ὀφείλημα·

5 Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην·

6 Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων.

7 "Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

8 Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν."

9 Ὁ μακαρισμὸς οὖν οὗτος, ἐπὶ τὴν περιτομὴν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

10 Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ.

11 Καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ· εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην·

12 Καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.

13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, ἢ τῷ σπέρματι

operibus justificatus est, habet gloriationem, sed non apud Deum.

3 Quid enim scriptura dicit? Credidit autem Abraham Deo, et reputatum est illi ad justitiam.

4 At operanti merces non imputatur secundum gratiam, sed secundum debitum.

5 At non operanti, credenti autem in justificantem impium, reputatur fides ejus ad justitiam.

6 Sicut et David dicit beatitudinem hominis, cui Deus imputat justitiam sine operibus:

7 Beati quorum remissæ sunt iniquitates, et quorum tecta sunt peccata.

8 Beatus vir cui non imputavit Dominus peccatum.

9 Beatitudo ergo hæc in circumcisione, an etiam in præputio? dicimus enim, quia reputata est Abrahæ fides ad justitiam.

10 Quomodo ergo reputata est? in circumcisione existenti, an in præputio? non in circumcisione, sed in præputio.

11 Et signum accepit circumcisionis, signaculum justitiæ fidei quæ in præputio, ad esse eum patrem omnium credentium per præputium, ad reputari et illis justitiam.

12 Et patrem circumcisionis, iis non ex circumcisione solum, sed et incedentibus vestigiis ejus quæ in præputio fidei patris nostri Abrahæ.

13 Non enim per legem promissio Abrahæ, aut semini ejus,

αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως·

14 Εἰ γὰρ οἱ ἐκ νόμου, κληρονόμοι, κεκένωται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία·

15 Ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις.

16 Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν,

17 Καθὼς γέγραπται· "Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε," κατέναντι οὗ ἐπίστευσε Θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα·

18 Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον· "Οὕτως ἔσται τὸ σπέρμα σου."

19 Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας·

20 Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ·

21 Καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι.

22 Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

23 Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ·

24 Ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν

hæredem eum esse mundi, sed per justitiam fidei.

14 Si enim qui ex lege, hæredes, exinanita est fides, et inutilis reddita est promissio.

15 Nam lex iram adoperatur : ubi enim non est lex, nec transgressio.

16 Propter hoc ex fide, ut secundum gratiam, ad esse firmam promissionem omni semini, non ei qui ex lege solum, sed et ei qui ex fide Abrahæ, qui est pater omnium nostrum,

17 Sicut scriptum est : Quia patrem multarum Gentium posui te, ante cui credidit Deum, vivisicantem mortuos, et vocantem non existentia ut existentia :

18 Qui contra spem in spem credidit, ad fieri eum patrem multarum Gentium, secundum dictum : Sic erit semen tuum.

19 Et non infirmatus fide, non consideravit suum ipsius corpus jam emortuum, centum annorum fere subsistens, et mortificationem vulvæ Saræ.

20 In autem repromissionem Dei non disceptavit diffidentia, sed confortatus est fide, dans gloriam Deo.

21 Et plenissime sciens, quia quod promisit, potens est et facere.

22 Ideo et reputatum est illi ad justitiam.

23 Non scriptum est autem propter ipsum solum, quia reputatum est illi :

24 Sed et propter nos, quibus futurum est imputari, cre-

ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν,

25 Ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

Κεφ. έ. 5.

1 Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

2 Δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ.

3 Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν· εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται·

4 Ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα·

5 Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.

6 Ἔτι γὰρ Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε.

7 Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν.

8 Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς, ὅτι ἔτι ἁμαρτολῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε.

9 Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς.

10 Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καdentibus in excitantem Jesum Dominum nostrum à mortuis.

25 Qui traditus est propter delicta nostra, et excitatus est propter justificationem nostram.

CAPUT V.

1 JUSTIFICATI ergo ex fide, pacem habemus ad Deum per Dominum nostrum Jesum Christum.

2 Per quem et accessum habuimus fide in gratiam istam in qua stetimus, et gloriamur in spe gloriæ Dei.

3 Non solum autem, sed et gloriamur in tribulationibus, scientes quod tribulatio patientiam operatur.

4 At patientia probationem, at probatio spem:

5 At spes non confundit, quia charitas Dei diffusa est in cordibus nostris per Spiritum sanctum datum nobis.

6 Adhuc enim Christus existentibus nobis infirmis, secundum tempus pro impiis mortuus est:

7 Vix enim pro justo quis moritur: pro enim bono forsitan quis et audet mori.

8 Commendat autem suam ipsius charitatem in nobis Deus, quoniam adhuc peccatoribus existentibus nobis, Christus pro nobis mortuus est.

9 Multo igitur magis justificati nunc in sanguine ipsius, servabimur per ipsum ab ira.

10 Si enim inimici existentes reconciliati sumus Deo per mortem Filii ejus, multo magis

καλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

11 Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.

12 Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον.

13 Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου.

14 Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος.

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα· εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσε.

16 Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα· τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων, εἰς δικαίωμα.

17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

18 Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δι' ἑνὸς

reconciliati servabimur in vita ipsius.

11 Non solum autem, sed et gloriantes in Deo per Dominum nostrum Jesum Christum, perquem nunc reconciliationem accepimus.

12 Propter hoc sicut per unum hominem peccatum in mundum intravit, et per peccatum mors, et ita in omnes homines mors pertransiit, in quo omnes peccaverunt.

13 Usque ad enim legem peccatum erat in mundo : peccatum autem non imputatur non existente lege.

14 Sed regnavit mors ab Adam usque ad Mosem, et in non peccantes in similitudinem transgressionis Adæ, qui est typus illius futuri.

15 Sed non sicut delictum, ita et donum. si enim unius delicto multi mortui sunt, multo magis gratia Dei et donum in gratia unius hominis Jesu Christi in multos abundavit.

16 Et non sicut per unum peccantem, donum : ipsum quidem enim judicium ex uno in condemnationem : at donatio ex multis delictis in justitiam.

17 Si enim unius delicto mors regnavit per unum, multo magis abundantiam gratiæ et donationis justitiæ accipientes, in vita regnabunt per unum Jesum Christum.

18 Igitur sicut per unam offensam in omnes homines in condemnationem : sic et per

δικαιώματος, εἰς πάντας ἀνθρώπους, εἰς δικαίωσιν ζωῆς.

19 Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

20 Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις,

21 Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Κεφ. ϛ'. 6.

1 Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ;

2 Μὴ γένοιτο· οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;

3 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;

4 Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.

5 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα,

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ·

7 Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.

unam justitiam, in omnes homines, in justificationem vitæ.

19 Sicut enim per inobedientiam unius hominis peccatores constituti sunt multi, ita et per obeditionem unius justi constituentur multi.

20 Lex autem subintravit ut abundaret delictum. ubi autem abundavit peccatum, superabundavit gratia.

21 Ut sicut regnavit peccatum in morte, ita et gratia regnet per justitiam in vitam æternam, per Jesum Christum Dominum nostrum.

CAPUT VI.

1 QUID ergo dicemus? Permanebimus in peccato, ut gratia abundet?

2 Ne fiat: qui mortui sumus peccato, quomodo adhuc vivemus in illo?

3 An ignoratis, quia quicumque baptizati sumus in Christum Jesum, in mortem ipsius baptizati sumus?

4 Consepulti sumus ergo illi per baptismum in mortem: ut quomodo excitatus est Christus à mortuis per gloriam Patris, ita et nos in novitate vitæ ambulemus.

5 Si enim complantati facti sumus similitudini mortis ejus sed et resurrectionis erimus

6 Hoc scientes, quia vetus noster homo simul crucifixus est, ut destruatur corpus peccati, ad non ultra serviendum nos peccato.

7 Nam moriens justificatus est à peccato.

8 Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ·

9 Εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει·

10 Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ·

11 Οὕτω καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ,

13 Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ· ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ·

14 Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο.

16 Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

17 Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς·

18 Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

19 Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν, ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν

8 Si autem mortui sumus cum Christo, credimus quia etiam simul vivemus ei:

9 Scientes quod Christus resurgens ex mortuis, non amplius moritur; mors illi non ultra dominatur.

10 Quod enim mortuus est, peccato mortuus est semel: quod autem vivit, vivit Deo.

11 Ita et vos existimate, vos ipsos mortuos quidem esse peccato, viventes autem Deo in Christo Jesu Domino nostro.

12 Non ergo regnet peccatum in mortali vestro corpore, ad obediendum ei in concupiscentiis ejus.

13 Neque sistite membra vestra arma injustitiæ peccato, sed exhibete vos ipsos Deo tamquam ex mortuis viventes, et membra vestra arma justitiæ Deo.

14 Peccatum enim vobis non dominabitur: non enim estis sub lege, sed sub gratia.

15 Quid ergo? peccabimus, quoniam non sumus sub lege, sed sub gratia? ne fiat.

16 Nescitis quoniam cui exhibetis vos ipsos servos ad obedientiam, servi estis cui obeditis, sive peccati ad mortem, sive obedientiæ ad justitiam?

17 Gratia autem Deo, quod fuistis servi peccati, obedistis autem ex corde in quam traditi estis formam doctrinæ.

18 Liberati autem à peccato, servi facti estis justitiæ.

19 Humanum dico, propter infirmitatem carnis vestræ, sicut enim exhibuistis membra

δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

20 Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.

21 Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος·

22 Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον.

23 Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

vestra serva immunditiæ et iniquitati ad iniquitatem: ita nunc exhibete membra vestra serva justitiæ in sanctificationem.

20 Quum enim servi essetis peccati, liberi fuistis justitiæ.

21 Quem ergo fructum habuistis tunc, in quibus nunc erubescitis? nam finis illorum, mors.

22 Nunc vero liberati à peccato, servi facti autem Deo, habetis fructum vestrum in sanctificationem: at finem, vitam æternam.

23 Nam stipendia peccati, mors: at donatio Dei, vita æterna in Christo Jesu Domino nostro.

Κεφ. ζ'. 7.

CAPUT VII.

1 Ἢ ἀγνοεῖτε, ἀδελφοί· γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ;

2 Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός.

3 Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ.

4 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ.

5 Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου, ἐνηργεῖτο ἐν τοῖς μέλε

1 AN ignoratis fratres, scientibus enim legem loquor, quia lex dominatur homini ad quantum tempus vivit?

2 Nam quæ sub viro est mulier, viventi viro alligata est lege: si autem mortuus fuerit vir, soluta est à lege viri.

3 Igitur vivente viro, adultera decernetur, si fuerit viro alteri: si autem mortuus fuerit vir, liberata est à lege, ad non esse eam adulteram, factam viro alteri.

4 Itaque, fratres mei, et vos mortificati estis legi per corpus Christi, ad esse vos viro alteri ex mortuis excitato, ut fructificemus Deo.

5 Quum enim essemus in carne, passiones peccatorum per legem operabantur in mem-

σιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ·

6 Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα· ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος.

7 Τί οὖν ἐροῦμεν; Ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, Οὐκ ἐπιθυμήσεις.

8 Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά.

9 Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν·

10 Ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς θάνατον.

11 Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν.

12 Ὥστε ὁ μὲν νομος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

14 Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινωσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ·

bris nostris, ad fructificandum morti.

6 Nunc autem soluti sumus à lege, mortua in qua detinebamur: ita ut servire nos in novitate spiritus, et non vetustate literæ.

7 Quid ergo dicemus? quia lex peccatum? ne fiat: sed peccatum non cognovi si non per legem: nam concupiscentiam nesciebam, si non lex diceret: Non concupisces.

8 Occasionem autem accipiens peccatum per mandatum, adoperatum est in me omnem concupiscentiam: sine enim lege peccatum mortuum.

9 Ego autem vivebam sine lege aliquando: veniente autem mandato, peccatum vixit.

10 Ego autem mortuus sum: et inventum est mihi mandatum quod ad vitam, hoc ad mor tem.

11 Nam peccatum, occasionem accipiens per mandatum, decepit me, et per illud occidit.

12 Itaque quidem lex sancta, et mandatum sanctum et justum et bonum.

13 Ergo bonum mihi factum est mors? ne fiat: sed peccatum: ut appareat peccatum per bonum mihi adoperatum mortem, ut fiat secundum hyperbolen peccans peccatum per mandatum.

14 Scimus enim quia lex spiritualis est: ego autem carnalis sum, venundatus sub peccato.

15 Quod enim adoperor, non cognosco: non enim quod volo, hoc ago, sed quod odi, illud facio.

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

17 Νυνὶ δὲ οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

18 Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω.

19 Οὐ γὰρ, ὃ θέλω, ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω.

20 Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

22 Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον·

23 Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;

25 Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ· τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

16 Si autem quod non volo, illud facio, consentio legi quoniam bona.

17 Nunc autem non amplius ego adoperor illud, sed habitans in me peccatum.

18 Scio enim quia non habitat in me, hoc est in carne mea, bonum: nam velle adjacet mihi, at perficere bonum, non invenio.

19 Non enim quod volo, facio bonum, sed quod non volo malum, hoc ago.

20 Si autem quod non volo ego illud facio, non jam ego adoperor illud, sed habitans in me peccatum.

21 Invenio igitur legem volenti mihi facere bonum, quoniam mihi malum adjacet.

22 Condelector enim legi Dei secundum interiorem hominem.

23 Video autem aliam legem in membris meis repugnantem legi mentis meæ, et captivantem me legi peccati existenti in membris meis.

24 Miser ego homo! quis me liberabit de corpore mortis hujus?

25 Gratias habeo Deo per Jesum Christum Dominum nostrum. Nempe igitur ipse ego quidem mente servio legi Dei: at carne, legi peccati.

Κεφ. ή. 8.

1 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα·

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος

CAPUT VIII.

1 NULLA nempe nunc condemnatio his qui in Christo Jesu, non secundum carnem ambulantibus, sed secundum spiritum.

2 Nam lex spiritus vitæ in

τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ,

4 Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα·

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος.

6 Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη·

7 Διότι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται.

8 Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται.

9 Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

10 Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν· τὸ δὲ πνεῦμα, ζωὴ διὰ δικαιοσύνην.

11 Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν.

12 Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν·

13 Εἰ γὰρ κατὰ σάρκα ζῆτε,

Christo Jesu, liberavit me à lege peccati et mortis.

3 Nam impossibile legis, in quo infirmabatur per carnem Deus suum ipsius Filium mittens in similitudine carnis peccati, et de peccato, damnavit peccatum in carne:

4 Ut justificatio legis impleretur in nobis non secundum carnem ambulantibus, sed secundum spiritum.

5 Nam secundum carnem existentes, ea quæ carnis, sapiunt: qui vero secundum spiritum, ea quæ spiritus.

6 Nam prudentia carnis, mors: at prudentia spiritus vita et pax.

7 Propter quod prudentia carnis, inimica in Deum: nam legi Dei non subjicitur: nec enim potest.

8 At in carne existentes, Deo placere non possunt.

9 Vos autem non estis in carne, sed in spiritu, siquidem spiritus Dei habitat in vobis. Si autem quis spiritum Christi non habet, hic non est ejus.

10 Si autem Christus in vobis, ipsum quidem corpus mortuum propter peccatum: at spiritus, vita propter justitiam.

11 Si autem spiritus excitantis Jesum ex mortuis habitat in vobis, suscitans Christum ex mortuis, vivificabit et mortalia corpora vestra per inhabitantem ejus spiritum in vobis.

12 Utique ergo, fratres, debitores sumus non carni, ad secundum carnem vivere.

13 Si enim secundum car-

μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

14 Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ.

17 Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι·

21 Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν·

23 Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν·

24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;

25 Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλ-

nem vivatis, futuri estis mori: si autem spiritu actiones corporis mortificetis, vivetis.

14 Quicumque enim spiritu Dei aguntur, ii sunt filii Dei.

15 Non enim accepistis spiritum servitutis iterum in timorem, sed accepistis spiritum adoptionis filiorum, in quo clamamus, Abba Pater.

16 Ipse spiritus contestatur spiritui nostro, quod sumus filii Dei.

17 Si autem filii, et hæredes: hæredes quidem Dei, cohæredes autem Christi: si modo compatimur, ut et conglorificemur.

18 Existimo enim, quod non dignæ passiones nunc temporis ad futuram gloriam revelari in nobis.

19 Nam anxia exspectatio creaturæ revelationem filiorum Dei expectat.

20 Nam vanitati creatura subjecta est, non volens, sed propter subjicientem:

21 In spe, quia et ipsa creatura liberabitur à servitute corruptionis in libertatem gloriæ filiorum Dei.

22 Scimus enim quod omnis creatura ingemiscit, et comparturit usque nunc.

23 Non solum autem, sed et ipsi primitias spiritus habentes, et nos ipsi in nobis ipsis gemimus, adoptionem filiorum expectantes, redemptionem corporis nostri.

24 Nam spe servati sumus spes autem visa, non est spes quod enim videt quis, quid et sperat?

25 Si autem quod non vide-

πίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

26 Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς·

30 Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

32 Ὃς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν·

34 Τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

mus, speramus, per patientiam expectamus.

26 Similiter autem et spiritus simul recipit infirmitates nostras: nam quid oremus sicut oportet, nescimus: sed ipse spiritus interpellat pro nobis gemitibus inenarrabilibus.

27 At scrutans corda, scit quid prudentia spiritus: quia secundum Deum interpellat pro sanctis.

28 Scimus autem, quoniam diligentibus Deum, omnia co-operantur in bonum, secundum propositum vocatis existentibus.

29 Nam quos præscivit, et prædestinavit conformes imaginis filii sui, ad esse eum primogenitum in multis fratribus.

30 Quos autem prædestinavit, hos et vocavit: et quos vocavit, hos et justificavit: quos autem justificavit, illos et glorificavit.

31 Quid ergo dicemus ad hæc? si Deus pro nobis, quis contra nos?

32 Qui etiam proprio filio non pepercit, sed pro nobis omnibus tradidit illum, quomodo non etiam cum illo omnia nobis gratificabit?

33 Quis accusabit adversus electos Dei? Deus justificans.

34 Quis condemnans? Christus mortuus, magis vero et excitatus: qui et est in dextera Dei, qui etiam interpellat pro nobis.

35 Quis nos separabit à charitate Christi? tribulatio, an angustia, an persequutio, an fames, an nuditas, an periculum, an gladius?

36 Καθὼς γέγραπται· "Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς."

37 Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

38 Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα,

39 Οὔτε ὕψωμα, οὔτε βάθος, οὔτέ τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

36 Sicut scriptum est: Quia propter te mortificamur totam diem: æstimati sumus sicut oves occisionis.

37 Sed in his omnibus superamus propter diligentem nos.

38 Persuasus sum enim, quia neque mors, neque vita, neque angeli, neque principatus, neque potestates, neque instantia, neque futura,

39 Neque altitudo, neque profunditas, neque aliqua creatura alia poterit nos separare à charitate Dei, quæ in Christo Jesu Domino nostro.

Κεφ. θ'. 9.

1 Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ,

2 Ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου·

3 Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα·

4 Οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι·

5 Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

6 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ·

7 Οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· "ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα,"

1 VERITATEM dico in Christo, non mentior, contestante mihi conscientia mea in Spiritu sancto,

2 Quoniam tristitia mihi est magna, et continuus dolor cordi meo.

3 Optabam enim ipse ego anathema esse à Christo pro fratribus meis cognatis meis secundum carnem:

4 Qui sunt Israëlitæ, quorum adoptio filiorum, et gloria, et testamenta, et legislatio, et cultus, et promissa;

5 Quorum patres, et ex quibus Christus, quod secundum carnem, existens super omnia Deus benedictus in secula, amen.

6 Non fieri potest autem, quod exciderit verbum Dei. non enim omnes qui ex Israël, ii Israël.

7 Neque quia sunt semen Abrahæ, omnes filii: sed in Isaac vocabitur tibi semen.

8 Τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα·

9 Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· "Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός."

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα, ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν·

11 Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος,

12 Ἐρρέθη αὐτῇ· Ὅτι "ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι."

13 Καθὼς γέγραπται· "Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα."

14 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο.

15 Τῷ γὰρ Μωσῇ λέγει· "Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω."

16 Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

17 Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ· "Ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ."

18 Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει.

19 Ἐρεῖς οὖν μοι· Τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;

20 Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ

8 Id est, non filii carnis, hi filii Dei: sed filii promissionis, æstimantur in semen:

9 Promissionis enim verbum hoc: Secundum tempus hoc veniam, et erit Saræ filius.

10 Non solum autem, sed et Rebecca, ex uno concubitum habens, Isaac patre nostro.

11 Nondum enim natis, neque agentibus quid bonum aut malum, ut secundum electionem Dei propositum maneret, non ex operibus, sed ex vocante.

12 Dictum est ei: Quia major serviet minori.

13 Sicut scriptum est, Jacob dilexi, at Esau odio habui.

14 Quid ergo dicemus? numquid iniquitas apud Deum? nefiat.

15 Nam Mosi dicit: Miserebor cujus misereor, et miserabor quemcumque miseratus sum.

16 Nempe igitur non volentis, neque currentis, sed miserentis Dei.

17 Dicit enim scriptura Pharaoni: Quia in ipsum hoc excitavi te, ut ostendam in te virtutem meam, et annuntietur nomen meum in universa terra.

18 Nempe ergo cujus vult, miseretur: quem autem vult, indurat.

19 Dices itaque mihi: Quid adhuc quæritur? nam voluntati ejus quis resistit?

20 Imo vero, ô homo, tu quis es respondens Deo? numquid

ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως;

21 Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

22 Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν·

23 Καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν,

24 Οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν,

25 Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· "Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην·

26 Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐῤῥήθη αὐτοῖς· Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος."

27 Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ· "ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται·

28 Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς."

29 Καὶ καθὼς προείρηκεν Ἡσαΐας· "Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορῤῥα ἂν ὡμοιώθημεν."

30 Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως·

31 Ἰσραὴλ δὲ διώκων νόμον δι-

dicit figmentum fictori: Quid me fecisti sic?

21 An non habet potestatem figulus luti, ex eadem massa facere hoc quidem in honorem vas, hoc vero in contumeliam?

22 Si autem volens Deus ostendere iram, et notam facere potentiam suam, sustinuit in multa longanimitate vasa iræ adaptata in interitum?

23 Et ut notas faceret divitias gloriæ suæ in vasa misericordiæ, quæ præparavit in gloriam?

24 Quos et vocavit nos, non solum ex Judæis, sed etiam ex Gentibus.

25 Sicut et in Osee dicit: Vocabo non populum meum, populum meum: et non dilectam, dilectam.

26 Et erit, in loco ubi dictum est eis: Non populus meus vos, ibi vocabuntur filii Dei vivi.

27 Esaias autem clamat pro Israël: Si fuerit numerus filiorum Israël tanquam arena maris, reliquiæ servabuntur.

28 Verbum enim consummans et abbrevians in justitia, quia verbum concisum faciet Dominus super terram.

29 Sicut prædixit Esaias: Si non Dominus Sabaoth reliquisset nobis semen, sicut Sodoma utique facti essemus, et sicut Gomorrha utique similes fuissemus.

30 Quid ergo dicemus? Quod Gentes non sectantes justitiam, apprehenderunt justitiam, justitiam autem quæ ex fide:

31 Israël vero sectans legem

καιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.

32 Διατί; Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος·

33 Καθὼς γέγραπται· "Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται."

justitiæ, in legem justitiæ non pervenit

32 Propter quid? quia non ex fide, sed quasi ex operibus legis. offenderunt enim lapidi offensionis:

33 Sicut scriptum est: Ecce ego pono in Sion lapidem offensionis, et petram scandali: et omnis credens in eum, non confundetur.

Κεφ. ι'. 10.

1 Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραὴλ ἐστιν εἰς σωτηρίαν.

2 Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν·

3 Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

4 Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

5 Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, "ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς."

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· "Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;" Τοῦτ' ἔστι Χριστὸν καταγαγεῖν.

7 "Ἢ, τίς καταβήσεται εἰς τὴν ἄβυσσον;" τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.

8 Ἀλλὰ τί λέγει; "Ἐγγύς σε τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σε, καὶ ἐν τῇ καρδίᾳ σου·" τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν·

9 Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ

CAPUT X.

1 FRATRES, ipsa quidem bono voluntas mei cordis, et obsecratio ad Deum, pro Israël est in salutem.

2 Testor enim illis, quod zelum Dei habent, sed non secundum scientiam.

3 Ignorantes enim Dei justitiam, et propriam justitiam quærentes statuere, justitiæ Dei non sunt subjecti.

4 Finis enim legis Christus, ad justitiam omni credenti.

5 Moses enim scribit Justitiam quæ ex lege, quod faciens ea homo, vivet in eis.

6 Quæ autem ex fide justitia sic dicit: Ne dixeris in corde tuo: Quis ascendet in cœlum? id est Christum deducere.

7 Aut: quis descendet in abyssum? Hoc est Christum à mortuis reducere.

8 Sed quid dicit? Prope te verbum est in ore tuo, et in corde tuo. hoc est verbum fidei, quod prædicamus.

9 Quia si confitearis in ore tuo Dominum Jesum, et credideris in corde tuo, quod Deus

Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ·

10 Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

11 Λέγει γὰρ ἡ γραφή· "Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται."

12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

13 "Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται."

14 Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος;

15 Πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται· "Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά."

16 Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· "Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;"

17 Ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.

18 Ἀλλὰ λέγω· Μὴ οὐκ ἤκουσαν; "Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν."

19 Ἀλλὰ λέγω· Μὴ οὐκ ἔγνω Ἰσραήλ; πρῶτος Μωσῆς λέγει, "Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς."

20 Ἡσαΐας, δὲ ἀποτολμᾷ, καὶ λέγει· "Εὑρέθην τοῖς ἐμὲ μὴ ζη-

illum suscitavit à mortuis, salvaberis.

10 Corde enim creditur ad justitiam, ore autem confessio fit ad salutem.

11 Dicit enim scriptura: Quia omnis credens in illum, non confundetur.

12 Non enim est distinctio Judæique et Græci, nam idem Dominus omnium, dives in omnes invocantes illum.

13 Omnis enim quicumque invocaverit nomen Domini, servabitur.

14 Quomodo ergo invocabunt in quem non crediderunt? Quomodo autem credent quem non audierunt? Quomodo autem audient sine prædicante?

15 Quomodo vero prædicabunt si non mittantur? Sicut scriptum est: Quam speciosi pedes euangelizantium pacem, euangelizantium bona!

16 Sed non omnes auscultarunt euangelio. Esaias enim dicit: Domine, quis credidit auditui nostro?

17 Ergo fides ex auditu: at auditus per verbum Dei.

18 Sed dico: Numquid non audierunt? Imo vero in omnem terram exivit sonus eorum, et in fines habitatæ verba eorum.

19 Sed dico: Numquid non cognovit Israël? primus Moses dicit: Ego ad æmulationem adducam vos in non gentem, in gentem insipientem in iram mittam vos.

20 Esaias autem audet, et dicit: Inventus sum me non

τοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι."

21 Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· "Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα."

quærentibus, conspicuus factus sum me non interrogantibus.

21 Ad autem Israël dicit: Totam diem expandi manus meas ad populum impersuasum, et contradicentem.

Κεφ. ια'. 11.

1 Λέγω οὖν· Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενϊαμίν.

2 Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων·

3 "Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου."

4 Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; "Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ."

5 Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ, λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν.

6 Εἰ δὲ χάριτι, οὐκ ἔτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις· εἰ δὲ ἐξ ἔργων, οὐκ ἔτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον.

7 Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν,

8 Καθὼς γέγραπται· "Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας."

9 Καὶ Δαβὶδ λέγει· "Γενηθήτω

CAPUT XI.

1 DICO ergo: Numquid repulit Deus populum suum? ne fiat: etenim ego Israëlita sum, ex semine Abraham, tribus Benjamin.

2 Non repulit Deus plebem suam quam præscivit. an nescitis in Elia quid dicit scriptura? ut interpellat Deum adversum Israël? dicens:

3 Domine, Prophetas tuos occiderunt, et altaria tua suffoderunt: et ego relictus sum solus, et quærunt animam meam.

4 Sed quid dicit illi divinum responsum? Reliqui mihi ipsi septies mille viros, qui non curvaverunt genua Baal.

5 Sic ergo et in nunc tempore residuum secundum electionem gratiæ factum est.

6 Si autem gratia, non jam ex operibus: alioquin gratia non jam est gratia. si autem ex operibus, non amplius est gratia: alioqui opus non amplius est opus.

7 Quid ergo? quod inquirit Israël, hoc non est consequutus: at electio consequuta est, at cæteri obduruerunt.

8 Sicut scriptum est: Dedit illis Deus spiritum compunctionis, oculos ad non videndum, et aures ad non audiendum, usque in hodiernum diem.

9 Et David dicit: Fiat mensa

ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτοῖς.

10 Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν· καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον."

11 Λέγω οὖν· Μὴ ἔπταισαν, ἵνα πέσωσι; Μὴ γένοιτο· ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς·

12 Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω·

14 Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν.

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου· τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

16 Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

17 Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου,

18 Μὴ κατακαυχῶ τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σε.

19 Ἐρεῖς οὖν· Ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ.

20 Καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ πίστει ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ·

21 Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδέ σου φείσηται.

eorum in laqueum, et in captionem, et in scandalum, et in retributionem illis.

10 Obscurentur oculi eorum ad non videndum, et dorsum eorum semper incurva.

11 Dico ergo: numquid offenderunt ut caderent? ne fiat: sed illorum ruina salus Gentibus, ad æmulatione excitandum illos.

12 Si vero ruina illorum divitiæ mundi, et diminutio eorum divitiæ Gentium, quanto magis plenitudo eorum?

13 Vobis enim dico Gentibus, ad quantum quidem sum ego Gentium Apostolus: ministerium meum glorificabo.

14 Si quomodo ad æmulandum provocem meam carnem, et salvem aliquos ex illis.

15 Si enim abjectio eorum, reconciliatio mundi; quæ assumptio, si non vita ex mortuis?

16 Si vero primitiæ sanctæ, et massa: et si radix sancta, et rami.

17 Si vero aliqui ramorum defracti sunt, tu autem oleaster existens insertus es in illis, et particeps radicis et pinguedinis olivæ factus es,

18 Ne obglorieris ramis. si vero obgloriaris, non tu radicem portas, sed radix te.

19 Dices ergo: Defracti sunt rami, ut ergo insererer.

20 Pulchre: incredulitate defracti sunt, tu autem fide stas: ne efferaris animo, sed time.

21 Si enim Deus ipsis secundum naturam ramis non pepercit, ne forte nec tibi parcat.

22 Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δέ σε, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ·

22 Vide ergo benignitatem et severitatem Dei: in quidem lapsos, severitatem: in autem te, benignitatem, si permanseris in benignitate: alioquin et tu excideris.

23 Καὶ ἐκεῖνοι δὲ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς·

23 Et illi autem, se non permanserint in incredulitate, inserentur: potens enim est Deus iterum inserere illos.

24 Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

24 Si enim tu ex illo secundum naturam excisus es oleastro, et contra naturam insertus es in bonam olivam, quanto magis ii qui secundum naturam, inserentur propriæ olivæ?

25 Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ·

25 Non enim volo vos ignorare, fratres, mysterium hoc, ut non sitis apud vos ipsos arrogantes, quia obduratio ex parte Israël facta est, usquequo plenitudo Gentium intraret.

26 Καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται, καθὼς γέγραπται· "Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ·

26 Et sic omnis Israël servabitur, sicut scriptum est: Veniet ex Sion liberator, et avertet impietates à Jacob.

27 Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν."

27 Et hoc illis à me fœdus, quum abstulero peccata eorum.

28 Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας.

28 Secundum quidem Euangelium, inimici propter vos: secundum autem electionem, dilecti propter patres.

29 Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ.

29 Impœnitibilia enim dona, et vocatio Dei.

30 Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτε ἠπειθήσατε τῷ Θεῷ, νῦν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ·

30 Sicut enim aliquando et vos non credidistis Deo, nunc autem misericordiam consequuti estis illorum incredulitate:

31 Οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι.

31 Ita et isti nunc non crediderunt vestræ misericordiæ, ut et ipsi misericordiam consequantur.

32 Συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς

32 Conclusit enim Deus om

πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ.

33 Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

34 "Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;

35 Ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;"

36 "Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· Ἀμήν.

Κεφ. ιβ'. 12.

1 Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν·

2 Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.

3 Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν· ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.

4 Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν·

5 Οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεῖς, ἀλλήλων μέλη·

6 Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα,

nes in incredulitatem, ut omnium misereatur.

33 O profunditas divitiarum et sapientiæ et scientiæ Dei! quam incomprehensibilia judicia ejus, et impervestigabiles viæ ejus!

34 Quis enim cognovit sensum Domini? aut quis consiliarius ejus fuit?

35 Aut quis prior dedit illi, et retribuetur ei?

36 Quoniam ex ipso, et per ipsum, et in ipso omnia: ipsi gloria in secula. Amen.

CAPUT XII.

1 HORTOR itaque vos fratres, per miserationes Dei, sistere corpora vestra hostiam viventem, sanctam, beneplacentem Deo, rationalem cultum vestrum.

2 Et ne configuramini seculo huic: sed reformamini renovatione sensus vestri, ad probandum vos quæ voluntas Dei bona, et beneplacens, et perfecta.

3 Dico enim per gratiam datam mihi, omni existente in vobis, non super sapere præter quod oportet sapere, sed sapere, ad sobrium esse, unicuique sicut Deus partitus est mensuram fidei.

4 Sicut enim in uno corpore membra multa habemus, at membra omnia non eundem habent actum:

5 Ita multi unum corpus sumus in Christo, at singuli aliorum membra.

6 Habentes autem donationes secundum gratiam datam nobis

εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως·

7 Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ.

8 Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ μεταδιδοὺς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι.

9 Ἡ ἀγάπη, ἀνυπόκριτος· Ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ.

10 Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι· Τῇ τιμῇ ἀλλήλους προηγούμενοι·

11 Τῇ σπουδῇ μὴ ὀκνηροί· Τῷ πνεύματι ζέοντες· Τῷ καιρῷ δουλεύοντες·

12 Τῇ ἐλπίδι χαίροντες· Τῇ θλίψει ὑπομένοντες· Τῇ προσευχῇ προσκαρτεροῦντες·

13 Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες· Τὴν φιλοξενίαν διώκοντες.

14 Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

15 Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων·

16 Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. "Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς·

17 Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες· Προνοέμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων."

18 Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.

19 Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ· "Ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει Κύριος·

20 Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου,

differentes, sive prophetium, secundum rationem fidei:

7 Sive ministerium, in ministerio: sive docens, in doctrina:

8 Sive exhortans, in exhortatione: distribuens, in simplicitate: præfectus, in solicitudine: miserescens, in hilaritate.

9 Dilectio, sine simulatione: odientes malum, adhærentes bono.

10 Fraterna charitate in sese mutuo amore propensi. honore alii alios prævenientes.

11 Solitudine non pigri. spiritu ferventes. Domino servientes.

12 Spe gaudentes. Tribulatione patientes. Orationi instantes.

13 Usibus sanctorum communicantes. Hospitalitatem sectantes.

14 Benedicite persequentibus vos: benedicite, et ne imprecemini.

15 Gaudere cum gaudentibus, et flere cum flentibus.

16 Idipsum in invicem sentientes. Non alta sapientes. sed cum humilibus vos demittentes. Ne este prudentes apud vosmetipsos.

17 Nulli malum pro malo reddentes: procurantes honesta coram omnibus hominibus.

18 Si possibile, quod ex vobis, cum omnibus hominibus pacem habentes.

19 Non vosmetipsos, ulciscentes, dilecti: sed date locum iræ: scriptum est enim: Mihi vindicta, ergo retribuam, dicit Dominus.

20 Si ergo esurierit inimicus

φώμιζε αὐτον· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ."

21 Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ· ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Κεφ. ιγ'. 13.

1 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. Οὐ γὰρ ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν·

2 Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται.

3 Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν· θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς·

4 Θεὸς γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν· ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.

5 Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.

6 Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες.

7 Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν

8 Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε.

9 Τὸ γάρ· οὐ μοιχεύσεις· οὐ φονεύσεις· οὐ κλέψεις· οὐ ψευδο-

tuus, ciba illum: si sitit, potum da illi. hoc enim faciens, carbones ignis congeres super caput ejus.

21 Ne vincitor à malo, sed vince in bono malum.

CAPUT XIII.

1 OMNIS anima potestatibus eminentibus subdita sit. non enim est potestas si non à Deo: quæ autem sunt potestates, à Deo ordinatæ sunt.

2 Itaque resistens potestati, Dei ordinationi resistit: at resistentes, sibi ipsis damnationem accipient.

3 Nam principes non sunt pavor bonorum operum, sed malorum. vis autem non timere potestatem? bonum fac; et habebis laudem ex illa.

4 Dei enim minister est tibi in bonum. Si autem malum feceris, time: non enim frustra gladium portat. Dei enim minister est, vindex in iram malum agenti.

5 Ideoque necessitas subjici, non solum propter iram, sed etiam propter conscientiam.

6 Propter hoc enim et tributa solvitis: ministri enim Dei sunt in hoc ipsum fortiter incumbentes.

7 Reddite ergo omnibus debita: cui tributum, tributum: cui vectigal, vectigal: cui timorem, timorem: cui honorem, honorem:

8 Nemini quicquam debeatis, si non deligere alii alios: nam diligens alterum, legem implevit.

9 Hoc enim: Non mœchaberis: Non occides: Non fu-

μαρτυρήσεις· οὐκ ἐπιθυμήσεις· καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

10 Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

11 Καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν.

12 Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν, ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

13 Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ·

14 Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

raberis: Non falsum testaberis: Non concupisces; et si quod aliud mandatum, in hoc verbo recapitulatur, in hoc: Diliges proximum tuum sicut teipsum.

10 Dilectio proximo malum non operatur. plenitudo ergo legis dilectio.

11 Et hoc, scientes tempus, quia hora nos jam de somno excitari: nunc enim proprior nostra salus, quam quum credidimus.

12 Nox processit, at dies appropinquavit. abjiciamus ergo opera tenebrarum, et induamur arma lucis.

13 Sicut in die, decenter ambulemus, non comessationibus et ebrietatibus, non cubilibus et lasciviis, non lite et æmulatione:

14 Sed induimini dominum Jesum Christum, et carnis curam ne feceritis in desideriis.

Κεφ. ιδ'. 14.

1 Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν.

2 Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει.

3 Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο.

4 Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

5 Ὃς μὲν κρίνει ἡμέραν, παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν· ἕκαστος ἐν τῷ ἰδίῳ νοὶ πληροφορείσθω.

6 Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν,

CAPUT XIV.

1 INFIRMUM autem fide assumite, non in disceptationes disputationum.

2 Hic quidem credit manducare omnia, at infirmus olus edit.

3 Manducans, non manducantem non spernat: et non manducans, manducantem non judicet· Deus enim illum assumpsit.

4 Tu quis es judicans alienum servum? Proprio domino stat aut cadit. stabit autem: potens enim est Deus statuere illum.

5 Hic quidem judicat diem inter diem, hic autem judicat omnem diem. unusquisque in proprio sensu abundet.

6 Sapiens diem, Domino sapit: et non sapiens diem Do-

Κυρίῳ οὐ φρονεῖ· ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ.

7 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει.

8 Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν·

9 Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

10 Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ·

11 Γέγραπται γάρ· "Ζῶ ἐγὼ λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ."

12 Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.

13 Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον.

14 Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ· εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν·

15 Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς· Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε.

16 Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν·

17 Οὐ γάρ ἐστιν ἡ βασιλεία

mino non sapit: manducans Domino manducat, gratias agit enim Deo: et non manducans, Domino non manducat, et gratias agit Deo.

7 Nemo enim nostrum sibi ipsi vivit, et nemo sibi ipsi moritur.

8 Sive enim vivimus, Domino vivimus: sive morimur, Domino morimur. sive ergo vivimus, sive morimur, Domini sumus.

9 In hoc enim Christus et mortuus est, et resurrexit, et revixit, ut et mortuorum et vivorum dominetur.

10 Tu autem quid judicas fratrem tuum? aut et tu quid spernis fratrem tuum? omnes enim sistemur tribunali Christi.

11 Scriptum est enim: Vivo ego, dicit Dominus, quoniam mihi flectet omne genu, et omnis lingua confitebitur Deo.

12 Itaque unusquisque nostrum proseipso rationem reddet Deo.

13 Non amplius ergo invicem judicemus: sed hoc judicate magis, non ponere offendiculum fratri, vel scandalum.

14 Scio et persuasus sum in Christo Jesu, quia nihil commune per seipsum, si non existimanti aliquid commune esse, illi commune.

15 Si vero propter cibum frater tuus contristatur, non amplius secundum charitatem ambulas. ne cibo tuo illum perde, pro quo Christus mortuus est.

16 Non blasphemetur ergo vestrum bonum.

17 Non enim est regnum Dei

τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ·

18 Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ Θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώποις.

19 Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους.

20 Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ· πάντα μὲν καθαρά· ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι.

21 Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ.

22 Σὺ πίστιν ἔχεις; κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει.

23 Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.

Κεφ. ιέ. 15.

1 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν·

2 Ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν·

3 Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς γέγραπται· "Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ' ἐμέ."

4 Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν.

5 Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ

esca et potus, sed justitia et pax, et gaudium in Spiritu sancto.

18 Nam in his serviens Christo, beneplacens Deo et probatus hominibus.

19 Nempe igitur quæ pacis sectemur, et quæ ædificationis ad invicem.

20 Ne propter escam destruito opus Dei. omnia quidem munda: sed malum homini per offendiculum edenti.

21 Pulchrum non manducare carnem, neque bibere vinum, neque in quo frater tuus offenditur, aut scandalizatur aut infirmatur.

22 Tu fidem habes: penes teipsum habe coram Deo. Beatus non judicans semetipsum in eo quod probat.

23 At ambigens, si manducaverit, damnatus est, quia non ex fide. omne autem quod non ex fide, peccatum est.

CAPUT XV.

1 DEBEMUS autem nos potentes imbecillitates impotentum portare, et non nobis ipsis placere.

2 Unusquisque enim vestrum proximo placeat in bonum ad ædificationem.

3 Etenim Christus non sibi ipsi placuit, sed, sicut scriptum est: Improperia improperantium tibi, ceciderunt super me.

4 Quæcumque enim ante scripta sunt, ad nostram doctrina mante scripta sunt: ut per patientiam et consolationem scripturarum, spem habeamus.

5 At Deus patientiæ et solatii det vobis id ipsum sapere in

φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν·

6 Ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

7 Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν Θεοῦ.

8 Λέγω δὲ Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων·

9 Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεὸν, καθὼς γέγραπται· "Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ."

10 Καὶ πάλιν λέγει· "Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ."

11 Καὶ πάλιν· "Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί."

12 Καὶ πάλιν Ἡσαΐας λέγει· "Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν."

13 Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου.

14 Πέπεισμαι δὲ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν.

15 Τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀδελφοὶ, ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ,

16 Εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται

se invicem, secundum Christum Jesum :

6 Ut unanimiter in uno ore glorificetis Deum, et patrem Domini nostri Jesu Christi.

7 Ideo suscipite alii alios, sicut et Christus suscepit vos in honorem Dei.

8 Dico autem Jesum Christum ministrum fuisse circumcisionis propter veritatem Dei, ad confirmandum promissiones patrum.

9 At gentes super misericordia glorificare Deum ; sicut scriptum est : Propter hoc confitebor tibi in Gentibus, Domine, et nomini tuo psallam.

10 Et iterum dicit : Lætamini Gentes cum plebe ejus.

11 Et iterum : Laudate Dominum omnes Gentes, et magnificate eum omnes populi.

12 Et rursus Esaias ait : Erit radix Jesse, et exsurgens regere Gentes, in eum Gentes sperabunt.

13 At Deus spei repleat vos omni gaudio et pace in credere ad abundandum vos in spe, in virtute Spiritus sancti.

14 Persuasus sum autem, fratres mei, et ipse ego de vobis, quoniam et ipsi pleni estis bonitate, repleti omni scientia, potentes et alii alios monere.

15 Audacius autem scripsi vobis, fratres, ex parte, tanquam in memoriam reducens vos per gratiam datam mihi à Deo,

16 Ad esse me ministrum Jesu Christi in Gentibus, sanctificantem Euangelium Dei, ut

ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.

17 Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς Θεόν·

18 Οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ,

19 Ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος Θεοῦ· ὥστε με ἀπὸ Ἰερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,

20 Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ·

21 Ἀλλὰ, καθὼς γέγραπται· "Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἱ οὐκ ἀκηκόασι, συνήσουσι."

22 Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς.

23 Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν·

24 Ὡς ἐὰν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς· ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ· ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.

25 Νυνὶ δὲ πορεύομαι εἰς Ἰερουσαλὴμ, διακονῶν τοῖς ἁγίοις·

26 Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἰερουσαλήμ·

27 Εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν· εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς.

fiat oblatio Gentium accepta, sanctificata in Spiritu sancto.

17 Habeo igitur gloriationem in Christo Jesu quæ ad Deum.

18 Non enim audebo loqui aliquid eorum quæ non effecit Christus per me, in obedientiam Gentium, verbo et opere.

19 In virtute signorum et prodigiorum, in virtute Spiritus Dei, ita ut me ab Hierusalem et circum usque ad Illyricum implevisse Euangelium Christi:

20 Sic autem amanter contendentem euangelizare, non ubi nominatus est Christus, ut non super alienum fundamentum ædificem.

21 Sed, sicut scriptum est: Quibus non annuntiatum est de eo, videbunt: et qui non audierunt, intelligent.

22 Ideo et impediebar plurimum venire ad vos.

23 Nunc vero non ulterius locum habens in regionibus his, cupiditatem autem habens veniendi ad vos à multis annis.

24 Ut si proficiscar in Hispaniam, veniam ad vos. spero enim præteriens conspicere vos, et à vobis præmitti illuc; si vobis primum ex parte impletus fuero.

25 Nunc autem proficiscor in Hierusalem, ministrans sanctis.

26 Probaverunt enim Macedonia et Achaja collationem aliquam facere in pauperes sanctorum qui in Hierusalem.

27 Placuit eis enim, et debitores eorum sunt. si enim spiritualibus eorum participarunt Gentes, debent et in carnalibus ministrare eis.

28 Τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι δι' ὑμῶν εἰς τὴν Σπανίαν.

29 Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι.

30 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος, συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν·

31 Ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις·

32 Ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν.

33 Ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν.

Κεφ. ιϛ'. 16.

1 Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς·

2 Ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι· καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ.

3 Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ·

4 Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν· οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν·

5 Καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. Ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν.

28 Hoc igitur perficiens, et assignans eis fructum, hunc, proficiscar per vos in Hispaniam.

29 Scio autem quoniam veniens ad vos, in plenitudine benedictionis Euangelii Christi veniam.

30 Obsecro autem vos, fratres, per Dominum nostrum Jesum Christum, et per charitatem Spiritus simul contendere mihi in orationibus pro me ad Deum.

31 Ut liberer ab infidelibus in Judæa, et ut ministerium meum in Hierusalem acceptum fiat sanctis :

32 Ut in gaudio veniam ad vos per voluntatem Dei, et simul recreer vobiscum.

33 At Deus pacis cum omnibus vobis. Amen.

CAPUT XVI.

1 COMMENDO autem vobis Phœben sororem nostram, existentem ministram ecclesiæ quæ in Cenchris :

2 Ut eam suscipiatis in Domino digne sanctis, et assistatis ei in quocumque vestri usus fuerit negotio : etenim ipsa patrona multis facta est, et ipsi mihi.

3 Salutate Priscillam et Aquilam simul operantes meos in Christo Jesu :

4 Qui pro anima mea suam ipsorum cervicem supposuerunt : quibus non ego solus gratias ago, sed et cunctæ ecclesiæ Gentium.

5 Et domesticam eorum ecclesiam. Salutate Epænetum dilectum mihi, qui est primitiæ Achajæ in Christo.

6 Ἀσπάσασθε Μαριὰμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς.

7 Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου, καὶ συναιχμαλώτους μου· οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ.

8 Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν Κυρίῳ.

9 Ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου.

10 Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου.

11 Ἀσπάσασθε Ἡρῳδίωνα τὸν συγγενῆ μου· Ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ.

12 Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν Κυρίῳ. Ἀσπάσασθε Περσίδα τὴν ἀγαπητὴν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ.

13 Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ.

14 Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς.

15 Ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους.

16 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ.

17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐτῶν·

18 Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν,

6 Salutate Mariam, quæ multum laboravit in nobis.

7 Salutate Andronicum et Juniam cognatos meos, et concaptivos meos; qui sunt insignes in Apostolis, qui et ante me fuerunt in Christo.

8 Salutate Ampliam dilectum meum in Domino.

9 Salutate Urbanum simul operantem nostrum in Christo, et Stachyn dilectum meum.

10 Salutate Apellen probum in Christo: salutate eos qui ex Aristobuli.

11 Salutate Herodionem cognatum meum. Salutate eos qui ex Narcissi, existentes in Domino.

12 Salutate Tryphænam et Tryphosam laborantes in Domino. Salutate Persidem dilectam, quæ multum laboravit in Domino.

13 Salutate Rufum electum in Domino, et matrem ejus et meam.

14 Salutate Asyncritum, Phlegontem, Herman, Patrobam, Hermen, et qui cum eis fratres.

15 Salutate Philologum et Juliam, Nereum et sororem ejus, et Olympan, et qui cum eis omnes sanctos.

16 Salutate alii alios in osculo sancto. Salutant vos ecclesiæ Christi.

17 Rogo autem vos, fratres, speculari dissensiones et offendicula præter doctrinam quam vos didicistis, facientes; et declinate ab illis.

18 Nam hujuscemodi Domino nostro Jesu Christo non ser-

ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων.

19 Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. Χαίρω οὖν τὸ ἐφ' ὑμῖν· θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστὸ μεθ' ὑμῶν. Ἀμήν.

21 Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου.

22 Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ.

23 Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. Ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός.

24 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

25 Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου·

26 Φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος·

27 Μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Πρὸς Ῥωμαίους ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.

viunt, sed suo ipsorum ventri · et per blandiloquentiam et benedicentiam decipiunt corda innocentium.

19 Nam vestra obedientia in omnes devenit. Gaudeo igitur hoc in vobis : volo autem vos sapientes quidem esse in bono, simplices autem in malo.

20 At Deus pacis conteret Satanam sub pedibus vestris in celeritate. Gratia Domini nostri Jesu Christi vobiscum. Amen.

21 Salutant vos Timotheus simul operans meus, et Lucius et Jason et Sosipater cognati mei.

22 Saluto vos ego Tertius, scribens epistolam in Domino.

23 Salutat vos Caius hospes meus et ecclesiæ universæ. Salutat vos Erastus procurator civitatis, Quartus frater.

24 Gratia Domini nostri Jesu Christi cum omnibus vobis. Amen.

25 At potenti vos stabilire juxta euangelium meum et prædicationem Jesu Christi, secundum revelationem mysterii temporibus æternis taciti :

26 Manifestati autem nunc perque scripturas propheticas, secundum præceptum æterni Dei, ad obedientiam fidei, in cunctis Gentibus cogniti :

27 Soli sapienti Deo, per Jesum Christum, cui gloria in secula. Amen.

Ad Romanos scripta à Corintho per Phœben ministram ejus quæ in Cenchreis ecclesiæ

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΚΟΡΙΝΘΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφ. ά. 1.

1 ΠΑΥΛΟΣ, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφὸς,

2 Τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν·

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ·

5 Ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει,

6 Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν·

7 Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

8 Ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

9 Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

10 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ.

PAULI

Apostoli ad

CORINTHIOS

EPISTOLA PRIOR.

CAPUT I.

1 PAULUS vocatus Apostolus Jesu Christi, per voluntatem Dei, et Sosthenes frater,

2 Ecclesiæ Dei existenti in Corintho, sanctificatis in Christo Jesu, vocatis sanctis, cum omnibus invocantibus nomen Domini nostri Jesu Christi, in omni loco, ipsorumque et nostro :

3 Gratia vobis et pax à Deo Patre nostro, et Domino Jesu Christo.

4 Gratias ago Deo meo semper pro vobis, de gratia Dei data vobis in Christo Jesu.

5 Quia in omnibus ditati estis in illo, in omni verbo et omni scientia.

6 Sicut testimonium Christi confirmatum est in vobis :

7 Ita ut vos non defici in ullo dono, expectantes revelationem Domini nostri Jesu Christi :

8 Qui et confirmabit vos usque in finem inculpatos in die Domini nostri Jesu Christi.

9 Fidelis Deus, per quem vocati estis in communionem Filii ejus Jesu Christi Domini nostri

10 Obsecro autem vos, fratres, per nomen Domini nostri Jesu Christi, ut idipsum dicatis omnes, et non sint in vobis schismata, sitis autem perfecti in eadem mente et in eadem sententia.

11 Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι·

12 Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ.

13 Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;

14 Εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον·

15 Ἵνα μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.

16 Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα·

17 Οὐ γὰρ ἀπέστειλέ με Χριστος βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

18 Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι.

19 Γέγραπται γάρ· "Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.

20 Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;" Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

21 Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

22 Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν

11 Manifestatum est enim mihi de vobis, fratres mei, ab iis qui Chloes, quia contentiones in vobis sunt:

12 Dico autem hoc, quod unusquisque vestrum dicit: Ego quidem sum Pauli, ego autem Apollo, ego vero Cephæ, ego autem Christi.

13 Divisus est Christus? Num Paulus crucifixus est pro vobis? aut in nomen Pauli baptizati estis?

14 Gratias ago Deo quod neminem vestrum baptizavi, si non Crispum et Cajum:

15 Ut ne quis dicat quod in meum nomen baptizavi.

16 Baptizavi autem et Stephanæ domum: Cæterum nescio si quem alium baptizavi.

17 Non enim misit me Christus baptizare, sed euangelizare: non in sapientiâ verbi, ut non evacuetur crux Christi.

18 Verbum enim crucis quidem pereuntibus stultitia est, at servatis nobis virtus Dei est.

19 Scriptum est enim: Perdam sapientiam sapientium, et prudentiam prudentium reprobabo.

20 Ubi sapiens? Ubi scriba? Ubi inquisitor seculi hujus? Nonne infatuavit Deus sapientiam mundi hujus?

21 Postquam enim in sapientia Dei non cognovit mundus per sapientiam Deum, placuit Deo per stultitiam prædicationis servare credentes.

22 Quandoquidem et Judæi signum petunt, et Græci sapientiam quærunt:

23 Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν·

24 Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

25 Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί.

26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι ο�ὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς·

27 Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύνῃ· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυρά·

28 Καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ·

29 Ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ.

30 Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγεννήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·

31 Ἵνα, καθὼς γέγραπται· "Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω."

Κεφ. β'. 2.

1 Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ·

2 Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.

3 Καὶ ἐγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς·

23 Nos autem prædicamus Christum crucifixum, Judæis quidem scandalum, Græcis autem stultitiam :

24 Ipsis autem vocatis Judæis atque Græcis Christum Dei virtutem et Dei sapientiam.

25 Quia quod stultum Dei, sapientius hominibus est : et quod infirmum Dei, fortius hominibus est.

26 Videte enim vocationem vestram, fratres, quia non multi sapientes secundum carnem, non multi potentes, non multi nobiles :

27 Sed stulta mundi elegit Deus, ut sapientes pudefaceret et infirma mundi elegit Deus, ut pudefaceret fortia.

28 Et ignobilia mundi et contemptibilia elegit Deus, et non existentia, ut existentia aboleret.

29 Ut non glorietur omnis caro in conspectu ejus.

30 Ex ipso autem vos estis in Christo Jesu, qui factus est nobis sapientia à Deo, justitiaque et sanctificatio et redemptio.

31 Ut, quemadmodum scriptum est. Glorians, in Domino glorietur.

CAPUT II.

1 ET ego veniens ad vos, fratres, veni non in sublimitate sermonis aut sapientiæ, annuntians vobis testimonium Dei.

2 Non enim judicavi scire aliquid in vobis, si non Jesum Christum, et hunc crucifixum.

3 Et ego in infirmitate et in timore et in tremore multo factus sum apud vos.

4 Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως·

5 Ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

6 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων·

7 Ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν,

8 Ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

9 Ἀλλὰ καθὼς γέγραπται· "Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν."

10 Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

11 Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ.

12 Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν,

13 Ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

14 Ψυχικὸς δὲ ἄνθρωπος οὐ

4 Et sermo meus et prædicatio mea non in persuasibilibus humanæ sapientiæ verbis, sed in ostensione spiritus et virtutis :

5 Ut fides vestra non sit in sapientia hominum, sed in virtute Dei.

6 Sapientiam autem loquimur in perfectis, sapientiam vero non seculi hujus, neque principum seculi hujus qui destruuntur :

7 Sed loquimur sapientiam Dei in mysterio, occultatam, quam prædestinavit Deus ante secula in gloriam nostram :

8 Quam nemo principum seculi hujus cognovit : si enim cognovissent, non utique Dominum gloriæ crucifixissent.

9 Sed sicut scriptum est : Quæ oculus non vidit, et auris non audivit, et in cor hominis non ascendit, quæ præparavit Deus diligentibus illum :

10 Nobis autem Deus revelavit per Spiritum suum : nam Spiritus omnia scrutatur, etiam profunda Dei.

11 Quis enim scit hominum quæ hominis, si non spiritus hominis qui in ipso ? Ita et quæ Dei nemo novit, si non spiritus Dei.

12 Nos autem non spiritum mundi accepimus, sed Spiritum qui ex Deo, ut sciamus ipsa à Deo donata nobis :

13 Quæ et loquimur non in doctis humanæ sapientiæ verbis, sed in doctis Spiritus sancti : spiritualibus spiritualia conferentes.

14 Animalis autem homo non

δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται·

15 Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

16 "Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;" Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

Κεφ. γ'. 3.

1 Καὶ ἐγώ, ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ·

2 Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε·

3 "Ετι γὰρ σαρκικοί ἐστε. "Οπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;

4 "Οταν γὰρ λέγῃ τις· Ἐγὼ μέν εἰμι Παύλου· ἕτερος δέ· Ἐγὼ Ἀπολλώ· οὐχὶ σαρκικοί ἐστε;

5 Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς, ἀλλ' ἢ διάκονοι δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν;

6 Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ἠύξανεν.

7 "Ωστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός.

8 Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἓν εἰσιν· ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον·

9 Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε.

10 Κατὰ τὴν χάριν τοῦ Θεοῦ

percipit ea quæ Spiritus Dei stultitia enim illi est, et non potest cognoscere, quia spiritualiter dijudicantur.

15 At spiritualis dijudicat quidem omnia: ipse vero à nemine dijudicatur.

16 Quis enim cognovit sensum Domini, qui instruet eum? nos autem sensum Christi habemus.

CAPUT III.

1 Et ego, fratres, non potui vobis loqui quasi spiritualibus, sed quasi carnalibus, tanquam infantibus in Christo.

2 Lac vobis potum dedi, et non escam: nondum enim poteratis· sed nec adhuc nunc potestis.

3 Adhuc enim carnales estis. Quum enim in vobis zelus et contentio, et dissidia: nonne carnales estis, et secundum hominem ambulatis?

4 Quum enim dicat quis· Ego quidem sum Pauli: alius autem, ego Apollo: nonne carnales estis?

5 Quis igitur est Paulus, quis Apollo, nisi ministri per quos credidistis, et unicuique sicut Dominus dedit?

6 Ego plantavi, Apollo rigavit: sed Deus incrementum dedit.

7 Itaque neque plantans est aliquid, neque rigans, sed incrementum dans Deus.

8 Plantans autem et rigans unum sunt: unusquisque autem propriam mercedem accipiet secundum proprium laborem.

9 Dei enim sumus co-operatores: Dei agricultura, Dei ædificatio estis.

10 Secundum gratiam Dei

τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ.

11 Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός.

12 Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην·

13 Ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει.

14 Εἴ τινος τὸ ἔργον μένει ὃ ἐποικοδόμησε, μισθὸν λήψεται·

15 Εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός.

16 Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;

17 Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.

18 Μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός·

19 Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ ἐστι· γέγραπται γάρ· "Ὁ δρασσόμενος τὰς σοφὰς ἐν τῇ πανουργίᾳ αὐτῶν."

20 Καὶ πάλιν· "Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι."

21 Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστιν,

datam mihi, ut sapiens architectus fundamentum posui, alius autem superædificat: unusquisque autem videat quomodo superædificet.

11 Fundamentum enim aliud nemo potest ponere præter jactum, quod est Jesus Christus.

12 Si autem quis superædificat super fundamentum hoc, aurum, argentum, lapides pretiosos, ligna, fœnum, stipulam:

13 Uniuscujusque opus manifestum fiet; nam dies declarabit, quia in igne revelabitur: et uniuscujusque opus quale sit, ignis probabit.

14 Si cujus opus manserit quod superædificavit, mercedem accipiet.

15 Si cujus opus exuretur, damnum faciet: ipse autem servabitur, ita vero quasi per ignem.

16 Nescitis quia templum Dei estis, et Spiritus Dei habitat in vobis?

17 Si quis templum Dei corrumpit, disperdet illum Deus: Nam templum Dei sanctum est, quod estis vos.

18 Nemo seipsum decipiat: si quis videtur sapiens esse in vobis in seculo hoc, stultus fiat, ut fiat sapiens.

19 Nam sapientia mundi hujus, stultitia apud Deum est: Scriptum est enim: comprehendens sapientes in astutia eorum

20 Et iterum: Dominus novit cogitationes sapientum, quoniam sunt vanæ.

21 Itaque nemo glorietur in hominibus: Omnia enim vestra sunt:

22 Εἴτε Παῦλος, εἴτε Ἀπολλῶς, εἴτε Κηφᾶς, εἴτε κόσμος, εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα· πάντα ὑμῶν ἐστιν·

23 Ὑμεῖς δὲ, Χριστοῦ· Χριστὸς δὲ, Θεοῦ.

Κεφ. δ'. 4.

1 Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ·

2 Ὧδε λοιπὸν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ.

3 Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω·

4 Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν.

5 Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος· ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους· καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

6 Ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, δι' ὑμᾶς· ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου.

7 Τίς γάρ σε διακρίνει; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;

8 Ἤδη κεκορεσμένοι ἐστὲ, ἤδη ἐπλουτήσατε· χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε· ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν·

9 Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέ-

22 Sive Paulus, sive Apollo, sive Cephas, sive mundus, sive vita, sive mors, sive præsentia, sive futura: omnia vestra sunt:

23 Vos autem Christi: Christus autem Dei.

CAPUT IV.

1 SIC nos existimet homo ut ministros Christi, et dispensatores mysteriorum Dei.

2 At reliquum, quæritur in dispensatoribus, ut fidelis quis inveniatur.

3 Mihi autem minimum est ut à vobis dijudicer, aut ab humano die: sed neque meipsum dijudico.

4 Nihil enim mihi ipsi conscius sum: sed non in hoc justificatus sum: at judicans me, Dominus est.

5 Itaque ne ante tempus quid judicate, quoadusque veniat Dominus: qui et illuminabit abscondita tenebrarum, et manifestabit consilia cordium: et tunc laus erit unicuique à Deo

6 Hæc autem, fratres, transfiguravi in meipsum et Apollo, propter vos: ut in nobis discatis non supra quod scriptum est, sapere: ut ne unus super unum inflemini adversus alterum.

7 Quis enim te discernit? Quid autem habes quod non accepisti? Si autem et accepisti, quid gloriaris quasi non accipiens?

8 Jam saturati estis, jam ditati estis, sine nobis regnastis! et utinam sane regnassetis; ut et nos vobis simul regnemus.

9 Puto enim quod Deus nos Apostolos novissimos edidit tan-

δειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις, καὶ ἀνθρώποις.

10 Ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.

11 Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν·

12 Καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα·

13 Βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι.

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ·

15 Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.

16 Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

17 Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πίστον ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.

18 Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες·

19 Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν.

20 Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει.

quam morti destinatos: quia spectaculum facti sumus mundo et angelis et hominibus.

10 Nos stulti propter Christum, vos autem prudentes in Christo: nos infirmi, vos autem fortes: vos gloriosi, nos autem ignominiosi.

11 Usque in hanc horam et esurimus, et sitimus, et nudi sumus, et colaphis cædimur, et instabiles sumus.

12 Et laboramus, operantes propriis manibus: convitiis affecti, benedicimus: vexati, sustinemus.

13 Blasphemati, obsecramus: tanquam purgamenta mundi facti sumus, omnium peripsema usque adhuc.

14 Non pudore afficiens vos scribo hæc: sed ut natos meos charissimos moneo.

15 Si enim decem mille pædagogos habeatis in Christo, sed non multos patres: in enim Christo Jesu per Euangelium ego vos genui.

16 Rogo ergo vos, imitatores mei estote.

17 Propter hoc misi vobis Timotheum, qui est natus meus dilectus et fidelis in Domino, qui vos commonefaciet vias meas quæ in Christo, sicut ubique in omni ecclesia doceo.

18 Tanquam non venturo autem me ad vos, inflati sunt quidam.

19 Veniam autem cito ad vos, si Dominus voluerit, et cognoscam non sermonem inflatorum, sed virtutem.

20 Non enim in sermone regnum Dei, sed in virtute

Κεφ. έ. 5.

1 Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος;

2 Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν.

3 Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας·

4 Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν, τὸν οὕτω τοῦτο κατεργασάμενον,

5 Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

6 Παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

7 Οὐ καλὸν τὸ καύχημα ὑμῶν· οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;

8 Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός.

9 Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.

10 Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις·

11 Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὠφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν.

12 Νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ

CAPUT. V.

1 QUID vultis? In virga veniam ad vos, an in charitate, spirituque mansuetudinis?

2 Omnino auditur in vobis fornicatio, et talis fornicatio, qualis nec in Gentibus nominatur, ita ut uxorem quendam patris habere.

3 Et vos inflati estis, et non magis luxistis, ut tollatur de medio vestrum qui opus hoc fecit?

4 Ego quidem enim ut absens corpore, præsens autem spiritu, jam judicavi ut præsens, eum sic hoc operatum,

5 In nomine Domini nostri Jesu Christi, congregatis vobis et meo spiritu, cum virtute Domini nostri Jesu Christi,

6 Tradere ejusmodi satanæ in interitum carnis, ut spiritus servetur in die Domini Jesu Christi.

7 Non pulchra gloriatio vestra. Nescitis quia modicum fermentum totam massam fermentat?

8 Expurgate igitur vetus fermentum, ut sitis nova massa, sicut estis azymi: Etenim Pascha nostrum pro nobis immolatum est, Christus.

9 Itaque epulemur, non in fermento veteri, neque in fermento malitiæ et nequitiæ, sed in azymis sinceritatis et veritatis.

10 Scripsi vobis in epistola, Non commisceri fornicariis:

11 Et non omnino fornicariis mundi hujus, aut avaris, aut rapacibus, aut idolatris: alioquin debetis ex mundo exire.

12 Nunc autem scripsi vobis

συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ· τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

13 Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;

14 Τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει· Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Κεφ. ϛ'. 6.

1 Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;

2 Οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;

3 Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;

4 Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε.

5 Πρὸς ἐντροπὴν ὑμῖν λέγω· οὕτως οὐκ ἔνι ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς δυνήσεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ;

6 Ἀλλ' ἀδελφὸς μετ' ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων;

7 Ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν· διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;

8 Ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς.

9 Ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται,

non commisceri, si quis frater nominatus, aut fornicator, aut maledicus, aut avarus, aut idololatra, aut ebriosus, aut rapax; cum ejusmodi nec comedere

13 Quid enim mihi et eos qui foris judicare? Nonne eos qui intus vos judicatis?

14 Eos autem qui foris Deus judicabit. Et auferetis malum ex vobis ipsis.

CAPUT VI.

1 AUDET aliquis vestrum negotium habens ad alterum, judicari apud injustos, et non apud sanctos?

2 Nescitis quoniam sancti mundum judicabunt? Et si in vobis judicabitur mundus, indigni estis judiciis minimis?.

3 Nescitis quoniam angelos judicabimus? nedum vitalia?

4 Vitalia quidem igitur judicia si habueritis, nihili factos in ecclesia, illos sedere facite.

5 Ad verecundiam vobis dico. Sic non est in vobis sapiens neque unus, qui possit dijudicare inter fratrem suum?

6 Sed frater cum fratre judicatur, et hoc apud infideles.

7 Jam quidem igitur omnino delictum in vobis est, quod judicia habetis cum vobis ipsis. Propter quid non magis injuriam accipitis? Propter quid non magis damnum accipitis?

8 Sed vos injuriam facitis et damno afficitis, et hoc fratres.

9 An nescitis quia injusti regnum Dei non possidebunt? Ne errate: Neque fornicarii, neque idololatræ, neque adulteri, neque molles, neque masculorum concubitores,

10 Οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.

11 Καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελέσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν.

12 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.

13 Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι·

14 Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.

15 Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν, μέλη Χριστοῦ ἐστιν; ἆρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; Μὴ γένοιτο.

16 Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; "Ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν."

17 Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι.

18 Φεύγετε τὴν πορνείαν· πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.

19 Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν, ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν;

20 Ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ

10 Neque fures, neque avari, neque ebriosi, non convici atores, non rapaces regnum Dei possidebunt.

11 Et hæc quidem eratis: sed abluti estis, sed sanctificati estis, sed justificati estis in nomine Domini Jesu, et in Spiritu Dei nostri.

12 Omnia mihi licent, sed non omnia conferunt: Omnia mihi licent, sed non ego redigar in potestatem a quoquam.

13 Escæ ventri, et venter escis: at Deus et hunc et has destruet. at corpus non fornicationi, sed Domino et Dominus corpori.

14 At Deus et Dominum suscitavit, et nos suscitabit pervirtutem suam.

15 Nescitis quoniam corpora vestra, membra Christi sunt? Tollens ergo membra Christi, faciam meretricis membra? Ne fiat.

16 An nescitis quoniam agglutinatus meretrici, unum corpus est? Erunt enim, inquit, duo in carnem unam.

17 At agglutinatus Domino, unus spiritus est.

18 Fugite fornicationem. Omne peccatum quodcumque fecerit homo, extra corpus est; at fornicans, in proprium corpus peccat.

19 An nescitis, quoniam corpus vestrum, templum qui in vobis sancti Spiritus est, quem habetis à Deo, et non estis vestri?

20 Empti estis enim pretio· Glorificate jam Deum in corpore vestro, et in spiritu vestro, quæ sunt Dei.

Κεφ. ζ'. 7.

1 Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι.

2 Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω.

3 Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί.

4 Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.

5 Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

6 Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν·

7 Θέλω γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.

8 Λέγω δὲ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ·

9 Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι.

10 Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι.

11 Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.

12 Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω,

CAPUT VII.

1 DE autem quibus scripsistis mihi, pulchrum homini mulierem non tangere.

2 Propter autem fornicationes unusquisque suam uxorem habeat, et unaquæque proprium virum habeat.

3 Uxori vir debitam benevolentiam reddat: similiter autem et uxor viro.

4 Mulier proprii corporis non habet potestatem, sed vir: Similiter autem et vir proprii corporis non habet potestatem, sed mulier.

5 Ne fraudate alii alios, si non quid ex consensu ad tempus, ut vacetis jejunio et orationi: et iterum in idipsum convenite, ut ne tentet vos Satanas propter incontinentiam vestram.

6 Hoc autem dico secundum indulgentiam, non secundum imperium.

7 Volo enim omnes homines esse sicut et meipsum: sed unusquisque proprium donum habet ex Deo, hic quidem sic, ille vero sic.

8 Dico autem non nuptis et viduis, bonum illis est, si maneant sicut et ego.

9 Si vero non se continent, nubant. melius enim est nubere, quam uri.

10 At matrimonio junctis præcipio non ego, sed Dominus, Uxorem à viro non discedere.

11 Si vero et discesserit, maneat innupta, aut viro reconcilietur: Et virum uxorem non dimittere.

12 At cæteris ego dico, non

οὐχ ὁ Κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτῇ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν.

13 Καὶ γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν·

14 Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί· καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί· ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι· νῦν δὲ ἅγιά ἐστιν.

15 Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω· οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός.

16 Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;

17 Εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεὸς, ἕκαστον ὡς κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω· καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι.

18 Περιτετμημένος τίς ἐκλήθη; μὴ ἐπισπάσθω· ἐν ἀκροβυστίᾳ τίς ἐκλήθη; μὴ περιτεμνέσθω.

19 Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ.

20 Ἕκαστος ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω.

21 Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι.

22 Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως καὶ ὁ ἐλεύθερος κληθείς, δοῦλός ἐστι Χριστοῦ.

23 Τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων.

Dominus: Si quis frater uxorem habet infidelem, et hæc consentit habitare cum illo, non dimittat illam.

13 Et mulier si qua habet virum infidelem, et ipse consentit habitare cum illa, non dimittat eum.

14 Sanctificatus est enim vir infidelis in uxore, et sanctificata est mulier infidelis in viro: alioquin nati vestri immundi sunt: nunc autem sancti sunt.

15 Si vero infidelis discedit, discedat. non servituti subjectus est frater aut soror in hujusmodi: in autem pace vocavit nos Deus.

16 Quid enim scis, mulier, si virum servabis? aut quid scis, vir, si mulierem servabis?

17 Si non unicuique sicut partitus est Deus, unumquemque sicut vocavit Dominus, ita ambulet: et sic in ecclesiis omnibus constituo.

18 Circumcisus aliquis vocatus est? non adducat præputium. In præputio aliquis vocatus est? non circumcidatur.

19 Circumcisio nihil est, et præputium nihil est: sed observatio mandatorum Dei.

20 Unusquisque in vocatione qua vocatus est, in ea permaneat.

21 Servus vocatus es? Non tibi sit curæ: sed si et potes liber fieri, magis utere.

22 Nam in Domino vocatus servus, libertus Domini est: similiter et liber vocatus, servus est Christi.

23 Pretio empti estis: ne fiatis servi hominum.

24 Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ Θεῷ.

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι.

26 Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι.

27 Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.

28 Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι.

29 Τοῦτο δέ φημι, ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι·

30 καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες· καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες·

31 καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

32 Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι· Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ·

33 Ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί.

34 Μεμέρισται ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.

35 Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐ-

24 Unusquisque in quo vocatus est, fratres, in hoc permaneat apud Deum.

25 De autem virginibus præceptum Domini non habeo: sententiam autem do, tanquam misericordiam consequutus à Domino fidelis esse.

26 Existimo ergo hoc pulchrum esse propter instantem necessitatem, quoniam pulchrum homini sic esse.

27 Alligatus es uxori? ne quære solutionem. Solutus es ab uxore? ne quære uxorem.

28 Si autem et acceperis uxorem, non peccasti: Et si nupserit virgo, non peccavit: tribulationem vero carni habebunt hujusmodi. Ego autem vobis parco.

29 Hoc autem dico, fratres, tempus contractum reliquum est, ut et habentes uxores, tanquam non habentes sint.

30 Et flentes tanquam non flentes: et gaudentes, tanquam non gaudentes: et ementes, tanquam non possidentes.

31 Et utentes mundo hoc, tanquam non abutentes; præterit enim figura mundi hujus.

32 Volo autem vos sine solicitudine esse: Cælebs curat quæ Domini, quomodo placebit Domino.

33 At uxorem ducens curat quæ mundi, quomodo placebit uxori.

34 Divisa sunt mulier et virgo; Innupta curat quæ Domini, ut sit sancta et corpore et spiritu; at nupta curat quæ mundi, quomodo placebit viro.

35 Hoc vero ad vestram ip-

τῶν συμφέρον λέγω· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως.

36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι· ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν.

37 Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ, τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ.

38 Ὥστε καὶ ὁ ἐκγαμίζων, καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγαμίζων, κρεῖσσον ποιεῖ.

39 Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ·

40 Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν.

sorum utilitatem dico ; non ut laqueum vobis injiciam, sed ad decens et bene adhærens Domino indistracte.

36 Si autem quis indecens esse super virginem suam existimat, si sit superadulta, et ita debet fieri ; quod vult faci at, non peccat : nubant.

37 Qui vero stetit firmus in corde, non habens necessitatem potestatem autem habet circa propriam voluntatem, et hoc judicavit in corde suo, servare suam virginem, bene facit.

38 Itaque et matrimonio jungens, pulchre facit : at non matrimonio jungens, melius facit.

39 Mulier alligata est legi in quantum tempus vivit vir ejus : si vero dormierit vir ejus, liberata est cui vult nubere ; tantum in Domino.

40 Beatior autem est si sic maneat, secundum meam sententiam ; puto autem et ego Spiritum Dei habere.

Κεφ. ή. 8.

1 Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

2 Εἴ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι·

3 Εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ.

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος εἰ μὴ εἷς·

5 Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς

CAPUT VIII.

1 De autem idolis immolatis, scimus quia omnes scientiam habemus. Scientia inflat, at charitas ædificat.

2 Si autem quis existimat scire aliquid, nondum quicquam cognovit quemadmodum oporteat nosse.

3 Si autem quis diligit Deum, hic cognitus est ab eo.

4 De esca igitur idolothytorum, scimus quia nihil idolum in mundo, et quod nullus Deus alter, si non unus.

5 Etenim etsi sunt dicti dii, sive in cælo, sive in terra : si

γῆς· ὥσπερ εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί.

6 Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.

7 Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται.

8 Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα.

9 Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν.

10 Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν ;

11 Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν.

12 Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

13 Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίζω.

Κεφ. θ'. 9.

1 Οὐκ εἰμὶ ἀπόστολος ; Οὐκ εἰμὶ ἐλεύθερος ; Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα ; Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ ;

2 Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστο-

cut sunt dii multi, et domini multi,

6 Sed nobis unus Deus Pater, ex quo omnia, et nos in illum : et unus Dominus Jesus Christus, per quem omnia, et nos per ipsum.

7 Sed non in omnibus scientia. Quidam autem conscientia idoli usque nunc, quasi idolis immolatum manducant, et conscientia ipsorum infirma existens polluitur.

8 Esca autem nos non commendat Deo ; Neque enim si manducaverimus, abundabimus : neque si non manducaverimus, deficiemur.

9 Videte autem ne forte potestas vestra hæc offendiculum fiat infirmis.

10 Si enim quis viderit te habentem scientiam, in idolio recumbentem, nonne conscientia ejus infirmi existentis ædificabitur ad idolothyta manducandum ?

11 Et peribit infirmus frater in tua scientia, propter quem Christus mortuus est ?

12 Sic autem peccantes in fratres, et percutientes eorum conscientiam infirmam, in Christum peccatis.

13 Quapropter si esca scandalizat fratrem meum, non manducabo carnem in æternum, ut ne fratrem meum scandalizem.

CAPUT IX.

1 NON sum apostolus ? Non sum liber ? Nonne Jesum Christum Dominum nostrum vidi ? Non opus meum vos estis in Domino ?

2 Si aliis non sum Apostolus,

λος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ.

3 Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη ἐστί·

4 Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;

5 Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς;

6 Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;

7 Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

8 Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; Ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;

9 Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· "Οὐ φιμώσεις βοῦν ἀλοῶντα." Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;

10 Ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν· καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

12 Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.

13 Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται;

at certe vobis sum: nam signaculum mei apostolatus vos estis in Domino.

3 Mea defensio me inquiren tibus, hæc est:

4 Num non habemus potestatem manducandi et bibendi?

5 Num non habemus potestatem sororem mulierem circumducendi sicut et cæteri Apostoli, et fratres Domini, et Cephas?

6 Aut solus ego et Barnabas non habemus potestatem hoc non operandi?

7 Quis militat propriis stipendiis unquam? Quis plantat vineam, et de fructu ejus non edit? Aut quis pascit gregem, et de lacte gregis non manducat?

8 Num secundum hominem hæc dico? An non et lex hæc dicit?

9 In enim lege Mosis scriptum est: Non alligabis os bovi trituranti. Num boum cura est Deo?

10 An propter nos omnino dicit? Propter nos enim scriptum est, quoniam in spe debet arans arare: et triturans spei suæ participare, in spe.

11 Si nos vobis spiritualia seminavimus, magnum si nos vestra carnalia metemus?

12 Si alii potestatis vestræ participes sunt, non potius nos? Sed non usi sumus potestate hac: sed omnia sustinemus, ut ne remorationem aliquam demus Euangelio Christi.

13 Nescitis quoniam sacra operantes, de sacro edunt? Altari assidentes, altari comparticipant?

14 Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν·

15 Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων. Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τὶς κενώσῃ.

16 Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι.

17 Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.

18 Τίς οὖν μοι ἐστὶν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω.

20 Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω·

21 Τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα κερδήσω ἀνόμους·

22 Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω.

23 Τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι.

24 Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν,

14 Ita et Dominus ordinavit Euangelium annuntiantibus, de Euangelio vivere.

15 Ego autem nullo usus sum honorum: non scripsi autem hæc, ut ita fiant in me: bonum enim mihi magis mori, quam gloriationem meam ut quis evacuet.

16 Si enim euangelizavero, non est mihi gloriatio; necessitas enim mihi incumbit: væ autem mihi est, si non euangelizavero.

17 Si autem volens hoc ago, mercedem habeo: si autem invitus, dispensationem creditam suscepi.

18 Quæ ergo mihi est merces? Ut euangelizans insumptuosum ponam Euangelium Christi, ad non abutendum potestate mea in Euangelio.

19 Liber enim existens ex omnibus, omnibus meipsum servum feci, ut plures lucrifacerem.

20 Et factus sum Judæis tamquam Judæus, ut Judæos lucrarer: Iis sub legem, quasi sub legem, ut eos sub legem lucrifaciam.

21 Ex legibus ut exlex, non existens exlex Deo, sed inlex Christo, ut lucrifaciam exleges.

22 Factus sum infirmis ut infirmus, ut infirmos lucrifaciam. Omnibus factus sum omnia, ut omnino aliquos servem.

23 Hoc autem facio propter Euangelium, ut particeps ejus efficiar.

24 Nescitis quod in stadio currentes omnes quidem cur-

εἷς δὲ λαμβάνει τὸ βραβεῖον; Οὕτω τρέχετε ἵνα καταλάβητε.

25 Πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν· ἡμεῖς δὲ, ἄφθαρτον.

26 Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων.

27 Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Κεφ. ι'. 10.

1 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν· καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον·

2 Καὶ πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ·

3 Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον·

4 Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπινον, ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

5 Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

6 Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.

7 Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν ὡς γέγραπται· "Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν."

8 Μηδὲ πορνεύωμεν, καθώς τι-

runt, unus vero accipit bravium? Sic currite, ut comprehendatis.

25 Omnis autem certans, omnia continens est: illi quidem igitur ut corruptibilem coronam accipiant: nos autem, incorruptam.

26 Ego igitur sic curro, quasi non in incertum: sic pugno, quasi non aërem verberans:

27 Sed obtundo meum corpus et in servitutem redigo: ne forte aliis prædicans, ipse reprobus efficiar.

CAPUT X.

1 NOLO autem vos ignorare, fratres, quoniam patres nostri omnes sub nubem fuerunt: et omnes per mare transierunt:

2 Et omnes in Mosem baptizati sunt in nube et in mari:

3 Et omnes eandem escam spiritalem manducaverunt:

4 Et omnes eundem potum spiritalem biberunt: bibebant enim de spiritali sequente petra: at petra erat Christus.

5 Sed non in pluribus eorum probabit Deus. Prostrati sunt enim in deserto.

6 Hæc autem typi nostri facta sunt, ad non esse nos concupiscentes malorum, sicut et illi concupierunt.

7 Neque idololatræ efficiamini, sicut quidam eorum; quemadmodum scriptum est, Sedit populus ad edendum et bibendum, et surrexerunt ludere.

8 Neque fornicemur, sicut

νες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες.

9 Μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, καθὼς καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο.

10 Μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

11 Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.

12 Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ.

13 Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ Θεὸς· ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.

14 Διόπερ, ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας.

15 Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι·

16 Τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι ; Τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν ;

17 Ὅτι εἷς ἄρτος, ἓν σῶμα, οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.

18 Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί ;

19 Τί οὖν φημι ; ὅτι εἴδωλον τί ἐστιν ; ἢ ὅτι εἰδωλόθυτον τί ἐστιν ;

20 Ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ Θεῷ· οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι

quidam eorum fornicati sunt, et ceciderunt in una die viginti tria millia.

9 Neque tentemus Christum, sicut et quidam eorum tentaverunt, et à serpentibus perierunt.

10 Neque murmurate, sicut et quidam eorum murmuraverunt, et perierunt ab exterminatore.

11 Hæc autem omnia typi contingebant illis : scripta sunt autem ad admonitionem nostram, in quos fines seculorum devenerunt.

12 Itaque existimans stare videat ne cadat.

13 Tentatio vos non apprehendit si non humana : fidelis autem Deus, qui non patietur vos tentari, sapra quod potestis, sed faciet cum tentatione etiam proventum, ad posse vos sufferre.

14 Quapropter, fratres mei dilecti, fugite ab idololatria.

15 Ut prudentibus loquor : judicate vos quod dico.

16 Calix benedictionis cui benedicimus, nonne communicatio sanguinis Christi est ? Panem quem frangimus, nonne communio corporis Christi est ?

17 Quoniam unus panis, unum corpus multi sumus : nam omnes de uno pane participamus.

18 Videte Israël secundum carnem : nonne edentes victimas, participes altaris sunt ?

19 Quid ergo dico ? quod idolum quid est ? aut quod idolothytum quid est ?

20 Sed quod quæ immolant Gentes, dæmoniis immolant, et non Deo : Nolo autem vos communicatores dæmoniorum fieri

21 Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων.

22 Ἢ παραζηλοῦμεν τὸν Κύριον ; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν ;

23 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ.

24 Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος.

25 Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν·

26 Τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

27 Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν·

28 Ἐὰν δέ τις ὑμῖν εἴπῃ· Τοῦτο εἰδωλόθυτόν ἐστι· μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

29 Συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου· ἱνατί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως ;

30 Εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ ;

31 Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτέ τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

32 Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ,

33 Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι.

21 Non potestis calicem Domini bibere, et calicem dæmoniorum : non potestis mensæ Domini participes esse, et mensæ dæmoniorum.

22 An irritamus Dominum ? Num fortiores illo sumus ?

23 Omnia mihi licent, sed non omnia conferunt : Omnia mihi licent, sed non omnia ædificant.

24 Nemo suum quærat, sed quod alterius quisque.

25 Omne in macello venditum manducate, nihil interrogantes propter conscientiam.

26 Nam Domini terra, et plenitudo ejus.

27 Si vero quis vocat vos infidelium, et vultis ire, omne appositum vobis manducate, nihil interrogantes propter conscientiam.

28 Si autem quis vobis dixerit : Hoc idolis immolatum est, ne edite, propter illum indicantem, et conscientiam : nam Domini terra, et plenitudo ejus.

29 Conscientiam autem dico non tuam, sed alterius. Ut quid enim libertas mea judicatur ab aliena conscientia ?

30 Si vero ego gratiam participo, quid blasphemor pro eo quod ego gratias ago ?

31 Sive ergo manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite.

32 Sine offensione estote et Judæis et Gentibus et ecclesiæ Dei :

33 Sicut et ego omnia omnibus placeo, non quærens meum ipsius commodum, sed multorum, ut serventur.

Κεφ. ια. 11.

1 Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

2 Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε.

3 Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ, ὁ Θεός.

4 Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ·

5 Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.

6 Εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.

7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.

8 Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός·

9 Καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.

10 Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους.

11 Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς, ἐν Κυρίῳ.

12 Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικὸς, τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.

13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;

14 Ἡ οὐδὲ αὐτὴ ἡ φύσις διδάσ-

CAPUT XI.

1 IMITATORES mei estote, sicut et ego Christi.

2 Laudo autem vos, fratres, quod omnia mea meministis. et sicut tradidi vobis, traditiones retinetis.

3 Volo autem vos scire, quod omnis viri caput Christus est: caput autem mulieris, vir: caput vero Christi, Deus.

4 Omnis vir orans aut prophetans circum caput habens, deturpat suum caput.

5 Omnis autem mulier orans aut prophetans non velato capite, deturpat caput suum: unum enim est ac idem rasæ.

6 Si enim non velatur mulier, et tondeatur. Si vero turpe mulieri tonderi aut radi, veletur.

7 Vir quidem enim non debet velare caput, imago et gloria Dei existens: mulier autem gloria viri est.

8 Non enim est vir ex muliere, sed mulier ex viro.

9 Etenim non creatus est vir propter mulierem, sed mulier propter virum.

10 Propter hoc debet mulier potestatem habere supra caput, propter angelos.

11 Verumtamen neque vir sine muliere, neque mulier sine viro, in Domino.

12 Sicut enim mulier de viro, ita et vir per mulierem at omnia ex Deo.

13 In vobis ipsis judicate: decorum est mulierem non velatam Deum orare?

14 Aut nec ipsa natura docet

κει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι·

15 Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ ;

16 Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ.

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.

18 Πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω.

19 Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν.

20 Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν·

21 Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.

22 Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας ; τί ὑμῖν εἴπω ; ἐπαινέσω ὑμᾶς ἐν τούτῳ ; οὐκ ἐπαινῶ·

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον,

24 Καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· "Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν."

25 Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· "τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε

vos, quod vir quidem si comatus sit, ignominia illi est :

15 Mulier vero si comata sit, gloria illi est : quoniam coma pro velamine data est ei.

16 Si autem quis videtur contentiosus esse, nos talem consuetudinem non habemus neque ecclesiæ Dei.

17 Hoc autem denuntians non laudo, quod non in melius, sed in deterius convenitis.

18 Primum quidem enim convenientibus vobis in ecclesia, audio scissuras in vobis esse : et partem aliquam credo.

19 Oportet enim et in vobis hæreses esse, ut probati manifesti fiant in vobis.

20 Convenientibus ergo vobis in unum, non est dominicam cœnam manducare.

21 Unusquisque enim propriam cœnam præsumit in edendo, et hic quidem esurit, hic autem ebrius est.

22 Num enim domos non habetis ad manducandum et bibendum ? Aut ecclesiam Dei contemnitis, et pudefacitis non habentes ? Quid vobis dicam ? Laudabo vos ? in hoc non laudo.

23 Ego enim accepi à Domino quod et tradidi vobis, quoniam Dominus Jesus in nocte qua tradebatur, accepit panem ;

24 Et gratias agens fregit, et dixit : Accipite, manducate : hoc meum est corpus quod pro vobis frangitur : hoc facite in meam commemorationem.

25 Similiter et calicem post cœnasse, dicens : Hic calix novum testamentum est in meo sanguine : hoc facite quoties

ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

26 Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ."

27 Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου.

28 Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω·

29 Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.

30 Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί.

31 Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα.

32 Κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

33 Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε·

34 Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε. Τὰ δὲ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι.

Κεφ. ιβ'. 12.

1 Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοὶ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν.

2 Οἴδατε ὅτι, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι.

3 Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν, καὶ οὐδεὶς δύναται

cumque biberitis, in meam commemorationem.

26 Quotiescumque enim manducaveritis panem hunc, et poculum hoc biberitis, mortem Domini annuntiatis, usque quo veniat.

27 Itaque quicumque manducaverit panem hunc, vel biberit calicem Domini indigne, reus erit corporis et sanguinis Domini.

28 Probet autem homo seipsum, et sic de pane edat, et de calice bibat.

29 Nam edens et bibens indigne, judicium sibi ipsi manducat et bibit, non dijudicans corpus Domini.

30 Propter hoc in vobis multi infirmi et imbecilles, et dormiunt multi.

31 Si enim nosmetipsos dijudicaremus, non utique judicaremur.

32 Judicati autem, à Domino erudimur: ut non cum mundo condemnemur.

33 Itaque, fratres mei, convenientes, ad manducandum, alii alios expectate.

34 Si vero quis esurit, in domo manducet, ut non in judicium conveniatis. At reliqua, ut venero, disponam.

CAPUT XII.

1 De autem spiritualibus, fratres, nolo vos ignorare.

2 Scitis quoniam Gentes eratis, ad simulachra muta, prout ducebamini, abducti.

3 Ideo notum facio vobis, quod nemo in spiritu Dei loquens, dicit anathema Jesum,

εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.

4 Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα·

5 Καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος·

6 Καὶ διαιρέσεις ἐνεργημάτων ἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

7 Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον.

8 Ὧι μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα·

9 Ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ πνεύματι·

10 Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν·

11 Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.

12 Καθάπερ γὰρ τὸ σῶμα ἓν ἐστι, καὶ μέλη ἔχει πολλὰ, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς, πολλὰ ὄντα, ἓν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

13 Καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν.

14 Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.

15 Ἐὰν εἴπῃ ὁ πούς· Ὅτι οὐκ εἰμὶ χεὶρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;

et nemo potest dicere Dominum Jesum, si non in Spiritu sancto

4 Discrimina vero gratiarum sunt, at idem Spiritus.

5 Et discrimina ministrationum sunt, et idem Dominus.

6 Et divisiones operationum sunt, at idem est Deus, efficiens omnia in omnibus.

7 Unicuique autem datur manifestatio Spiritus ad utilitatem.

8 Huic quidem enim per Spiritum datur sermo sapientiæ: alii autem sermo scientiæ, secundum eundem Spiritum:

9 Alteri autem fides in eodem Spiritu: alii autem dona sanitatum, in eodem Spiritu:

10 Alii vero operationes virtutum, alii autem prophetia, alii autem discretiones spirituum, alteri vero genera linguarum: alii autem interpretatio linguarum.

11 Omnia autem hæc operatur unus atque idem Spiritus, dividens privatim singulis prout vult.

12 Sicut enim corpus unum est, et membra habet multa, omnia autem membra corporis unius multa existentia, unum sunt corpus, ita et Christus.

13 Etenim in uno Spiritu nos omnes in unum corpus baptizati sumus: sive Judæi, sive Græci, sive servi, sive liberi: et omnes in unum Spiritum potati sumus.

14 Etenim corpus non est unum membrum, sed multa.

15 Si dixerit pes: Quoniam non sum manus, non sum de corpore: num ob hoc non est de corpore?

16 Καὶ ἐὰν εἴπῃ τὸ οὖς· Ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος ;

17 Εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς, ποῦ ἡ ἀκοή ; εἰ ὅλον ἀκοὴ, ποῦ ἡ ὄσφρησις ;

18 Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν.

19 Εἰ δὲ ἦν τα πάντα ἓν μέλος, ποῦ τὸ σῶμα ;

20 Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.

21 Οὐ δύναται δὲ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί· Χρείαν ὑμῶν οὐκ ἔχω·

22 Ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι·

23 Καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει.

24 Τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει· ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμὴν,

25 Ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη.

26 Καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη·

27 Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους.

28 Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χα-

16 Et si dixerit auris : Quoniam non sum oculus, non sum de corpore : num ob hoc non est de corpore ?

17 Si totum corpus oculus, ubi auditus ? Si totum auditus, ubi odoratus ?

18 Nunc autem Deus posuit membra, unumquodque eorum in corpore, sicut voluit.

19 Si vero essent omnia unum membrum, ubi corpus ?

20 Nunc autem multa quidem membra, unum autem corpus.

21 Non potest autem oculus dicere manui : Usum tui non habeo : aut iterum caput pedibus : Usum vestri non habeo ·

22 Sed multo magis putata membra corporis infirmiora esse, necessariora sunt :

23 Et quæ putamus ignobiliora esse corporis, his honorem abundantiorem circumponimus : et inhonesta nostra honestatem abundantiorem habent.

24 At honesta nostra, non opus habent : sed Deus contemperavit corpus, deficienti abundantiorem dans honorem :

25 Ut non sit schisma in corpore, sed idipsum pro invicem sollicita sint membra.

26 Et sive patitur unum membrum, simul patiuntur omnia membra : sive gloriatur unum membrum, congaudent omnia membra :

27 Vos autem estis corpus Christi, et membra ex parte.

28 Et quosdam quidem posuit Deus in ecclesia primum Apostolos, secundo Prophetas, tertio doctores, deinde virtutes

ρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.

29 Μὴ πάντες ἀπόστολοι ; μὴ πάντες προφῆται ; μὴ πάντες διδάσκαλοι ; μὴ πάντες δυνάμεις ;

30 Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων ; μὴ πάντες γλώσσαις λαλοῦσι ; μὴ πάντες διερμηνεύουσι ;

31 Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

Κεφ. ιγ'. 13.

1 ΕΑ'Ν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον.

2 Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν· καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι.

3 Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται,

5 Οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν,

6 Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ·

7 Πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει·

8 Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· εἴτε δὲ προφητεῖαι, καταργηθήσονexinde dona curationum, opitulationes, gubernationes, genera linguarum.

29 Num omnes Apostoli ? num omnes prophetæ ? num omnes doctores ? num omnes virtutes ?

30 Num omnes dono habent curationum ? num omnes linguis loquuntur ? num omnes interpretantur ?

31 Æmulamini autem charismata meliora. Et adhuc secundum excellentiam viam vobis demonstro.

CAPUT XIII.

1 SI linguis hominum loquar et angelorum, charitatem autem non habeam, factus sum æs sonans, aut cymbalum tinniens.

2 Et si habuero prophetiam, et noverim mysteria omnia et omnem scientiam ; et si habuero omnem fidem, ita ut montes transferre, charitatem autem non habuero, nihil sum.

3 Et si insumam alendo pauperes omnes facultates meas, et si tradam corpus meum ut ardeam, charitatem autem non habeam, nihil juvor.

4 Charitas longanimis est benigna est : charitas non æmulatur, charitas non agit perperam, non inflatur,

5 Non indecore agit, non quærit sua, non irritatur, non cogitat malum,

6 Non gaudet super injustitia, congaudet autem veritati :

7 Omnia suffert, omnia credit, omnia sperat, omnia sustinet.

8 Charitas nunquam excidit : sive vero prophetiæ abolebun-

ται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται.

9 Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν·

10 Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.

11 Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου.

12 Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

13 Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Κεφ. ιδ. 14.

1 Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά· μᾶλλον δὲ ἵνα προφητεύητε·

2 Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια·

3 Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

4 Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ.

5 Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων, ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

6 Νυνὶ δὲ, ἀδελφοὶ, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λατur, sive linguæ cessabunt, sive scientia abolebitur.

9 Ex parte enim cognoscimus, et ex parte prophetamus.

10 Quum autem venerit perfectum, tunc quod ex parte abolebitur.

11 Quum essem infans, ut infans loquebar, ut infans sapiebam, ut infans cogitabam: Quando autem factus sum vir, abolevi quæ infantis.

12 Videmus enim nunc per speculum in ænigmate: tunc autem facie ad faciem: Nunc cognosco ex parte, tunc autem cognoscam sicut et cognitus sum.

13 Nunc autem maneat fides, spes, charitas, tria hæc: major autem horum charitas.

CAPUT. XIV.

1 SECTAMINI charitatem æmulamini vero spiritalia, magis autem ut prophetetis

2 Nam loquens lingua, non hominibus loquitur, sed Deo· nemo enim audit, spiritu autem loquitur mysteria.

3 At prophetans, hominibus loquitur ædificationem et exhortationem et consolationem.

4 Loquens lingua, seipsum ædificat: at prophetans, ecclesiam ædificat.

5 Volo autem omnes vos loqui linguis, magis autem ut prophetetis. Major enim prophetans, quam loquens linguis: nisi si interpretetur, ut ecclesia ædificationem accipiat.

6 Nunc autem, fratres, si venero ad vos linguis loquens, quid vobis prodero, si non vo-

λήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ ;

7 Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ ὁῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον ;

8 Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον ;

9 Οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον ; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.

10 Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον·

11 Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος, καὶ ὁ λαλῶν, ἐν ἐμοὶ βάρβαρος·

12 Οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε.

13 Διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω ἵνα διερμηνεύῃ·

14 Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι·

15 Τί οὖν ἐστι ; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ·

16 Ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις οὐκ οἶδε ;

17 Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

18 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν·

19 Ἀλλ' ἐν ἐκκλησίᾳ θέλω

bis loquar aut in revelatione, aut in scientia, aut in prophetia, aut in doctrina ?

7 Tamen inanima vocem dantia, sive tibia, sive cithara, si distinctionem sonituum non derint, quomodo scietur tibia cantatum, aut citharizatum ?

8 Etenim si incertam vocem tuba det, quis apparabitur ad bellum ?

9 Ita et vos per linguam si non bene significantem sermonem dederitis, quomodo cognoscetur dictum ? eritis enim in aëra loquentes.

10 Tot, si contigerit, genera vocum sunt in mundo, et nihil eorum mutum.

11 Si ergo nesciero virtutem vocis, ero loquenti barbarus : et loquens, in me barbarus.

12 Sic et vos, quoniam æmulatores estis spirituum : ad ædificationem ecclesiæ quærite ut abundetis.

13 Quapropter loquens lingua, oret ut interpretetur.

14 Si enim orem lingua, spiritus meus orat : at mens mea infructuosa est.

15 Quid ergo est ? Orabo spiritu, orabo autem et mente : psallam spiritu, psallam vero et mente.

16 Cæterum si benedixeris spiritu, implen slocum idiotæ, quomodo dicet, Amen, super tua gratiarum actione ? quandoquidem quid dicis nescit.

17 Tu quidem enim bene gratias agis : sed alter non ædificatur

18 Gratias ago Deo meo, omnibus vobis magis linguis loquens.

19 Sed in ecclesia volo quinque

πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

20 Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

21 Ἐν τῷ νόμῳ γέγραπται. "Ὅτι ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος."

22 Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

23 Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε;

24 Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος, ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων,

25 Καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι.

26 Τί οὖν ἐστιν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γενέσθω.

27 Εἴτε γλώσσῃ τὶς λαλεῖ, κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος· καὶ εἷς διερμηνευέτω.

28 Ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ.

29 Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν·

verba per intelligentiam meam loqui, ut et alios instruam, quam decem mille verba in lingua.

20 Fratres, ne pueri efficiamini sensibus: sed malitia puerascite, at sensibus perfecti estote.

21 In lege scriptum est: Quoniam in aliis linguis, et in labiis aliis loquar populo huic, et nec sic exaudient me, dicit Dominus.

22 Itaque linguæ in signum sunt, non fidelibus, sed infidelibus: at prophetia non infidelibus, sed fidelibus.

23 Si ergo conveniat ecclesia universa in idipsum, et omnes linguis loquantur, intrent, autem idiotæ aut infideles, nonne dicent quod insanitis?

24 Si autem omnes prophetent, intret autem quis infidelis vel idiota, convincitur ab omnibus, dijudicatur ab omnibus:

25 Et sic occulta cordis ejus manifesta fiunt: et ita cadens in faciem adorabit Deum, pronuncians quod Deus vere in vobis sit.

26 Quid ergo est, fratres? Quum convenitis, unusquisque vestrum psalmum habet, doctrinam habet, linguam habet, apocalypsin habet, interpretationem habet: omnia ad ædificationem fiant.

27 Sive lingua quis loquitur, secundum duos aut plurimum tres, et per partes, et unus interpretetur.

28 Si autem non fuerit interpres, taceat in ecclesia: sibi ipsi autem loquatur et Deo.

29 Prophetæ duo aut tres loquantur, et alii dijudicent.

30 Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω·

31 Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται·

32 Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται·

33 Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλ' εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων.

34 Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει.

35 Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.

36 Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

37 Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικὸς, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου εἰσὶν ἐντολαί·

38 Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.

39 Ὥστε, ἀδελφοὶ, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.

40 Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

30 Si vero alii revelatum fuerit sedenti, prior taceat.

31 Potestis enim singulatim omnes prophetare: ut omnes discant, et omnes consolatione afficiantur.

32 Et spiritus prophetarum prophetis subjiciuntur.

33 Non enim est dissensionis Deus, sed pacis: ut in omnibus ecclesiis sanctorum.

34 Mulieres vestræ in ecclesiis taceant: non enim permissum est eis loqui, sed subditis esse, sicut et Lex dicit.

35 Si autem quid discere volunt, in domo proprios viros interrogent: Turpe enim est in ecclesia mulieribus loqui.

36 An à vobis verbum Dei exiit? aut in vos solos pervenit?

37 Si quis videtur propheta esse aut spiritualis, cognoscat quæ scribo vobis, quia Domini sunt mandata.

38 Si autem quis ignorat, ignoret.

39 Itaque, fratres mei, æmulamini prophetare, et loqui linguis ne prohibete.

40 Omnia decenter et secundum ordinem fiant.

Κεφ. ιέ. 15.

1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε.

2 Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.

3 Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφάς·

CAPUT XV.

1 NOTUM facio autem vobis, fratres, Euangelium quod euangelizavi vobis, quod et accepistis, in quo et statis.

2 Per quod et servamini, qua ratione euangelizarim vobis, si tenetis, nisi si frustra credidistis.

3 Tradidi enim vobis in primis quod et accepi: quoniam Christus mortuus est pro peccatis nostris, secundum scripturas.

4 Καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς·

5 Καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα·

6 Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείονς μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν·

7 Ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν.

8 Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί.

9 Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ·

10 Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.

11 Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;

13 Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται.

14 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν.

15 Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ· ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρε τὸν Χριστόν· ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται·

4 Et quia sepultus est, et quia resurrexit tertia die, secundum scripturas.

5 Et quia visus est Cephæ, deinde duodecim.

6 Deinde visus est supra quingentis fratribus semel, ex quibus plures manet usque adhuc, quidam autem et dormierunt.

7 Deinde visus est Jacobo: deinde Apostolis omnibus.

8 Novissime autem omnium, tamquam abortivo, visus est et mihi.

9 Ego enim sum minimus Apostolorum, qui non sum idoneus vocari Apostolus: quoniam persequutus sum ecclesiam Dei.

10 Gratia autem Dei sum quod sum: et gratia ejus quæ in me, non inanis facta est, sed abundantius illis omnibus laboravi: non ego autem, sed gratia Dei quæ cum me.

11 Sive igitur ego, sive illi, sic prædicamus, et sic credidistis.

12 Si autem Christus prædicatur quod à mortuis resurrexit, quomodo dicunt quidam in vobis, quoniam resurrectio mortuorum non est?

13 Si autem resurrectio mortuorum non est, neque Christus resurrexit.

14 Si autem Christus non resurrexit, inanis utique prædicatio nostra, inanis autem et fides vestra.

15 Invenimur autem et nos falsi testes Dei: quoniam testati sumus de Deo, quod suscitaverit Christum: quem non suscitavit, si utique mortui non resurgunt.

16 Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται.

17 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν·

18 Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἀπώλοντο.

19 Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο·

21 Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν·

22 Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται·

23 Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ·

24 Εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν·

25 Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ.

26 Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος·

27 Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.'' Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.

28 Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν·

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπ-

16 Si enim mortui non resurgunt, neque Christus resurrexit

17 Si vero Christus non resurrexit, vana fides vestra: adhuc estis in peccatis vestris.

18 Nempe et dormientes in Christo, perierunt.

19 Si in vita hac sperantes sumus in Christo tantum, miserabiliores omnibus hominibus sumus.

20 Nunc autem Christus resurrexit à mortuis: primitiæ dormientium factus est.

21 Quoniam enim per hominem mors, et per hominem resurrectio mortuorum.

22 Sicut enim in Adam omnes moriuntur, ita et in Christo omnes vivificabuntur.

23 Unusquisque autem in proprio ordine; primitiæ Christus, deinde ii qui Christi, in adventu ejus.

24 Deinde finis, quum tradiderit regnum Deo et Patri: quum aboleverit omnem principatum et omnem potestatem et virtutem.

25 Oportet enim illum regnare, usque quo ponat omnes inimicos sub pedes suos.

26 Ultimus inimicus abolebitur mors.

27 Omnia enim subjecit sub pedes ejus. Quum autem dicat, quod omnia subjecta sunt, manifestum quod excepto illo subjiciente ei omnia.

28 Quum autem subjecta fuerint illi omnia, tunc et ipse Filius subjicietur subjicienti sibi omnia, ut sit Deus omnia, in omnibus.

29 Alioquin quid facient bap

τιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται ; τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν ;

30 Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν ;

31 Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

32 Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται ; " Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν."

33 Μὴ πλανᾶσθε· " Φθείρουσιν ἤθη χρῆσθ' ὁμιλίαι κακαί."

34 Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω.

35 Ἀλλ' ἐρεῖ τίς· Πῶς ἐγείρονται οἱ νεκροί ; ποίῳ δὲ σώματι ἔρχονται ;

36 Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ.

37 Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν·

38 Ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.

39 Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν σαρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν·

40 Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων·

41 Ἄλλη δόξα ἡ ἡλίς, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει εν δόξῃ.

tizati pro mortuis, si omnino mortui non resurgunt ? quid et baptizantur pro mortuis ?

30 Quid et nos periclitamur per omnem horam ?

31 Per diem morior, per vestram gloriationem, quam habeo in Christo Jesu Domino nostro.

32 Si secundum hominem ad bestias pugnavi in Epheso, quod mihi commodum, si mortui non resurgunt ? Manducemus et bibamus, cras enim moriemur.

33 Ne errate : Corrumpunt mores bonos colloquia mala.

34 Evigilate juste, et ne peccate : ignorantiam enim Dei quidam habent. ad pudorem vobis loquor.

35 Sed dicet aliquis : Quo modo resurgunt mortui ? quali autem corpore veniunt ?

36 Insipiens, tu quod seminas, non vivificatur, si non moriatur.

37 Et quod seminas, non corpus oriturum seminas, sed nudum granum, si contigerit, tritici, aut alicujus cæterorum.

38 At Deus illi dat corpus sicut voluit, et unicuique seminum proprium corpus.

39 Non omnis caro, eadem caro : sed alia quidem caro hominum, alia autem caro pecorum, alia vero piscium, alia autem volucrium.

40 Et corpora cælestia, et corpora terrestria : sed alia quidem cælestium gloria, alia autem terrestrium.

41 Alia gloria solis, et alia gloria lunæ, et alia gloria stellarum : Stella enim à stella differt in gloria.

42 Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ·

43 Σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει·

44 Σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν· ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα πνευματικόν·

45 Οὕτω καὶ γέγραπται· "ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν·" ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

46 Ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν· ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν.

47 Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ.

48 Οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι·

49 Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

50 Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

51 Ἰδοὺ, μυστήριον ὑμῖν λέγω· Πάντες μὲν οὐ κοιμηθησόμεθα· πάντες δὲ ἀλλαγησόμεθα,

52 Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα.

53 Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

54 Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο

42 Sic et resurrectio mortuorum: seminatur in corruptione, surgit in incorruptione.

43 Seminatur in ignominia, excitatur in gloria: Seminatur in infirmitate, surgit in virtute.

44 Seminatur corpus animale, surgit corpus spiritale. est corpus animale, et est corpus spiritale.

45 Ita et scriptum est: Factus est primus homo Adam in animam viventem, novissimus Adam in spiritum vivificantem.

46 Sed non prius spiritale, sed animale, deinde spiritale.

47 Primus homo de terra, terrenus: secundus homo, Dominus de cælo.

48 Qualis terrenus, tales et terreni: et qualis cælestis, tales et cælestes.

49 Et sicut portavimus imaginem terreni, portabimus et imaginem cælestis.

50 Hoc autem dico, fratres quia caro et sanguis regnum Dei jure hæreditario possidere non possunt, neque corruptio incorruptelam jure hæreditario possidet.

51 Ecce mysterium vobis dico: omnes quidem non dormiemus, omnes autem immutabimur.

52 In momento, in ictu oculi, in novissima tuba, tuba canet enim, et mortui resurgent incorrupti, et nos immutabimur.

53 Oportet enim corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem.

54 Quum autem corruptibile

ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· "Κατεπόθη ὁ θάνατος εἰς νῖκος."

55 Ποῦ σε, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;

56 Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος.

57 Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

58 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

Κεφ. ις'. 16.

1 Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε.

2 Κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ,τι ἂν εὐοδῶται· ἵνα μὴ ὅταν ἔλθω, τότε λογίαι γίνωνται.

3 Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάζητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ.

4 Ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι.

6 Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι.

7 Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν· ἐλπίζω δὲ χρόνον

hoc induerit incorruptionem, et mortale hoc induerit immortalitatem, tunc fiet sermo ille scriptus: Absorpta est mors in victoriam.

55 Ubi tuus, mors, stimulus? ubi vestra, inferi, victoria?

56 At stimulus mortis, peccatum: at potentia peccati, Lex.

57 At Deo gratia danti nobis victoriam per Dominum nostrum Jesum Christum.

58 Itaque, fratres mei dilecti, stabiles estote, immobiles, abundantes in opere Domini semper, scientes quod labor vester non est inanis in Domino.

CAPUT XVI.

1 De autem collecta quæ in sanctos, sicut ordinavi ecclesiis Galatiæ, ita et vos facite.

2 Per unam Sabbatorum unusquisque vestrum apud se reponat recondens, quod bene successerit: ut non quum venero, tunc collectæ fiant.

3 Quum autem adfuero, quos probaveritis per epistolas, hos mittam perferre gratiam vestram in Hierusalem.

4 Si vero fuerit dignum et me proficisci, cum me proficiscentur.

5 Veniam autem ad vos, quum Macedoniam pertransivero: Macedoniam enim pertranseo.

6 Apud vos autem forsitan manebo, vel etiam hyemabo: ut vos me deducatis quocumque iero.

7 Nolo enim vos modo in transitu videre, spero vero tem-

τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.

8 Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς·

9 Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς, καὶ ἀντικείμενοι πολλοί.

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ·

11 Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ· προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ· ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε·

14 Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἶδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς·

16 Ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.

17 Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν·

18 Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ.

pus aliquod manere apud vos, si Dominus permiserit.

8 Permanebo autem in Epheso usque ad Pentecosten.

9 Ostium enim mihi apertum est magnum et efficax, et adversarii multi.

10 Si autem venerit Timotheus : videte ut sine timore sit apud vos : nam opus Domini operatur sicut et ego.

11 Ne quis ergo illum nihili faciat : Deducite autem illum in pace, ut veniat ad me ; expecto enim illum cum fratribus.

12 De autem Apollo fratre, multum rogavi eum, ut veniret ad vos cum fratribus : et omnino non fuit voluntas ut nunc veniret : veniet autem quum opportunitatem habuerit.

13 Vigilate, state in fide, viriliter agite, fortificamini.

14 Omnia vestra in charitate fiant.

15 Obsecro autem vos, fratres, nostis domum Stephanæ, quod est primitiæ Achaiæ, et in ministerium sanctis addixerunt seipsos :

16 Ut et vos subjiciamini talibus, et omni co-operanti et laboranti.

17 Gaudeo autem in præsentia Stephanæ et Fortunati et Achaici, quoniam vestrum defectum hi suppleverunt.

18 Refecerunt enim meum spiritum et vestrum. Agnoscite ergo tales.

19 Salutant vos ecclesiæ Asiæ. Salutant vos in Domino multum Aquila et Priscilla, cum ea quæ in domo eorum ecclesia.

20 Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.

22 Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα, μαρὰν ἀθά.

23 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

24 Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Πρὸς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ, καὶ Φουρτουνάτου, καὶ Ἀχαϊκοῦ, καὶ Τιμοθέου.

20 Salutant vos fratres omnes. Salutate alii alios in osculo sancto.

21 Salutatio mea manu Pauli.

22 Si quis non amat Dominum Jesum Christum, sit anathema, Maran atha.

23 Gratia Domini Jesu Christi cum vobis.

24 Charitas mea cum omnibus vobis in Christo Jesu. Amen.

Ad Corinthios prior scripta est Philippis per Stephanam, et Fortunatum, et Achaicum, et Timotheum.

ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Κεφ. ά. 1.

1 Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ·

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως,

4 Ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ.

5 Ὅτι καθὼς περισσεύει τὰ πα-

AD CORINTHIOS EPISTOLA SECUNDA.

CAPUT I.

1 PAULUS Apostolus Jesu Christi per voluntatem Dei, et Timotheus frater, ecclesiæ Dei existenti in Corintho, cum sanctis omnibus existentibus in tota Achaia.

2 Gratia vobis et pax à Deo Patre nostro, et Domino Jesu Christo.

3 Benedictus Deus et Pater Domini nostri Jesu Christi, pater misericordiarum, et Deus totius consolationis :

4 Consolans nos in omni tribulatione nostra, ad posse nos consolari eos qui in omni pressura, per consolationem, qua consolatione afficimur ipsi à Deo.

5 Quoniam sicut abundant

θήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.

6 Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως, καὶ σωτηρίας τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας· 𝔍 ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν·

7 Εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.

8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν·

9 Ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς,

10 Ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, καὶ ῥύσεται· εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται,

11 Συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

12 Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ· περισσοτέρως δὲ πρὸς ὑμᾶς.

13 Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ 𝔍 passiones Christi in nobis, ita per Christum abundat et consolatio nostra.

6 Sive autem tribulamur, pro vestra consolatione et salute, effecta in tolerantia earundem passionum quas et nos patimur: Sive consolatione afficimur, super vestra consolatione et salute: Et spes nostra firma super vos.

7 Scientes quod sicut socii estis passionum, sic et consolationis.

8 Non enim volumus vos ignorare, fratres, de tribulatione nostra facta nobis in Asia: quoniam secundum exuperantiam gravati sumus supra virtutem, ita ut perdubitare nos etiam vivere.

9 Sed ipsi in nobismetipsis decretum mortis habuimus, ut non fidentes simus in nobis ipsis, sed in Deo excitante mortuos.

10 Qui ex tanta morte eripuit nos, et eripit: in quem speravimus quoniam et adhuc eripiet:

11 Coadjuvantibus et vobis pro nobis oratione, ut ex multis personis pro illa in nos donatione per multos gratiæ agantur pro nobis.

12 Nam gloriatio nostra hæc est, testimonium conscientiæ nostræ, quod in simplicitate et sinceritate Dei, non in sapientia carnali, sed in gratia Dei conversati sumus in mundo: abundantius autem ad vos.

13 Non enim alia scribimus vobis, nisi quam quæ legitis,

ἐπιγινώσκετε· ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε,

14 Καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν πρότερον, ἵνα δευτέραν χάριν ἔχητε,

16 Καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν·

17 Τοῦτο οὖν βουλευόμενος μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ;

18 Πιστὸς δὲ ὁ Θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ·

19 Ὁ γὰρ τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθεὶς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν.

20 Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναί, καὶ ἐν αὐτῷ τὸ ἀμήν, τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν.

21 Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, καὶ ὁ χρίσας ἡμᾶς, Θεὸς,

22 Ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

23 Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον·

24 Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει ἑστήκατε.

aut et agnoscitis: Spero autem quod et usque in finem agnoscetis.

14 Sicut et agnovistis nos ex parte, quia gloriatio vestra sumus, sicut et vos nostra in die Domini nostri Jesu Christi.

15 Et hac confidentia volui venire ad vos prius, ut secundam gratiam haberetis:

16 Et per vos venire in Macedoniam, et iterum à Macedonia venire ad vos, et à vobis deduci in Judæam.

17 Hoc ergo deliberans, num quid levitate usus sum? Aut quæ delibero, secundum carnem delibero, ut sit apud me Etiam etiam, et Non non?

18 Fidelis autem Deus, quia sermo noster qui ad vos, non factus est Etiam et Non.

19 Nam Dei Filius Jesus Christus in vobis per nos prædicatus, per me et Silvanum, et Timotheum, non factus est Etiam et Non, sed Etiam in eo factus est.

20 Quotquot enim promissiones Dei, in illo Etiam, et in illo Amen, Deo ad gloriam per nos.

21 At confirmans nos cum vobis in Christum, et ungens nos, Deus:

22 Qui et obsignans nos, et dans arrabonem spiritus in cordibus nostris.

23 Ego autem testem Deum invoco in meam animam, quod parcens vobis, non ultra veni Corinthum.

24 Non quia dominamur vestræ fidei, sed cooperatores sumus gaudii vestri; nam fide statis.

Κεφ. Β'. 2.

1 Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς·

2 Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ ;

3 Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν.

4 Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν, διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

5 Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς.

6 Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων.

7 Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

8 Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην·

9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε.

10 Ὧι δέ τι χαρίζεσθε, καὶ ἐγώ· καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι, δι' ὑμᾶς, ἐν προσώπῳ Χριστοῦ, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ·

11 Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

12 Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ

CAPUT II.

1 JUDICAVI autem mihi ipsi hoc, non iterum intristitia ad vos venire.

2 Si enim ego contristo vos, et quis est lætificans me, si non constristatus ex me ?

3 Et scripsi vobis hoc ipsum, ut ne veniens tristitiam super tristitiam habeam, de quibus oportuerat me gaudere, confisus in omnibus vobis, quia meum gaudium, omnium vestrum est.

4 Ex enim multa tribulatione et angustia cordis scripsi vobis per multas lacrymas, non ut contristemini, sed charitatem ut sciatis quam habeam abundantius in vos.

5 Si autem quis contristavit, non me constritavit, sed ex parte, ut non onerem, omnes vos.

6 Sufficiens tali objurgatio hæc à pluribus.

7 Ita ut econtrario magis vos condonare et consolari, ne forte abundantiori tristitia absorbeatur talis.

8 Ideo obsecro vos confirmare in illum charitatem.

9 In hoc enim et scripsi, ut cognoscam probationem vestram, si in omnia obedientes sitis.

10 Cui autem aliquid condonatis, et ego : et enim ego siquid condonavi, cui condonavi, propter vos, in facie Christi,

11 ut non circumveniamur à satana : Non enim ejus consilia ignoramus.

12 Veniens autem Troadem ad Euangelium Christi, et ostio

σάρας μου ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου·

13 Ἀλλὰ ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς Μακεδονίαν.

14 Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ,

15 Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις·

16 Οἷς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον· οἷς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν· καὶ πρὸς ταῦτα τίς ἱκανός;

17 Οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

Κεφ. γ'. 3.

1 Ἀρχομέθα πάλιν ἑαυτοὺς συνιστάνειν; εἰ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν;

2 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων,

3 Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος· οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν,

5 Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ·

6 Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος,

mihi aperto in Domino, non habui relaxationem spiritui meo, non inveniens Titum fratrem meum:

13 Sed valedicens eis, exii in Macedoniam.

14 At Deo gratia, semper triumphanti nos in Christo, et odorem notitiæ suæ manifestanti per nos in omni loco.

15 Quia Christi bona fragrantia sumus Deo in servandis, et in pereuntibus:

16 His quidem odor mortis in mortem, illis autem odor vitæ in vitam. Et ad hæc quis idoneus?

17 Non enim sumus, sicut reliqui, cauponantes verbum Dei, sed ut ex sinceritate, sed sicut ex Deo, coram Deo, in Christo loquimur.

CAPUT III.

1 INCIPIMUS iterum nosmetipsos commendare? si non egemus, sicut quidam, commendatiis epistolis ad vos, aut ex vobis commendatitiis?

2 Epistola nostra vos estis, inscripta in cordibus nostris, cognita et lecta ab omnibus hominibus:

3 Manifestati quoniam estis epistola Christi, ministrata à nobis, inscripta non atramento, sed Spiritu Dei viventis: non in tabulis lapideis, sed in tabulis cordis carnalibus.

4 Fiduciam autem talem habemus per Christum ad Deum:

5 Non quod sufficientes simus à nobis ipsis cogitare aliquid quasi ex nobis ipsis, sed sufficientia nostra ex Deo.

6 Qui et idoneos fecit nos ministros novi testamenti, non

ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ.

7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, τὴν καταργουμένην·

8 Πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ;

9 Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως, δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ·

10 Καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον, ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης.

11 Εἰ γὰρ τὸ καταργούμενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ.

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα,

13 Καὶ οὐ καθάπερ Μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου·

14 Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται.

15 Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται·

16 Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα.

17 Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.

18 Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα

literæ, sed spiritus: nam litera occidit, at spiritus vivificat.

7 Si vero ministratio mortis in literis, informata in lapidibus facta fuit in gloria, ita ut non posse intueri filios Israël in faciem Mosis, propter gloriam vultus ejus abolendam:

8 Quomodo non magis ministratio spiritus erit in gloria?

9 Si enim ministerium damnationis, gloria, multo magis abundabit ministerium justitiæ in gloria.

10 Etenim neque glorificatum est illud glorificatum, in hac parte, propter excellentem gloriam.

11 Si enim abolendum, per gloriam; multò magis manens, in gloria.

12 Habentes igitur talem spem, multa fiducia utimur.

13 Et non sicut Moses ponebat velamen super faciem suam, ad non intueri filios Israël in finem abolendi.

14 Sed obduruerunt cogitationes eorum. Usque enim hodie idipsum velamen in lectione veteris testamenti manet, non revelatum, quod in Christo aboletur.

15 Sed usque hodie, quum legitur Moses, velamen super cor eorum positum est.

16 Quum autem conversus fuerit ad Dominum, circumauferetur velamen.

17 At Dominus Spiritus est: Ubi autem Spiritus Domini, ibi libertas.

18 Nos vero omnes, revelata facie gloriam Domini speculantes, eandem imaginem transfor

μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος.

Κεφ. δ'. 4.

1 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν,

2 Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, ἐνώπιον τοῦ Θεοῦ.

3 Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον,

4 Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ·

5 Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον· ἑαυτοὺς δὲ, δούλους ὑμῶν διὰ Ἰησοῦν·

6 Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ.

7 Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν·

8 Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι·

9 Διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι,

10 Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περι-

mamur à gloria in gloriam, tamquam à Domini Spiritu.

CAPUT IV.

1 PROPTER hoc habentes administrationem hanc, prout misericordiam consequuti sumus, non deficimus.

2 Sed abdicavimus occulta dedecoris, non ambulantes in astutia, neque adulterantes verbum Dei : sed manifestatione veritatis commendantes nosmetipsos ad omnem conscientiam hominum, coram Deo.

3 Si autem et est opertum Euangelium nostrum, in pereuntibus est opertum :

4 In quibus Deus seculi hujus excæcavit mentes infidelium, ad non splendendum eis illuminationem Euangelii gloriæ Christi, qui est imago Dei invisibilis.

5 Non enim nosmetipsos prædicamus, sed Christum Jesum Dominum, nosipsos autem servos vestros per Jesum.

6 Quoniam Deus dicens de tenebris lucem splendescere, qui illuxit in cordibus nostris, ad illuminationem scientiæ gloriæ Dei in facie Jesu Christi.

7 Habemus autem thesaurum istum in fictilibus vasis, ut sublimitas virtutis sit Dei, et non ex nobis.

8 In omni tribulati, sed non coarctati : Hæsitantes, sed non prorsus hærentes.

9 Persequutionem passi, sed non deserti : dejecti, sed non perditi.

10 Semper mortificationem Domini Jesu in corpore circum

φέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.

11 Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.

12 Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.

13 Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· "Ἐπίστευσα, διὸ ἐλάλησα·" καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν·

14 Εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν·

15 Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ.

16 Διὸ οὐκ ἐκκακοῦμεν· ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ·

17 Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν, αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν,

18 Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.

ferentes, ut et vita Jesu in corpore nostro manifestetur.

11 Semper enim nos viventes, in mortem tradimur propter Jesum, ut et vita Jesu manifestetur in mortali carne nostra.

12 Itaque quidem mors in nobis operatur, at vita in vobis.

13 Habentes autem eundem spiritum fidei, secundum scriptum: Credidi. Ideo loquutus sum: et nos credimus, ideo et loquimur.

14 Scientes quoniam qui suscitavit Dominum Jesum, et nos per Jesum suscitabit, et sistet cum vobis.

15 Nam omnia propter vos, ut gratia abundans, per multorum gratiarum actionem, abundet in gloriam Dei.

16 Ideo non deficimus: sed si et ille extra noster homo corrumpatur, sed ille intus renovatur die et die.

17 Nam momentanea levitas tribulationis nostræ, secundum excellentiam in excellentiam, æternum pondus gloriæ operatur nobis:

18 Non contemplantibus nobis conspecta, sed non conspecta; Nam conspecta, temporalia; at non conspecta, æterna.

Κεφ. έ. 5.

1 Οἴδαμεν γὰρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.

2 Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες·

CAPUT V.

1 SCIMUS enim quoniam si terrestris nostra domus tabernaculi dissolvatur, ædificationem ex Deo habemus, domum non manufactam, æternam in cælis.

2 Etenim in hoc ingemiscimus, habitationem nostram quæ de cælo superindui cupientes.

3 Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.

4 Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι· ἐπειδὴ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

5 Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, Θεὸς, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος.

6 Θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου·

7 Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους·

8 Θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον.

9 Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι.

10 Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

11 Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου, ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.

12 Οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν· ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ οὐ καρδίᾳ.

13 Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν.

14 Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς,

15 Κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων

3 Si tamen et vestiti, non nudi inveniamur.

4 Etenim existentes in tabernaculo ingemiscimus gravati, in quo nolumus expoliari, sed supervestiri, ut absorbeatur mortale à vita.

5 At perficiens nos in ipsum hoc, Deus: et dans nobis arrabonem Spiritus.

6 Confidentes igitur semper, et scientes quoniam advenæ in corpore, peregrinamur à Domino.

7 Per fidem enim ambulamus, non per speciem.

8 Confidimus autem, et probamus magis peregrinari à corpore, et habitatum ire ad Dominum.

9 Ideo et contendimus, sive incolentes, sive migrantes, beneplacentes ei esse.

10 Nam omnes nos manifestari oportet ante tribunal Christi, ut referat unusquisque quæ per corpus, ad quæ gessit, sive bonum, sive malum.

11 Scientes ergo timorem Domini, hominibus suademus, Deo autem manifestati sumus; spero autem et in conscientiis vestris manifestari.

12 Non enim iterum nosipsos commendamus vobis, sed occasionem dantes vobis gloriationis de nobis, ut habeatis ad ipsos in facie gloriantes, et non corde.

13 Sive enim mente excedimus, Deo: sive prudenter agimus, vobis.

14 Nam charitas Christi cohibet nos:

15 Judicantes hoc, quoniam si unus pro omnibus mortuus est, nempe omnes mortui sunt:

ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.

16 Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν.

17 Ὥστε εἴτις ἐν Χριστῷ, "καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα."

18 Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

19 Ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ.

21 Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

Κεφ. ϛ'. 6.

1 Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς.

2 Λέγει γάρ· "Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι." ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.

3 Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία,

4 Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι· ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις,

Et pro omnibus mortuus est, ut viventes non jam sibi ipsis vivant, sed ipsi pro ipsis mortuo et excitato.

16 Itaque nos ex nunc nemi nem novimus secundum car nem: Si vero et cognovimus secundum carnem Christum, sed nunc non amplius cognoscimus

17 Itaque si quis in Christo, nova creatura, vetera transierunt, ecce facta sunt omnia nova.

18 At omnia ex Deo reconciliante nos sibi ipsi per Jesum Christum, et dante nobis ministerium reconciliationis.

19 Ut quia Deus erat in Christo mundum reconcilians sibi ipsi, non reputans illis delicta ipsorum, et ponens in nobis verbum reconciliationis.

20 Pro Christo ergo legatione fungimur, tamquam Deo exhortante per nos: Obsecramus pro Christo, reconciliamini Deo.

21 Nam non cognoscentem peccatum, pro nobis peccatum fecit, ut nos efficeremur justitia Dei in ipso.

CAPUT VI.

1 COOPERANTES autem et exhortamur ne in vacuum gratiam Dei recipere vos.

2 Ait enim: Tempore accepto exaudivi te, et in die salutis adjuvi te. Ecce nunc tempus acceptabile, ecce nunc dies salutis.

3 Nullam in ullo dantes offensionem, ut non vituperetur ministerium:

4 Sed in omnibus constituentes nosmetipsos sicut Dei ministri, in patientia multa, in tribulationibus, in necessitatibus, in angustiis:

5 Ἐν πληγαῖς, ἐν φυλακαῖς, νὲ ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις,

6 Ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ,

7 Ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν·

8 Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς·

9 Ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι·

10 Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

11 Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι· ἡ καρδία ἡμῶν πεπλάτυνται.

12 Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν· στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.

13 Τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ὡς τέκνοις λέγω, πλατύνθητε καὶ ὑμεῖς.

14 Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;

15 Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

16 Τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετ' εἰδώλων; ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος· καθὼς εἶπεν ὁ Θεός· "Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός.

5 In plagis, in custodiis, in seditionibus, in laboribus, in vigiliis, in jejuniis:

6 In castitate, in scientia, in longanimitate, in bonitate, in Spiritu sancto, in charitate non ficta:

7 In verbo veritatis, in virtute Dei, per arma justitiæ dextra et sinistra:

8 Per gloriam et ignominiam, per infamiam et bonam famam: ut seductores, et veraces:

9 Sicut ignoti, et cogniti: quasi morientes, et ecce vivimus: ut castigati, et non mortificati:

10 Quasi tristes, semper autem gaudentes: sicut egentes, multos autem locupletantes: tanquam nihil habentes, et omnia possidentes.

11 Os nostrum apertum est ad vos, Corinthii: cor nostrum dilatatum est.

12 Non angustiamini in nobis: angustiamini autem in visceribus vestris.

13 At eandem compensationem, ut natis dico: dilatamini et vos.

14 Ne fiatis altero jugo copulati infidelibus. Quæ enim participatio justitiæ et iniquitati? quæ vero communio luci ad tenebras?

15 Quæ autem conventio Christo ad Belial? aut quæ pars fideli cum infideli?

16 Qui autem consensus templo Dei cum idolis? Vos enim templum Dei estis viventis, sicut dicit Deus: Quoniam inhabitabo in illis, et inambulabo: et ero illorum Deus et ipsi erunt mihi populus.

17 Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς,

18 Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας λέγει Κύριος παντοκράτωρ."

Κεφ. ζ'. 7.

1 ΤΑύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

2 Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν.

3 Οὐ πρὸς κατάκρισιν λέγω· προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

4 Πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν· πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν·

5 Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι· "ἔξωθεν μάχαι, ἔσωθεν φόβοι."

6 'Αλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς, ἐν τῇ παρουσίᾳ Τίτου·

7 Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ· ὥστε με μᾶλλον χαρῆναι·

8 Ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην· βλέπω γὰρ ὅτι ἡ

17 Ideo exite de medio eorum, et separamini, dicit Dominus: et immundum ne attingite: et ego recipiam vos.

18 Et ero vobis in patrem, et vos eritis mihi in filios et filias, dicit Dominus omnipotens

CAPUT VII.

1 HAS ergo habentes promissiones, dilecti, mundemus nos ipsos ab omni inquinamento carnis et spiritus, perficientes sanctificationem in timore Dei.

2 Capite nos: neminem injuria affecimus, neminem corrupimus, neminem avare fraudavimus.

3 Non ad condemnationem dico: prædixi enim quod in cordibus nostris estis ad commoriendum et convivendum.

4 Multa mihi fiducia apud vos, multa mihi gloriatio pro vobis: repletus sum consolatione, superabundo gaudio in omni tribulatione nostra.

5 Etenim venientibus nobis in Macedoniam, nullam habuit relaxationem caro nostra, sed in omni tribulati: foris pugnæ: intus timores.

6 Sed consolans humiles, consolatus est nos Deus, in adventu Titi.

7 Non solum autem in adventu ejus, sed etiam in consolatione qua consolatus est in vobis, referens nobis vestrum desiderium, vestrum fletum, vestram æmulationem pro me: ita ut me magis gaudere.

8 Quoniam si et contristavi vos in epistola, non pœnitudine ducor, si et pœnitudine duce-

ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς.

9 Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

10 Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται.

11 Ἰδοὺ γὰρ αὐτὸ τοῦτο, τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδὴν, ἀλλ' ἀπολογίαν, ἀλλ' ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλ' ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ' ἐκδίκησιν; ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.

12 Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος· ἀλλ' εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ὑμῶν τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς, ἐνώπιον τοῦ Θεοῦ.

13 Διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει ὑμῶν· περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν,

14 Ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην· ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ Τίτου, ἀλήθεια ἐγενήθη·

15 Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν, ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν· ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.

bar, intueor enim quod epistola illa, si et ad horam, contristavit vos.

9 Nunc gaudeo, non quia contristati estis, sed quia contristati estis ad pœnitentiam: Contristati estis enim secundum Deum, ut in nullo detrimento afficeremini ex nobis.

10 Nam secundum Deum tristitia pœnitentiam in salutem haud pœnitendam operatur: at mundi tristitia mortem operatur.

11 Ecce enim hoc ipsum secundum Deum contristari vos, quantum operatum sit in vobis studium, sed defensionem, sed indignationem, sed timorem, sed desiderium, sed æmulationem, sed vindictam: in omni constituistis vos ipsos puros esse in negotio.

12 Nempe si et scripsi vobis, non causa ejus qui injuriam fecit, nec causa ejus qui injuriam passus est, sed causa manifestandi studium nostrum de vobis ad vos coram Deo.

13 Propter hoc consolationem accepimus in consolatione vestra: abundantius autem magis gavisi sumus super gaudio Titi, quia refectus est spiritus ejus ab omnibus vobis.

14 Quia si quid ei de vobis gloriatus sum, non sum confusus, sed sicut omnia in veritate loquuti sumus vobis, ita et gloriatio nostra quæ ad Titum, veritas facta est:

15 Et viscera ejus abundantius in vos sunt, reminiscentis omnium vestrum obedientiam: quomodo cum timore et tremore excepistis illum

16 Χαίρω ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν.

Κεφ. ή. 8.

1 Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας,

2 Ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν·

3 Ὅτι κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι,

4 Μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, δέξασθαι ἡμᾶς.

5 Καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος Θεοῦ,

6 Εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς, καὶ τὴν χάριν ταύτην.

7 Ἀλλ' ὥσπερ ἐν παντὶ περισσεύετε, πίστει, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.

8 Οὐ κατ' ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων·

9 Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε, πλούσιος ὤν· ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.

10 Καὶ γνώμην ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵ-

16 Gaudeo igitur quod in omni confido in vobis.

CAPUT VIII.

1 NOTAM facimus autem vobis, fratres, gratiam Dei datam in ecclesiis Macedoniæ:

2 Quod in multo experimento tribulationis abundantia gaudii ipsorum, et secundum profundum paupertas eorum abundavit in divitias simplicitatis eorum.

3 Quia secundum virtutem testor, et supra virtutem voluntarii:

4 Cum multa exhortatione obsecrantes nos gratiam et communicationem ministerii quæ in sanctos, suscipere nos.

5 Et non sicut speravimus, sed semetipsos dederunt primum Domino et nobis, per voluntatem Dei:

6 In adhortari nos Titum, ut quemadmodum ante cœpit, ita et perficiat in vos et gratiam istam.

7 Sed sicut in omni abundatis fide et sermone, et scientia, et omni studio, et illa ex vobis in nobis dilectione, ut et in hac gratia abundetis.

8 Non secundum imperium dico, sed per aliorum studium, etiam vestræ charitatis germanitatem comprobans.

9 Scitis enim gratiam Domini nostri Jesu Christi, quoniam propter vos paupertatem subiit dives existens, ut vos illius paupertate ditesceretis:

10 Et sententiam in hoc do: hoc enim vobis confert, qui non

τινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήξασθε ἀπὸ πέρυσι·

11 Νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε· ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτω καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν·

12 Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει.

13 Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις· ἀλλ' ἐξ ἰσότητος, ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα,

14 Ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης,

15 Καθὼς γέγραπται· "Ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε."

16 Χάρις δὲ τῷ Θεῷ, τῷ διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου,

17 Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο· σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς.

18 Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν·

19 Οὐ μόνον δὲ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν, καὶ προθυμίαν ὑμῶν·

20 Στελλόμενοι τοῦτο, μήτις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν,

21 "Προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων."

22 Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφον ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν

solum facere, sed et velle primum cœpistis à superiori anno.

11 Nunc vero et facere perficite : ut quemadmodum promptitudo velle, ita et perficere ex ipso habere.

12 Si enim promptitudo animi prius adsit, secundum id quod habet quis, bene acceptus, non secundum id quod non habet.

13 Non enim ut aliis remissio, vobis autem tribulatio : Sex ex æqualitate, in hoc nunc tempore vestra abundantia in illorum defectum :

14 Ut et illorum abundantia fiat in vestrum defectum, ut fiat æqualitas :

15 Sicut scriptum est : Qui multum, non abundavit : et qui modicum, non minus habuit.

16 Gratia autem Deo danti illud idem studium pro vobis in corde Titi :

17 Quoniam quidem exhortationem excepit : studiosior vero existens, ultroneus exiit ad vos.

18 Simul misimus autem cum illo fratrem, cujus laus in Euangelio per omnes ecclesias :

19 Non solum autem, sed et suffragiis electus est ab ecclesiis, comperegrinus noster cum gratia hac administrata à nobis ad ipsius Domini gloriam et promptitudinem animi vestri :

20 Devitantes hoc, ne quis nos vituperet in exuberantia hac ministrata à nobis :

21 Providentes pulchra non solum coram Domino, sed etiam coram hominibus.

22 Simul misimus autem cum illis fratrem nostrum, quem

πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς,

23 Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ.

24 Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε, καὶ εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

probavimus in multis sæpe studiosum existentem, nunc autem multo studiosiorem, confidentia multa quæ in vos.

23 Sive pro Tito, socius meus et in vos cooperator · sive fratres nostri, Apostoli ecclesiarum, gloria Christi.

24 Ergo ostensionem charitatis vestræ, et nostræ gloriationis de vobis, in illos ostendite, et in faciem ecclesiarum.

Κεφ. θ'. 9.

1 Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοι ἐστὶ τὸ γράφειν ὑμῖν·

2 Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι· Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.

3 Ἔπεμψα δὲ τοὺς ἀδελφούς, ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ μέρει τούτῳ· ἵνα, καθὼς ἔλεγον, παρεσκευασμένοι ἦτε·

4 Μή πως ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς, ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως.

5 Ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν, ταύτην ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὥσπερ πλεονεξίαν.

6 Τοῦτο δέ, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.

7 Ἕκαστος καθὼς προῃρεῖται τῇ καρδίᾳ μὴ ἐκ λύπης ἢ ἐξ

CAPUT IX.

1 De quidem enim ministerio in sanctos ex abundanti mihi est scribere vobis.

2 Scio enim promptum animum vestrum, quem de vobis glorior Macedonibus, quod Achaia parata est à superiori anno et ex vobis æmulatio provocavit plurimos.

3 Misi autem fratres, ut ne gloriatio nostra de vobis, inanis fiat in parte hac : ut, quemadmodum dixi, parati sitis.

4 Ne forte si venerint cum me Macedones, et invenerint vos imparatos, erubescamus nos, ut non dicamus vos, in substantia hac gloriationis.

5 Necessarium ergo existimavi rogare fratres, ut præeant ad vos, et præparent præannunciatam benedictionem vestram, hanc paratam esse sic quasi benedictionem, et non quasi exactionem.

6 Hoc autem, serens parce, parce et metet : et seminans in benedictionibus, in benedictionibus et metet :

7 Unusquisque prout præoptat corde, non ex tristitia,

ἀνάγκης· "Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός."

8 Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς· ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθὸν,

9 Καθὼς γέγραπται· "Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα."

10 Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν.

11 Ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ,

12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ,

13 Διὰ τῆς δοκιμῆς διακονίας ταύτης δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας,

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν.

15 Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

Κεφ. ι'. 10.

1 Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς.

2 Δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι

aut ex necessitate. hilarem enim datorem diligit Deus.

8 Potens autem Deus omnem gratiam abundare facere in vos: ut in omnibus semper omnem sufficientiam habentes, abundetis in omne opus bonum:

9 Sicut scriptum est: Dispersit, dedit pauperibus: justitia ejus manet in æternum.

10 At suppeditans semen seminanti, et panem ad escam suppeditet, et multiplicet sementem vestram, et augeat fructus justitiæ vestræ:

11 In omni ditati in omnem simplicitatem, quæ adoperatur per nos gratiarum actionem Deo.

12 Quoniam ministerium oblationis hujus non solum est supplens inopias sanctorum, sed etiam redundans per multas gratiarum actiones Deo:

13 Per probationem ministerii hujus glorificantes Deum in obedientia confessionis vestræ in Euangelium Christi, et simplicitate communicationis in illos, et in omnes.

14 Et ipsorum obsecratione pro vobis, desiderantium vos, propter eminentem gratiam Dei in vobis.

15 Gratia autem Deo super inenarrabili ejus dono.

CAPUT X.

1 IPSE autem ego Paulus obsecro vos per lenitatem et æquitatem Christi: qui secundum faciem quidem humilis in vobis, absens autem confido in vos.

2 Rogo autem ne præsens confidens esse ea fiducia, qua

τολμῆσαι ἐπί τινας τους λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας·

3 Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα·

4 Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων,

5 Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ,

6 Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

7 Τὰ κατὰ πρόσωπον βλέπετε ; εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ.

8 Ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ Κύριος ἡμῖν εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι,

9 Ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν·

10 Ὅτι αἱ μὲν ἐπιστολαὶ, φησὶ, βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος.

11 Τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ.

12 Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς, οὐ συνιοῦσιν·

cogito audere in quosdam, ex istimantes nos tanquam secundum carnem ambulantes.

3 In carne enim ambulantes, non secundum carnem militamus.

4 Nam arma militiæ nostræ non carnalia, sed potentia Deo, ad eversionem munitionum.

5 Ratiocinationes evertentes, et omnem sublimitatem elatam adversus cognitionem Dei, et captivantes omnem intellectum in obedientiam Christi.

6 Et in parato habentes ulcisci omnem inobedientiam, quum impleta fuerit vestra obedientia.

7 Quæ secundum faciem aspicitis ? Si quis confidit sibi ipsi Christi esse, hoc cogitet iterum à se ipso, quia sicut ipse Christi, ita et nos Christi.

8 Sique enim et amplius aliquid glorier de auctoritate nostra, quam dedit Dominus nobis in ædificationem, et non in eversionem vestram, non pudefiam.

9 Ut autem non videar tamquam terrere vos per epistolas.

10 Quoniam quidem epistolæ, inquiunt, graves et fortes : at præsentia corporis infirma, et sermo nihili factus.

11 Hoc cogitet talis, quia quales sumus verbo per epistolas absentes, tales et præsentes opere.

12 Non enim audemus inserere aut conferre nos ipsos quibusdam, seipsos commendantibus : sed ipsi in seipsis semetipsos metientes, et conferentes seipsos semetipsis non intelligunt.

13 Ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν·

14 Οὐ γὰρ ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς, ὑπερεκτείνομεν ἑαυτούς· ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ,

15 Οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν,

16 Εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι· οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι.

17 "Ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω."

18 Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν.

Κεφ. ιά. 11.

1 Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου·

2 Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι, τῷ Χριστῷ·

3 Φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν, ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν.

4 Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε.

5 Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστόλων.

13 Nos autem non in immensurata gloriabimur, sed secundum mensuram regulæ, quam partitus est nobis Deus mensuram, pertigisse usque et vos.

14 Non enim quasi non pertingentes ad vos, superextendimus nos ipsos: Usque ad enim et vos pervenimus in Euangelio Christi:

15 Non in immensurata gloriantes in alienis laboribus: spem autem habentes augescente fide vestra, in vobis magnificari secundum regulam nostram in abundantiam.

16 In ulteriora vestri euangelizare: non in aliena regula, in parata gloriari.

17 At glorians, in Domino glorietur.

18 Non enim seipsum commendans, ille est probatus, sed quem Dominus commendat.

CAPUT XI.

1 UTINAM toleraretis meam paulisper insipientiam: sed et supportate me.

2 Æmulor enim vos æmulatione Dei. Despondi enim vos uni viro virginem castam sistere Christo.

3 Timeo autem ne forte sicut serpens Evam seduxit in astutia sua, ita corrumpantur mentes vestræ, à simplicitate illa in Christum.

4 Si quidem enim veniens alium Jesum prædicat quem non prædicavimus, aut spiritum alium accipitis quem non accepistis, aut euangelium aliud quod non recepistis, recte toleraretis.

5 Existimo enim nihilo inferiorem esse super valde Apostolis

6 Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς.

7 Ἢ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε; ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν;

8 Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον, πρὸς τὴν ὑμῶν διακονίαν· καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατενάρησα οὐδενός·

9 Τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν· οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας· καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω.

10 Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησις αὕτη οὐ σφραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.

11 Διατί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ Θεὸς οἶδεν.

12 Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς·

13 Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ·

14 Καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.

15 Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης· ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

16 Πάλιν λέγω, μή τις με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα μικρόν τι κἀγὼ καυχήσωμαι.

17 Ὃ λαλῶ, οὐ λαλῶ κατὰ

6 Si vero et rudis sermone, sed non cognitione : sed in omni manifestati in omnibus in vos.

7 Aut peccatum feci, meip sum humilians, ut vos exaltemini ? quoniam gratis Dei Euangelium euangelizaverim vobis ?

8 Alias ecclesias expoliavi, accipiens stipendium, ad vestrum ministerium : Et præsens apud vos et egens, non obtorpui cuiquam :

9 Nam inopiam meam suppleverunt fratres venientes à Macedonia : et in omni inonerosum vobis meipsum servavi, et servabo.

10 Est veritas Christi in me, quoniam gloriatio hæc non obturabitur in me in regionibus Achaiæ.

11 Propter quid ? quia non diligo vos ? Deus scit.

12 Quod autem facio, et faciam, ut amputem occasionem volentium occasionem : ut in quo gloriantur, inveniantur sicut et nos.

13 Nam ejusmodi pseudoapostoli, operarii dolosi, transformati in Apostolos Cnristi.

14 Et non mirum : ipse enim Satanas transformatur in angelum lucis

15 Non magnum ergo si et ministri ejus transformantur velut ministri justitiæ : quorum finis erit secundum opera ipsorum.

16 Iterum dico, ne quis me putet insipientem esse : si vero non, etiam ut insipientem accipite me, ut et ego modicum quid glorier.

17 Quod loquor, non loquor

Κύριον, ἀλλ' ὡς ἐν ἀφρυσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.

18 Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι.

19 Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες·

20 Ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει·

21 Κατ' ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν· ἐν ᾧ δ' ἂν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ·

22 Ἑβραῖοί εἰσι, κἀγώ· Ἰσραηλῖταί εἰσι, κἀγώ· σπέρμα Ἀβραάμ εἰσι, κἀγώ·

23 Διάκονοι Χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις.

24 Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον.

25 Τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα,

26 Ὁδοιπορίαις πολλάκις· κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις·

27 Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι·

28 Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν.

secundum Dominum, sed quasi in insipientia, in hac præsidentia gloriationis :

18 Quoniam multi gloriantur secundum carnem, et ego gloriabor.

19 Libenter enim suffertis insipientes, prudentes existentes.

20 Toleratis enim, si quis vos in servitutem redigit, si quis devorat, si quis accipit, si quis extollitur, si quis vos in faciem cædit.

21 Secundum contumeliam dico, quasi quod nos infirmi fuerimus : In quo vero quis audet, in insipientia dico, audeo et ego.

22 Hebræi sunt ? et ego : Israëlitæ sunt ? et ego : semen Abrahæ sunt ? et ego.

23 Ministri Christi sunt ? desipiens loquor, super ego : in laboribus abundantius, in plagis supra modum, in carceribus abundantius, in mortibus frequenter.

24 A Judæis quinquies quadragenas, præter unam, accepi

25 Ter virgis cæsus sum semel lapidatus sum, ter naufragium feci, noctem diem in profundo egi.

26 Itineribus sæpe, periculis fluminum, periculis latronum, periculis ex genere, periculis ex Gentibus, periculis in civitate, periculis in solitudine, periculis in mari, periculis in falsis fratribus.

27 In fatigatione et ærumna, in vigiliis sæpe, in fame et siti, in jejuniis sæpe, in frigore et nuditate :

28 Præter illa extrinsecus instantia mea per diem, sollicitudo omnium ecclesiarum.

29 Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.

31 Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι.

32 Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων,

33 Καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

Κεφ. ιβ'. 12.

1 Καυχᾶσθαι δή, οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.

2 Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν· ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ·

3 Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν,

4 Ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἀῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

5 Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.

6 Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ.

7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος σα-

29 Quis infirmatur, et non infirmor? quis scandalizatur, et non ego uror?

30 Si gloriari oportet, quæ infirmitatis meæ gloriabor.

31 Deus et pater Domini Jesu Christi scit, ille existens benedictus in secula, quod non mentior.

32 In Damasco gentis præpositus Aretæ regis præsidio tenebat Damascenorum civitatem, prehendere me volens.

33 Et per fenestram in sporta demissus sum per murum: et effugi manus ejus.

CAPUT XII.

1 Gloriari sane non confert mihi. veniam enim ad visionis et revelationes Domini.

2 Scio hominem in Christo ante annos quatuordecim, sive in corpore, nescio: sive extra corpus, nescio: Deus scit: raptum hujusmodi usque ad tertium cælum.

3 Et scio hujusmodi hominem, sive in corpore, sive extra corpus, nescio: Deus scit.

4 Quoniam raptus est in paradisum, et audivit arcana verba quæ non licet homini loqui.

5 Pro hujusmodi gloriabor: pro autem meipso non gloriabor, si non in infirmitatibus meis.

6 Si enim voluero gloriari, non ero insipiens: veri tatemenim dicam. parco autem, ne quis in me existimet supra quod videt me, aut audit aliquid ex me

7 Et excellentia revelationum ut ne efferar, datus est mihi stimulus carni, angelus

τᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι.

8 Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ·

9 Καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

10 Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ὑπὲρ Χριστοῦ· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

11 Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε· ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι· οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι.

12 Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι.

13 Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν; χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην.

14 Ἰδοὺ, τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν· οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς· οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις.

15 Ἐγὼ δὲ ἥδιστα δαπανήσω, καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν· εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι

16 Ἔστω δὲ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον.

17 Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς;

Satan, ut me colaphizet, ut ne efferar.

8 Super hoc ter dominum rogavi, ut discederet à me.

9 Et dixit mihi: Sufficit tibi gratia mea: nam virtus mea in infirmitate perficitur. Libenter igitur magis gloriabor in infirmitatibus meis, ut inhabitet in me virtus Christi.

10 Ideo oblector in infirmitatibus, in contumeliis, in necessitatibus, in persequutionibus, in angustiis pro Christo. Quum enim infirmor, tunc potens sum.

11 Factus sum insipiens glorians: vos me coëgistis: Ego enim debui à vobis commendari: nihil enim inferior fui supra valde Apostolis, si et nihil sum.

12 Ipsa quidem signa Apostoli effecta sunt in vobis in omni tolerantia, in signis et prodigiis et virtutibus.

13 Quid enim est quod inferiores fuistis supra cæteras ecclesias, si non quod ipse ego non obtorpui vobis? Donate mihi injuriam hanc.

14 Ecce, tertio parate habeo venire ad vos: et non obtorpescam vobis. Non enim quæro vestra, sed vos. Non enim debent nati parentibus thesaurizare, sed parentes natis.

15 Ego autem libentissime impendam, et expendar pro animabus vestris: si et abundantius vos diligens, minus diligar.

16 Esto vero, ego non gravavi vos: sed existens astutus, dolo vos cepi.

17 Num aliquem eorum quos misi ad vos, per ipsum expilavi vos?

18 Παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν· μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι;

19 Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν· τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.

20 Φοβοῦμαι γὰρ, μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε· μή πως ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώσεις, ἀκαταστασίαι·

21 Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ, καὶ πορνείᾳ, καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν.

Κεφ. ιγ'. 13.

1 Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς· "ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα."

2 Προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν, νῦν γράφω τοῖς προημαρτηκόσι, καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι·

3 Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν·

4 Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ· καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.

5 Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε· ἢ

18 Rogavi Titum, et simul misi fratrem. Numquid expilavit vos Titus? non eodem spiritu ambulavimus? non iisdem vestigiis?

19 Rursum putatis quod vobis excusemur? Coram Deo, in Christo loquimur: at omnia, charissimi, propter vestram ædificationem.

20 Timeo enim, ne forte veniens non quales volo inveniam vos, et ego inveniar vobis qualem non vultis: ne forte contentiones, æmulationes, iræ, dissensiones, detractiones, susurrationes, inflationes, seditiones:

21 Ne iterum venientem me humiliet Deus meus apud vos, et lugeam multos ante peccantium, et non pœnitentium super immunditia, et fornicatione, et impudicitia quam gesserunt.

CAPUT XIII.

1 ECCE tertio hoc venio ad vos. In ore duorum testium et trium stabit omne verbum.

2 Prædixi et prædico, ut præsens secundo, et absens nunc scribo ante peccantibus, et cæteris omnibus, quoniam si venero iterum, non parcam.

3 Quandoquidem experimentum quæritis in me loquentis Christi, qui in vos non infirmatur, sed potens est in vobis.

4 Etenim si crucifixus est ex infirmitate, sed vivit ex virtute Dei: Etenim et nos infirmi sumus in illo, sed vivemus cum eo ex virtute Dei in vos

5 Vosmetipsos tentate si estis in fide: vos ipsos probate.

οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν; εἰ μή τι ἀδόκιμοί ἐστε.

6 Ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.

7 Εὔχομαι δὲ πρὸς τὸν Θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν· οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν·

8 Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας.

9 Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε· τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν.

10 Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέμοι ὁ Κύριος εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν.

11 Λοιπὸν, ἀδελφοὶ, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν.

12 Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες.

13 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Κορινθίους δευτέρα ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας, διὰ Τίτου καὶ Λουκᾶ.

An non cognoscitis vosmetipsos, quia Jesus Christus in vobis est? si non quid forte reprobi estis.

6 Spero autem quod cognoscetis, quia nos non sumus reprobi.

7 Opto autem apud Deum non facere vos malum quicquam: non ut nos probati appareamus, sed ut vos pulchrum faciatis, nos autem ut reprobi simus.

8 Non enim possumus aliquid adversus veritatem: sed pro veritate.

9 Gaudemus enim quam nos infirmi sumus, vos autem potentes estis. Hoc vero et optamus, vestram consummationem.

10 Propter hoc hæc absens scribo, ut præsens non severe utar, secundum potestatem quam dedit mihi Dominus in ædificationem, et non in destructionem.

11 Cæterum, fratres, gaudete, perficimini, consolationem habete, idem sapite, pacem habete: et Deus dilectionis et pacis erit cum vobis.

12 Salutate alii alios in osculo sancto: Salutant vos sancti omnes.

13 Gratia Domini Jesu Christi, et charitas Dei, et communicatio sancti Spiritus cum omnibus vobis. Amen.

Ad Corinthios secunda scripta fuit à Philippis Macedoniæ, per Titum et Lucam

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΓΑΛΑΤΑΣ

ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 ΠΑΥ̃ΛΟΣ ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν,

2 Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας.

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

4 Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν·

5 Ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

6 Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον·

7 Ὃ οὐκ ἔστιν ἄλλο· εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

8 Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

9 Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

10 Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

PAULI

Apostoli ad

GALATAS

EPISTOLA.

CAPUT I.

1 PAULUS Apostolus, non ab hominibus, neque per hominem, sed per Jesum Christum, et Deum Patrem qui suscitavit eum à mortuis.

2 Et qui cum me omnes fratres, ecclesiis Galatiæ :

3 Gratia vobis et pax à Deo Patre, et Domino nostro Jesu Christo :

4 Qui dedit semetipsum pro peccatis nostris, ut eriperet nos de præsenti seculo nequam, secundum voluntatem Dei et Patris nostri :

5 Cui gloria in secula seculorum. Amen.

6 Miror quod ita cito transferimini ab eo qui vocavit vos in gratia Christi, in alterum Euangelium :

7 Quod non est aliud, si non quidam sunt turbantes vos, et volentes invertere Euangelium Christi.

8 Sed et si nos aut angelus de cælo euangelizet vobis, præter quod euangelizavimus vobis, anathema sit.

9 Sicut prædiximus, et nunc iterum dico, si quis vobis euangelizaverit præter quod accepistis, anathema sit.

10 Modo enim homines suadeo, an Deum ? An quæro hominibus placere ? Si enim adhuc hominibus placerem, Christi servus non essem.

11 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατ' ἄνθρωπον·

12 Οὐδὲ γὰρ ἐγὼ παρ' ἀνθρώπου παρέλαβον αὐτὸ, οὔτε ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.

13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτὴν,

14 Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων·

15 Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ,

16 Ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι,

17 Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, κ᾽ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.

18 Ἔπειτα μετ' ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον· καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε.

19 Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

20 Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι.

21 Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας.

22 Ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Χριστῷ·

11 Notum facio autem vobis, fratres, Euangelium euangelizatum à me, quia non est secundum hominem.

12 Neque enim ego ab homine accepi illud, neque edoctus sum: sed per revelationem Jesu Christi.

13 Audistis enim meam conversationem aliquando in Judaismo, quoniam supra modum persequebar ecclesiam Dei, et vastabam illam.

14 Et proficiebam in Judaïsmo supra multos coætaneos in genere meo, abundantius æmulator existens paternarum mearum traditionum.

15 Quum autem probavit Deus ille separans me ex utero matris meæ, et vocans per gratiam suam,

16 Revelare Filium suum in me, ut euangelizarem illum in Gentibus, continuo non acquievi carni et sanguini:

17 Neque veni Hierosolyma ad illos ante me Apostolos: sed abii in Arabiam, et iterum reversus sum Damascum.

18 Deinde post annos tres veni Hierosolyma videre Petrum: et mansi apud eum dies quindecim.

19 Alium autem Apostolorum non vidi, si non Jacobum fratrem Domini.

20 Quæ autem scribo vobis, ecce coram Deo, quia non mentior.

21 Deinde veni in regiones Syriæ et Ciliciæ.

22 Eram autem ignotus facie ecclesiis Judææ, quæ in Christo.

23 Μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν ἣν ποτε ἐπόρθει.

24 Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

Κεφ. Β'. 2.

1 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον.

2 Ἀνέβην δὲ κατ' ἀποκάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον.

3 Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι,

4 Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωνται,

5 Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.

6 Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δοκοῦντες, οὐδὲν προσανέθεντο,

7 Ἀλλὰ τοὐναντίον, ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς·

8 Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη·

9 Καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρ-

23 Tantum autem audientes erant, quoniam persequens nos aliquando, nunc euangelizat fidem quam aliquando vastabat.

24 Et glorificabant in me Deum.

CAPUT II.

1 DEINDE post quatuordecim annos iterum ascendi Hierosolyma cum Barnaba, coassumens et Titum.

2 Ascendi autem secundum revelationem, et exposui illis Euangelium quod prædico in Gentibus: seorsum autem in pretio habitis, ne forte in vacuum currerem, aut cucurrissem.

3 Sed neque Titus cum me Græcus existens, coactus est circumcidi.

4 Propter autem subintroductos falsos fratres, qui subintroierunt explorare libertatem nostram quam habemus in Christo Jesu, ut nos in servitutem redigerent.

5 Quibus neque ad horam cessimus subjectioni, ut veritas Euangelii permaneat apud vos.

6 Ab autem visis esse aliquid, quales aliquando fuerint, nihil mihi differt: Faciem Deus hominis non accipit: Mihi enim in pretio habiti, nihil contulerunt.

7 Sed contra videntes quod creditum est mihi Euangelium præputii, sicut Petro circumcisionis.

8 Nam operatus Petro in Apostolatum circumcisionis, operatus est et mihi in Gentes.

9 Et cognoscentes gratiam datam mihi, Jacobus et Cephas et Joannes, illi visi columnæ esse, dextras dederunt mihi et

ἄφεσ κοινωνίας· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν·

10 Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν· ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

11 Ὅτι δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν.

12 Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς.

13 Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.

14 Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων· Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;

15 Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοι,

16 Εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.

17 Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; Μὴ γένοιτο.

18 Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.

19 Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω.

Barnabæ societatis: ut nos in Gentes, ipsi autem in circumcisionem:

10 Tantum autem pauperum ut meminissemus: quod etiam studui id ipsum facere.

11 Quum autem venisset Petrus Antiochiam, in faciem ei restiti: quia notandus erat.

12 Ante enim venire quosdam à Jacobo, cum Gentibus simul edebat: quum autem venissent, subducebat et separabat seipsum, timens eos ex circumcisione.

13 Et coassimulabant ei et cæteri Judæi: ita ut et Barnabas simul abduceretur eorum simulatione.

14 Sed quum vidissem quod non recto pede incederent ad veritatem Euangelii, dixi Petro coram omnibus: Si tu Judæus existens, gentiliter vivis, et non Judaice: quid Gentes cogis Judaizare?

15 Nos natura Judæi, et non ex Gentibus peccatores:

16 Scientes quod non justificatur homo ex operibus legis, si non per fidem Jesu Christi: et nos in Christum Jesum credidimus, ut justificaremur ex fide Christi, et non ex operibus legis: propter quod non justificabitur ex operibus legis omnis caro.

17 Si vero quærentes justificari in Christo, reperiamur et ipsi peccatores, numquid Christus peccati minister? Absit.

18 Si enim quæ destruxi, hæc iterum ædifico, prævaricatorem meipsum constituo.

19 Ego enim per legem legi mortuus sum, ut Deo vivam.

20 Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ, οὐκ ἔτι ἐγὼ, ζῇ δ' ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

21 Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

Κεφ. γ'. 3.

1 Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυρωμένος;

2 Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως;

3 Οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;

4 Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ.

5 Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως;

6 "Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην."

7 Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ.

8 Προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραάμ· "Ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη."

9 Ὥστε οἱ ἐκ πίστεως, εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.

10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί· γέγραπται γάρ· "Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά."

20 Christo concrucifixus sum. Vivo autem, non amplius ego, vivit vero in me Christus. Quod autem nunc vivo in carne, in fide vivo Filii Dei, diligentes me et tradentes semetipsum pro me.

21 Non abjicio gratiam Dei: Si enim per legem justitia, ergo Christus gratis mortuus est.

CAPUT III.

1 O INSENSATI Galatæ, quis vos fascinavit veritati non obsequi, quibus ob oculos Jesus Christus præscriptus est, in vobis crucifixus?

2 Hoc solum volo discere à vobis, ex operibus legis Spiritum accepistis, an ex auditu fidei?

3 Sic insensati estis; incepti spiritu, nunc carne consummemini?

4 Tanta passi estis frustra? si modo et frustra.

5 Ille ergo subministrans vobis Spiritum, et efficiens virtutes in vobis, ex operibus legis, an ex auditu fidei?

6 Sicut Abraham credidit Deo, et reputatum est illi ad justitiam.

7 Cognoscite ergo quia qui ex fide, ii sunt filii Abrahæ.

8 Providens autem Scriptura quia ex fide justificat Gentes Deus, præeuangelizavit Abrahæ: Quia benedicentur in te omnes Gentes.

9 Itaque qui ex fide, benedicentur cum fideli Abraham.

10 Quicumque enim ex operibus legis sunt, sub execratione sunt. Scriptum est enim: Execrabilis omnis qui non permanserit in omnibus scriptis in libro legis, ad faciendum ea.

11 Ὅτε δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον· ὅτι "ὁ δίκαιος ἐκ πίστεως ζήσεται·"

12 Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως· "ἀλλ' ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς."

13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· "Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου·"

14 Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

15 Ἀδελφοί, κατ' ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται·

16 Τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι, καὶ "τῷ σπέρματι αὐτοῦ," οὐ λέγει· Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν· ἀλλ' ὡς ἐφ' ἑνός. Καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός.

17 Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν, ὁ μετ' ἔτη τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν·

18 Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκ ἔτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός.

19 Τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου·

20 Ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν· ὁ δὲ Θεὸς εἷς ἐστιν.

21 Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; Μὴ γένοι-

11 Quoniam autem in lege nemo justificatur apud Deum manifestum: quia justus ex fide vivet.

12 At lex non est ex fide: sed faciens ea homo, vivet in illis.

13 Christus nos redemit de execratione legis, factus pro nobis execratio, scriptum est enim: Execrabilis omnis suspensus in ligno.

14 Ut in Gentes benedictio Abrahæ fieret in Christo Jesu, ut pollicitationem Spiritus accipiamus per fidem.

15 Fratres, secundum hominem dico. Tamen homines authenticatum testamentum nemo abrogat, aut superordinat.

16 At Abrahæ dictæ sunt promissiones, et semini ejus. Non dicit: Seminibus, quasi in multis, sed quasi in uno: Et semini, qui est Christus.

17 Hoc autem dico, testamentum ante authenticatum à Deo in Christum, quæ post annos quadringentos et trigenta facta lex, non irritat, ad abolendam promissionem.

18 Si enim ex lege hæreditas, non amplius ex promissione: At Abrahæ per repromissionem gratificatus est Deus.

19 Quid igitur lex? transgressionum causa apposita est, usque quo veniret semen cui promissum erat, ordinata per angelos in manu mediatoris.

20 At mediator, unius non est: at Deus unus est.

21 Ergo lex adversus promissa Dei? Absit: Si enim

σο· εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη·

22 Ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑφ' ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσι.

23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι.

24 Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν·

25 Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν·

26 Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ·

27 Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε·

28 Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ.

29 Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

Κεφ. δ'. 4.

1 Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν·

2 Ἀλλὰ ὑπ' ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός.

3 Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι·

4 Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον,

5 Ἵνα τοὺς ὑπὸ νόμον ἐξαγο-

data esset lex potens vivificare, vere ex lege esset justitia.

22 Sed conclusit scriptura omnia sub peccato, ut promissio ex fide Jesu Christi daretur credentibus.

23 Ante autem venire fidem sub lege custodiebamur, conclusi in futuram fidem revelari.

24 Itaque lex pædagogus noster fuit in Christum, ut ex fide justificaremur.

25 Veniente autem fide, non amplius sub pædagogo sumus.

26 Omnes enim filii Dei estis per fidem in Christo Jesu.

27 Quicumque enim in Christum baptizati estis, Christum induistis.

28 Non est Judæus neque Græcus: non est servus, neque liber: non est masculus et fœmina: Omnes enim vos unus estis in Christo Jesu.

29 Si autem Christi, ergo Abrahæ semen estis, et secundum promissionem hæredes.

CAPUT IV.

1 DICO autem, ad quantum tempus hæres infans est, nihil differt servo, dominus omnium existens:

2 Sed sub tutores est et curatores, usque præfinitionem Patris.

3 Ita et nos, quum essemus infantes, sub elementis mundi eramus servituti addicti

4 Quum vero venit plenitudo temporis, emisit Deus Filium suum, factum ex muliere, factum sub lege:

5 Ut eos qui sub legem redi-

ράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

6 Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζον, Ἀββᾶ, ὁ πατήρ.

7 Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

8 Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς·

9 Νῦν δὲ, γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε;

10 Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς.

11 Φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.

12 Γίνεσθε ὡς ἐγὼ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοὶ, δέομαι ὑμῶν· οὐδέν με ἠδικήσατε·

13 Οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον,

14 Καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν.

15 Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι.

16 Ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν;

17 Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.

18 Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς.

meret, ut adoptionem filiorum reciperemus.

6 Quoniam autem estis filii, misit Deus Spiritum Filii sui in corda vestra, clamantem, Abba, Pater.

7 Itaque non amplius est servus, sed filius: Si vero filius, et hæres Dei per Christum.

8 Sed tunc quidem ignorantes Deum, serviebatis non natura existentibus diis.

9 Nunc autem cognoscentes Deum, magis autem cogniti à Deo, quomodo convertimini iterum ad infirma et egena elementa, quibus denuo desuper servire vultis?

10 Dies observatis, et menses, et tempora, et annos.

11 Timeo vos, ne forte frustra fatigatus fuerim erga vos.

12 Estote sicut ego, quia et ego sicut vos: fratres, obsecro vos; nihil me injuria affecistis.

13 Scitis autem quia per infirmitatem carnis euangelizavi vobis prius:

14 Et experimentum mei in carne mea non pro nihilo habuistis, neque respuistis: sed sicut angelum Dei excepistis me, sicut Christum Jesum.

15 Quæ igitur erat beatitudo vestra? Testor enim vobis quia, si possibile, oculos vestros effodientes dedissetis mihi.

16 Itaque inimicus vobis factus sum verum dicens vobis?

17 Æmulantur vos non bene: sed excludere nos volunt, ut illos æmulemini.

18 Bonum autem æmulari in bono semper: et non tantum in adesse me apud vos.

19 Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν·

20 Ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου· ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

21 Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;

22 Γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας·

23 Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας.

24 Ἅτινά ἐστιν ἀλληγορούμενα· αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ·

25 Τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλὴμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς·

26 Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν·

27 Γέγραπται γάρ· "Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα."

28 Ἡμεῖς δὲ, ἀδελφοὶ, κατὰ Ἰσαὰκ, ἐπαγγελίας τέκνα ἐσμέν·

29 Ἀλλ' ὥσπερ τότε, ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα· οὕτω καὶ νῦν.

30 Ἀλλὰ τί λέγει ἡ γραφή; "Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας."

19 Nati mei, quos iterum parturio, usque quo formetur Christus in vobis.

20 Vellem autem adesse ad vos modo, et mutare vocem meam: quoniam hæsito in vobis.

21 Dicite mihi qui sub legem volentes esse, legem non auditis?

22 Scriptum est enim quoniam Abraham duos filios habuit: unum de ancilla, et unum de libera.

23 Et qui quidem de ancilla, secundum carnem natus est: qui autem de libera, per repromissionem.

24 Quæ sunt allegorizata: Hæc enim sunt duo testamenta: Unum quidem à monte Sina, in servitutem generans, quæ est Agar.

25 Nam Agar, Sina mons est in Arabia: quadrat autem nunc Hierusalem, servit vero cum filiis suis.

26 Illa autem sublimis Hierusalem, libera est: quæ est mater omnium nostrum.

27 Scriptum est enim: Lætare sterilis non pariens: erumpe et clama, non parturiens: quia multi nati desertæ magis quam habentis virum.

28 Nos autem, fratres, secundum Isaac, promissionis nati sumus.

29 Sed quomodo tunc is secundum carnem genitus, persequebatur eum qui secundum spiritum: ita et nunc.

30 Sed quid dicit Scriptura? Ejice ancillam et filium ejus: non enim hæres erit filius ancillæ cum filio liberæ.

31 Ἄρα, ἀδελφοί, ἐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

Κεφ. ε'. 5.

1 Τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

2 Ἰδὲ, ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

3 Μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι.

4 Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε· τῆς χάριτος ἐξεπέσατε.

5 Ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα·

6 Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.

7 Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἀνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι;

8 Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς.

9 Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.

10 Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ.

11 Ἐγὼ δὲ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ.

12 Ὄφελον καὶ ἀποκόψοντα οἱ ἀναστατοῦντες ὑμᾶς.

13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθεριαν εἰς ἀφορμὴν τῇ σαρκὶ,

31 Nempe, fratres, non sumus ancillæ nati, sed liberæ.

CAPUT V.

1 LIBERTATE igitur qua Christus nos liberavit, state, ne iterum jugo servitutis implicamini.

2 Ecce ego Paulus dico vobis, quoniam si circumcidamini, Christus vobis nihil proderit.

3 Testificor autem rursus omni homini circumcidenti se, quoniam debitor est totam legem facere.

4 Aboliti estis à Christo, quicumque in lege justificamini: gratiâ excidistis.

5 Nos enim spiritu ex fide spem justitiæ expectamus.

6 In enim Christo Jesu neque circumcisio aliquid valet, neque præputium: sed fides per charitatem efficax.

7 Currebatis pulchre, quis vos intercidit veritati non suaderi?

8 Persuasio non ex vocante vos.

9 Modicum fermentum totam massam fermentat.

10 Ego confido in vos in Domino, quod nihil aliud sapietis: at conturbans vos portabit judicium, quicumque fuerit.

11 Ego autem, fratres, si circumcisionem adhuc prædico, quid adhuc persequutionem patior? Nempe abolitum est scandalum crucis.

12 Utinam et abscindantur inquietantes vos.

13 Vos enim in libertate vocati estis, fratres: tantum ne libertatem in occasionem carni

ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις·

14 Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

15 Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε.

16 Λέγω δέ· πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε·

17 Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε.

18 Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

19 Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια,

20 Εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις,

21 Φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

22 Ὁ δὲ καρπὸς τοῦ πνεύματος, ἔστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια·

23 Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος.

24 Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

25 Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν.

26 Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

sed per charitatem servite alii aliis.

14 Nam omnis lex in uno sermone impletur, in illo: Diliges proximum tuum sicut te ipsum.

15 Si vero alii alios mordetis et comeditis, videte ne ab invicem consumamini.

16 Dico autem: Spiritu ambulate, et concupiscentiam carnis non perficiatis.

17 Nam caro concupiscit adversus spiritum: at spiritus adversus carnem. hæc autem opponuntur alia aliis, ut non quæcumque velitis, illa faciatis.

18 Si vero spiritu ducimini, non estis ab lege.

19 Manifesta autem sunt opera carnis: quæ sunt, adulterium, fornicatio, impuritas, protervia,

20 Idololatria, veneficium, inimicitiæ, contentiones, æmulationes, iræ, rixæ, dissensiones, sectæ,

21 Invidiæ, homicidia, ebrietates, comessationes, et similia his, quæ dico vobis, sicut et prædixi, quoniam talia agentes regnum Dei non hæreditabunt.

22 At fructus Spiritus, est charitas, gaudium, pax, longanimitas, benignitas, bonitas, fides, mansuetudo, continentia:

23 Adversus hujusmodi non est lex.

24 Qui autem Christi, carnem crucifixerunt cum affectibus, et concupiscentiis.

25 Si vivimus spiritu, spiritu et ambulemus.

26 Non efficiamur inanis gloriæ cupidi, alii alios provocantes, alii aliis invidentes.

Κεφ. ϛ'. 6.

1 Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραΰτητος· σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς.

2 Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

3 Εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὢν, ἑαυτὸν φρεναπατᾷ.

4 Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον·

5 Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

6 Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι, ἐν πᾶσιν ἀγαθοῖς.

7 Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει·

8 Ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.

9 Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν· καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι.

10 Ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί.

12 Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται.

CAPUT VI.

1 FRATRES, si et præoccupatus fuerit homo in aliquo delicto, vos spirituales instruite hujusmodi in spiritu lenitatis : considerans teipsum, ne et tu tenteris.

2 Alii aliorum onera portate, et sic adimplebitis legem Christi.

3 Si enim videtur quis esse aliquid, nihil existens, seipsum animo fallit.

4 At opus suum probet unusquisque : et tunc in seipsum tantum gloriationem habebit, et non in alterum.

5 Unusquisque enim proprium onus portabit.

6 Communicet autem institutus verbum instituenti in omnibus bonis.

7 Ne errate : Deus non irridetur : quod enim seminaverit homo, hoc et metet.

8 Quoniam seminans in carnem suam, de carne metet corruptionem : at seminans in spiritum, de spiritu metet vitam æternam.

9 At pulchrum facientes non segnescamus : tempore enim proprio metemus, non elanguentes.

10 Nempe igitur dum tempus habemus, operemur bonum ad omnes, maxime autem ad domesticos fidei.

11 Videte quam longis vobis literis scripsi mea manu.

12 Quicumque volunt bona facie esse in carne, hi cogunt vos circumcidi, tantum ut ne cruce Christi persequutionem patiantur.

13 Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν· ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται·

14 Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.

15 Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις·

16 Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

17 Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.

Πρὸς Γαλάτας ἐγράφη ἀπὸ Ῥώμης.

13 Neque enim circumcisi ipsi legem custodiunt: sed volunt vos circumcidi, ut in vestra carne glorientur.

14 Mihi autem absit gloriari, si non in cruce Domini nostri Jesu Christi, per quem mihi mundus crucifixus est, et ego mundo.

15 In enim Christo Jesu neque circumcisio aliquid valet, neque præputium, sed nova creatio.

16 Et quicumque regula hac ambulaverint, pax super illos, et misericordia, et super Israël Dei.

17 Cæterum, molestias mihi nemo exhibeat: Ego enim stigmata Domini Jesu in corpore meo porto.

18 Gratia Domini nostri Jesu Christi cum spiritu vestro, fratres. Amen.

Ad Galatas est scripta à Roma.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΕΦΕΣΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 ΠΑΥ̃ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

PAULI

Apostoli ad

EPHESIOS

EPISTOLA.

CAPUT I.

1 PAULUS Apostolus Jesu Christi per voluntatem Dei, sanctis existentibus in Epheso, et fidelibus in Christo Jesu.

2 Gratia vobis et pax à Deo Patre nostro, et Domino Jesu Christo.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις Χριστῷ·

4 Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ.

5 Προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ,

6 Εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ·

7 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ,

8 Ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει·

9 Γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ,

10 Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τά τε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν αὐτῷ·

11 Ἐν ᾧ καὶ ἐκληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος, κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ,

12 Εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ·

13 Ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν· ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ,

14 Ὅς ἐστιν ἀρραβὼν τῆς κλη-

3 Benedictus Deus et Pater Domini nostri Jesu Christi, benedicens nos in omni benedictione spirituali in cælestibus in Christo :

4 Sicut elegit nos in ipso ante constitutionem mundi, esse nos sanctos et inculpatos in conspectu ejus in charitate.

5 Præfiniens nos in filiorum adoptionem per Jesum Christum in sese, secundum bonum affectum voluntatis suæ,

6 In laudem gloriæ gratiæ suæ, in qua gratificavit nos in dilecto :

7 In quo habemus redemptionem per sanguinem ejus, remissionem peccatorum, secundum divitias gratiæ ejus :

8 Quæ abundavit in nos in omni sapientia et prudentia :

9 Notum faciens nobis mysterium voluntatis suæ secundum beneplacitum suum, quod proposuit in se :

10 In dispensatione plenitudinis temporum, instaurare omnia in Christo, quæque in cælis, et quæ in terra :

11 In ipso, in quo etiam electi sumus, prædestinati secundum propositum omnia efficientis secundum consilium voluntatis suæ :

12 Ad esse nos in laudem gloriæ ejus, ante sperantes in Christo.

13 In quo et vos, audientes verbum veritatis, Euangelium salutis vestræ : in quo et credentes signati estis Spiritu promissionis sancto :

14 Qui est arrabo hæredita

ρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

15 Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,

16 Οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,

17 Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ,

18 Πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις·

19 Καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ,

20 Ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν· καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις,

21 Ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι·

22 "Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ·" καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ,

23 Ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ πάντα ἐν πᾶσι πληρουμένου.

tis nostræ, in redemptionem assertionis, in laudem gloriæ ipsius.

15 Propter hoc et ego audiens illam circa vos fidem in Domino Jesu, et dilectionem in omnes sanctos,

16 Non cesso gratias agens pro vobis, memoriam vestri faciens in orationibus meis :

17 Ut Deus domini nostri Jesu Christi, Pater gloriæ, det vobis spiritum sapientiæ et revelationis, in agnitione ejus :

18 Illuminatos oculos mentis vestræ ad sciendum vos quæ est spes vocationis ejus, et quæ divitiæ gloriæ hæreditatis ejus in sanctis :

19 Et quæ excellens magnitudo virtutis ejus in nos credentes secundum operationem potentiæ virtutis ejus.

20 Quam operatus est in Christo, suscitans illum ex mortuis : et collocavit in dextra sua in cælestibus,

21 Supra omnem principatum et potestatem et virtutem, et dominationem, et omne nomen nominatum non solum in seculo hoc, sed etiam in futuro.

22 Et omnia subjecit sub pedes ejus : et ipsum dedit caput super omnia ecclesiæ,

23 Quæ est corpus ipsius, plenitudo omnia in omnibus adimplentis.

Κεφ. Β'. 2.

1 Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις,

2 Ἐν αἷς ποτὲ περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου,

CAPUT II.

1 Et vos existentes mortuos delictis et peccatis.

2 In quibus aliquando ambulastis secundum seculum mundi

κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας,

3 Ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἤμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί·

4 Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς,

5 Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ· χάριτί ἐστε σεσωσμένοι.

6 Καὶ συνήγειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ,

7 Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ' ὑμᾶς ἐν Χριστῷ Ἰησοῦ·

8 Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον·

9 Οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

10 Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

11 Διὸ μνημονεύετε ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου·

12 Ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ·

13 Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ

hujus, secundum principem potestatis aëris, spiritus nunc efficientis in filiis insuasibilitatis.

3 In quibus et nos omnes conversati sumus aliquando in desideriis carnis nostræ, facientes voluntates carnis et cogitationum: et eramus nati natura iræ, sicut et cæteri.

4 At Deus dives existens in misericordia, propter multam charitatem suam quam dilexit nos.

5 Et existentes nos mortuos offensis, convivificavit Christo; gratia estis servati.

6 Et conresuscitavit, et consedere fecit in supercælestibus in Christo Jesu:

7 Ut ostenderet in seculis supervenientibus eminentes divitias gratiæ suæ, in bonitate super nos in Christo Jesu.

8 Nam gratia estis servati per fidem: et hoc non ex vobis: Dei donum:

9 Non ex operibus, ut ne quis glorietur.

10 Ipsius enim sumus factura, creati in Christo Jesu in operibus bonis, quæ præparavit Deus ut in illis ambulemus.

11 Ideo mementote quod vos aliquando Gentes in carne, dicti præputium à dicta circumcisione in carne manu facta:

12 Quia eratis in tempore illo sine Christo, alienati à republica Israël, et hospites testamentorum, promissionis spem non habentes, et athei in mundo.

13 Nunc autem in Christo Jesu vos aliquando existentes longe, prope facti estis in sanguine Christi.

14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας,

15 Τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην,

16 Καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ·

17 Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς·

18 Ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα.

19 Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ,

20 Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ,

21 Ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ,

22 Ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι.

Κεφ. γ'. 3.

1 Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν,

2 Εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς,

3 Ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ·

4 Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ,

14 Ipse enim est pax nostra, faciens utraque unum, et medium parietem maceriæ solvens.

15 Inimicitiam in carne sua, Legem mandatorum in dogmatibus abolens; ut duos condat in semetipso in unum novum hominem, faciens pacem:

16 Et reconciliet ambos in uno corpore Deo per crucem, interficiens inimicitiam in ipso.

17 Et veniens euangelizavit pacem vobis qui longe, et iis qui prope.

18 Quoniam per ipsum habemus accessum ambo in uno Spiritu ad Patrem.

19 Nempe ergo non jam estis hospites et advenæ, sed cives sanctorum et domestici Dei;

20 Superædificati super fundamento Apostolorum et Prophetarum, existente summo angulari ipso Jesu Christo:

21 In quo omnis ædificatio coagmentata crescit in templum sanctum in Domino:

22 In quo et vos coædificamini in habitaculum Dei in spiritu.

CAPUT III.

1 HUJUS gratia ego Paulus vinctus Christi Jesu pro vobis:

2 Siquidem audistis dispensationem gratiæ Dei datæ mihi in vos.

3 Quoniam secundum revelationem notificavit mihi mysterium, sicut prius scripsi in brevi:

4 Ad quod potestis legentes intelligere prudentiam meam in mysterio Christi:

5 Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι,

6 Εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν τῷ Χριστῷ, διὰ τοῦ εὐαγγελίου,

7 Οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.

8 Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ,

9 Καὶ φωτίσαι πάντας τίς ἡ κοινωνία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ,

10 Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ,

11 Κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν,

12 Ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει, διὰ τῆς πίστεως αὐτοῦ·

13 Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν.

14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

15 Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται,

16 Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον,

5 Quod in aliis generationibus non notum factum est filiis hominum, sicuti nunc revelatum est sanctis Apostolis ejus et Prophetis in Spiritu sancto :

6 Esse Gentes cohæredes et concorporales, et comparticipes promissionis ejus in Christo, per Euangelium :

7 Cujus factus sum minister secundum donum gratiæ Dei datum mihi secundum operationem virtutis ejus.

8 Mihi minimo omnium sanctorum data est gratia hæc, in Gentibus euangelizare investigabiles divitias Christi,

9 Et illuminare omnes, quæ communicatio mysterii absconditi à seculis in Deo, omnia condente per Jesum Christum :

10 Ut innotescat nunc principatibus et potestatibus in cælestibus, per ecclesiam, multiformis sapientia Dei :

11 Secundum propositum seculorum, quod fecit in Christo Jesu Domino nostro.

12 In quo habemus fiduciam et accessum in confidentia, per fidem ejus.

13 Ideo peto non segnescere in tribulationibus meis pro vobis, quæ est gloria vestra.

14 Hujus gratia flecto genua mea ad Patrem Domini nostri Jesu Christi,

15 Ex quo omnis paternitas in cælis et in terra nominatur :

16 Ut det vobis secundum divitias gloriæ suæ, virtute corroborari per Spiritum suum in interiorem hominem.

17 Κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν,

18 Ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι· ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος,

19 Γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ· ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ.

20 Τῷ δὲ δύναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν,

21 Αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν.

17 Habitare Christum per fidem in cordibus vestris:

18 In charitate radicati et fundati: ut possitis comprehendere cum omnibus sanctis, quæ latitudo et longitudo, et profunditas et sublimitas.

19 Cognoscereque excellentem cognitionis charitatem Christi: ut impleamini in omnem plenitudinem Dei.

20 At potenti super omnia facere super exabundanti, quæ petimus aut mente concipimus, secundum virtutem efficientem in nobis,

21 Ipsi gloria in ecclesia in Christo Jesu, in omnes generationes seculi seculorum. Amen.

Κεφ. δ'. 4.

1 Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε,

2 Μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ,

3 Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης.

4 Ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

5 Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα,

6 Εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν.

7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

8 Διὸ λέγει· "Ἀναβὰς εἰς ὕψος,

CAPUT IV.

1 OBSECRO itaque vos ego vinctus in Domino, digne ambulare vocatione qua vocati estis,

2 Cum omni modestia et mansuetudine, cum lenitate animi, sustinentes alii alios in charitate:

3 Studentes servare unitatem spiritus in vinculo pacis.

4 Unum corpus et unus spiritus, sicut et vocati estis in una spe vocationis vestræ.

5 Unus Dominus, una fides, unum baptisma:

6 Unus Deus et Pater omnium, qui super omnes, et per omnia, et in omnibus vobis.

7 Uni autem cuique nostrum data est gratia secundum mensuram donationis Christi.

8 Ideo dicit: Ascendens in

ἠχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις."

9 Τὸ δὲ, Ἀνέβη, τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς;

10 Ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.

11 Καὶ αὐτὸς ἔδωκε, τοὺς μὲν, ἀποστόλους· τοὺς δὲ, προφήτας· τοὺς δὲ, εὐαγγελιστάς· τοὺς δὲ ποιμένας καὶ διδασκάλους,

12 Πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ·

13 Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ,

14 Ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης·

15 Ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ, ὁ Χριστός·

16 Ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται, εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

17 Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν,

18 Ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν,

altum, captivam duxit captivitatem, et dedit dona hominibus.

9 Quod autem ascendit, quid est si non quia et descendit primum in inferiores partes terræ?

10 Ille descendens, ipse est et ascendens supra omnes cælos, ut impleret omnia.

11 Et ipse dedit hos quidem Apostolos, hos autem Prophetas, hos vero Euangelistas, hos autem pastores et doctores.

12 Ad coagmentationem sanctorum, in opus ministerii, in ædificationem corporis Christi:

13 Donec occurramus omnes in unitatem fidei,. et agnitionis Filii Dei, in virum perfectum, in mensuram staturæ plenitudinis Christi.

14 Ut non amplius simus pueri fluctuantes, et circumlati omni vento doctrinæ, in alea hominum, in astutia ad insidias imposturæ.

15 Veritatem facientes autem in charitate, crescamus in ipsum omnia, qui est caput, Christus.

16 Ex quo totum corpus connexum et compactum per omnem commissuram suppeditationis, secundum operationem in mensura uniuscujusque membri augmentum corporis facit, in ædificationem sui in charitate.

17 Hoc igitur dico et testificor in Domino, non amplius vos ambulare, sicut et reliquæ Gentes ambulant, in vanitate mentis suæ,

18 Obtenebrati cogitatione, existentes alienati à vita Dei, per ignorantiam existentem in illis, propter obdurationem cordis ipsorum:

19 Οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

20 Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν,

21 Εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ,

22 Ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν, τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης·

23 Ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν,

24 Καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

25 Διὰ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη.

26 Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν·

27 Μήτε διδόλε τόπον τῷ διαβόλῳ.

28 Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.

29 Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω· ἀλλ' εἴτις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι.

30 Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.

31 Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ·

32 Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

19 Qui dedolentes semetipsos tradiderunt impudicitiæ, in operationem immunditiæ omnis in excessu.

20 Vos autem non ita didicistis Christum.

21 Si tamen illum audistis, et in ipso edocti estis, sicut est veritas in Jesu :

22 Deponere vos secundum pristinam conversationem veterem hominem corruptum secundum desideria erroris :

23 Renovari autem spiritu mentis vestræ,

24 Et induere novum hominem, secundum Deum creatum in justitia et sanctitate veritatis.

25 Ideo deponentes mendacium, loquimini veritatem, unusquisque cum proximo suo : quoniam sumus invicem membra.

26 Irascimini, et ne peccate : Sol non occidat super iracundia vestra .

27 Neque date locum diabolo.

28 Furatus non amplius furetur, magis autem laboret, operans bonum manibus, ut habeat impertiri opus habenti.

29 Omnis sermo putris ex ore vestro non egrediatur : sed si quis bonus ad ædificationem usus, ut det gratiam audientibus.

30 Et ne contristate Spiritum sanctum Dei, in quo signati estis in diem redemptionis.

31 Omnis amaritudo, et excandescentia, et ira, et clamor, et blasphemia tollatur à vobis, cum omni malitia.

32 Estote autem alii in alios benigni, misericordes, condonantes vobis ipsis, sicut et Deus in Christo condonavit vobis.

Κεφ. έ. 5.

1 Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά,

2 Καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ, εἰς ὀσμὴν εὐωδίας.

3 Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις.

4 Καὶ αἰσχρότης, καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία·

5 Τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ.

6 Μηδεὶς ὑμᾶς ἀπαλάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

7 Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν.

8 Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε.

9 Ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ·

10 Δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ·

11 Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε·

12 Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν.

13 Τὰ δὲ πάντα ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι.

14 Διὸ λέγει· "Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός."

CAPUT V

1 ESTOTE ergo imitatores Dei, sicut nati dilecti :

2 Et ambulate in dilectione, sicut et Christus dilexit nos, et tradidit semetipsum pro nobis oblationem et hostiam Deo, in odorem suavitatis.

3 Fornicatio autem et omnis immunditia aut avaritia nec nominetur in vobis, sicut decet sanctos.

4 Et obscœnitas, et stultiloquium, aut scurrilitas, non convenientia, sed magis gratiarum actio.

5 Hoc enim estis cognoscentes, quod omnis fornicator, aut immundus, aut avarus, qui est idololatra, non habet hæreditatem in regno Christi et Dei.

6 Nemo vos decipiat inanibus verbis : propter hæc enim venit ira Dei in filios diffidentiæ.

7 Ne ergo efficiamini participes eorum.

8 Eratis enim aliquando tenebræ, nunc autem lux in Domino : Ut nati lucis ambulate.

9 Nam fructus Spiritus in omni bonitate et justitia et veritate :

10 Probantes quid sit beneplacitum Domino.

11 Et ne communicate operibus infructuosis tenebrarum, magis autem et redarguite.

12 Nam occulte facta ab ipsis, turpe est et dicere.

13 At omnia arguta, à lumine manifestantur ; omne enim manifestatum, lumen est :

14 Ideo dicit : Surge dormiens, et exurge à mortuis, et illuminabit te Christus.

15 Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί,

16 Ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι.

17 Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.

18 Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι,

19 Λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς· ἄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ,

20 Εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ πατρί,

21 Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ.

22 Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ,

23 Ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος·

24 Ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.

25 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς,

26 Ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι,

27 Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, τὴν ἐκκλησίαν μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος.

28 Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ·

15 Videte itaque quomodo accurate ambuletis: non quasi insipientes, sed ut sapientes:

16 Redimentes tempus, quoniam dies mali sunt.

17 Propter hoc ne fiatis imprudentes, sed intelligentes quæ voluntas Domini.

18 Et ne inebriemini vino, in quo est luxuria, sed implemini in Spiritu:

19 Loquentes vobismetipsis psalmis et hymnis, et canticis spiritualibus: cantantes et psallentes in corde vestro Domino:

20 Gratias agentes semper pro omnibus, in nomine Domini nostri Jesu Christi, Deo et Patri:

21 Subjecti alii aliis in timore Dei.

22 Mulieres propriis viris subditæ estote, sicut Domino:

23 Quoniam vir est caput mulieris, sicut et Christus caput ecclesiæ: Et ipse est servator corporis.

24 Sed sicut ecclesia subjecta est Christo, ita et mulieres propriis viris in omni.

25 Viri diligite uxores vestras, sicut et Christus dilexit ecclesiam, et seipsum tradidit pro ea.

26 Ut illam sanctificaret, mundans lavacro aquæ in verbo:

27 Ut exhiberet ipsam sibi ipsi gloriosam, ecclesiam non habentem maculam, aut rugam, aut aliquid hujusmodi, sed ut sit sancta et immaculata.

28 Ita debent viri diligere suas uxores, ut sua corpora. Diligens suam uxorem, seipsum diligit.

29 Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Κύριος τὴν ἐκκλησίαν,

30 Ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.

31 "Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν."

32 Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν.

33 Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.

Κεφ. ϛ'. 6.

1 ΤΑ' τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον·

2 "Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα·" ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ·

3 "Ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς."

4 Καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

5 Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ,

6 Μὴ κατ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς,

7 Μετ' εὐνοίας δουλεύοντες τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις·

8 Εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος

29 Nemo enim unquam suam carnem odit, sed nutrit et fovet eam, sicut et Dominus ecclesiam :

30 Quia membra sumus corporis ejus, de carne ejus, et de ossibus ejus.

31 Propter hoc relinquet homo patrem suum et matrem, et adhærebit ad uxorem suam, et erunt hi duo in carnem unam.

32 Sacramentum hoc magnum est : ego autem dico in Christum, et in ecclesiam.

33 Veruntamen et vos singuli, unusquisque suam uxorem sic diligat sicut seipsum : at uxor ut timeat virum.

CAPUT VI.

1 NATI obedite, parentibus vestris in Domino : hoc enim est justum.

2 Honora patrem tuum et matrem : Quod est primum mandatum in promissione :

3 Ut bene tibi fiat, et eris longævus super terram.

4 Et patres ne ad iram provocate natos vestros, sed educate illos in disciplina et correptione Domini.

5 Servi obedite dominis secundum carnem, cum timore et tremore, in simplicitate cordis vestri, sicut Christo :

6 Non secundum ocularem servitutem, quasi hominibus placentes, sed ut servi Christi, facientes voluntatem Dei ex animo,

7 Cum benevolentia servientes Domino, et non hominibus :

8 Scientes quoniam quod

ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

9 Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς, ἀνιέντες τὴν ἀπειλήν· εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ.

10 Τὸ λοιπὸν, ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.

11 Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου·

12 Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

13 Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι.

14 Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης,

15 Καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης,

16 Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι·

17 Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ,

18 Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ, ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων,

cunque unusquisque fecerit bonum, hoc reportabit à Domino, sive servus, sive liber.

9 Et domini eadem facite ad eos, remittentes minas: scientes quia et vestrum ipsorum Dominus est in cælis, et personarum acceptio non est apud eum.

10 Reliquum, fratres mei, confortamini in Domino, et in potentia virtutis ejus.

11 Induite armaturam Dei, ad posse vos stare adversus insidias diaboli.

12 Quoniam non est nobis colluctatio adversus sanguinem et carnem, sed adversus principatus, adversus potestates, adversus mundi potentes tenebrarum seculi hujus, contra spiritualia nequitiæ in cælestibus.

13 Propter hoc accipite universam armaturam Dei, ut possitis resistere in die malo, et omnia conficientes stare.

14 State ergo succincti lumbos vestros in veritate, et induti loricam justitiæ,

15 Et calceati pedes in præparatione Euangelii pacis:

16 In omnibus assumentes scutum fidei, in quo poteritis omnia tela illius nequam ignita extinguere.

17 Et galeam salutaris assumite, et gladium spiritus, quod est verbum Dei:

18 Per omnem orationem et obsecrationem orantes in omni tempore in spiritu, et in ipsum hoc vigilantes in omni instantia et obsecratione pro omnibus sanctis.

19 Καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ, γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,

20 Ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.

21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος ἐν Κυρίῳ,

22 Ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

23 Εἰρήνη τοῖς ἀδελφοῖς, καὶ ἀγάπη μετὰ πίστεως, ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

24 Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. Ἀμήν.

Πρὸς Ἐφεσίους ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ.

19 Et pro me, ut mihi detur sermo in apertione oris mei in fiducia, notum facere mysterium Euangelii,

20 Pro quo legatione fungor in catena, ut in ipso libere loquar, ut oportet me loqui.

21 Ut autem sciatis et vos quæ circa me, quid agam, omnia vobis nota faciet Tychicus dilectus frater et fidelis minister in Domino :

22 Quem misi ad vos in illud ipsum, ut cognoscatis quæ circa nos, et consoletur corda vestra.

23 Pax fratribus et charitas cum fide à Deo Patre et Domino Jesu Christo.

24 Gratia cum omnibus diligentibus Dominum nostrum Jesum Christum in incorruptione Amen.

Ad Ephesios scripta est à Roma per Tychicum.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 ΠΑΥΛΟΣ καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ, τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις·

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν,

PAULI

Apostoli ad

PHILIPPENSES

EPISTOLA.

CAPUT I.

1 PAULUS et Timotheus servi Jesu Christi, omnibus sanctis in Christo Jesu, existentibus Philippis cum episcopis et diaconis :

2 Gratia vobis et pax à Deo Patre nostro et Domino Jesu Christo.

3 Gratias ago Deo meo in omni memoria vestri,

4 Πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος,

5 Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν,

6 Πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ,

7 Καθὼς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ τῇ ἀπολογίᾳ, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.

8 Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ·

9 Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει,

10 Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ,

11 Πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν,

13 Ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι,

14 Καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν.

15 Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν· τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν.

16 Οἱ μὲν ἐξ ἐριθείας τὸν Χρισ-

4 Semper in omni precatione mea pro omnibus vobis cum gaudio deprecationem faciens,

5 Super communicatione vestra in Euangelium, à prima die usque nunc :

6 Confidens ipsum hoc, quia ille incipiens in vobis opus bonum, perficiet usque in diem Christi Jesu .

7 Sicut est justum mihi hoc sentire pro omnibus vobis, propter habere me in corde vos, in et vinculis meis, et in defensione, et confirmatione Euangelii, communicatores meæ gratiæ omnes vos existentes.

8 Testis enim mihi est Deus, quomodo cupiam omnes vos in visceribus Jesu Christi.

9 Et hoc oro, ut charitas vestra amplus magis et magis abundet in scientia et omni sensu :

10 Ad probandum vos præstantia, ut sitis sinceri et inoffensi in diem Christi ;

11 Repleti fructibus justitiæ per Jesum Christum, in gloriam et laudem Dei.

12 Scire autem vos volo, fratres, quia quæ circa me magis ad profectum Euangelii venerunt :

13 Itaque vincula mea manifesta in Christo fieri in toto prætorio, et cæteris omnibus :

14 Et plures fratrum in Domino, fretos vinculis meis, abundantius audere impavide Dei verbum loqui.

15 Quidam quidem et propter invidiam et contentionem : quidam autem et propter bonam voluntatem Christum prædicant

16 Hi quidem ex contentione

τὸν καταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου·

17 Οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.

18 Τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι·

19 Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ,

20 Κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυθήσομαι, ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου·

21 Ἐμοὶ γὰρ τὸ ζῆν, Χριστός· καὶ τὸ ἀποθανεῖν, κέρδος.

22 Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γνωρίζω.

23 Συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· πολλῷ μᾶλλον κρεῖσσον·

24 Τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς.

25 Καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν, εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως,

26 Ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου,

28 Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ

Christum annuntiant non sincere, existimantes afflictionem afferre vinculis meis:

17 Illi vero, ex charitate, scientes quoniam in defensionem Euangelii positus sum.

18 Quid enim? Attamen omni modo, sive specie, sive veritate, Christus annuntiatur: et in hoc gaudeo, sed et gaudebo.

19 Scio enim quia hoc mihi proveniet ad salutem per vestram orationem, et subministrationem Spiritus Jesu Christi:

20 Secundum expectationem et spem meam, quia in nullo pudefiam, sed in omni fiducia, sicut semper, et nunc magnificabitur Christus in corpore meo, sive per vitam, sive per mortem.

21 Mihi enim vivere, Christus: et mori, lucrum.

22 Si vero vivere in carne, hoc mihi fructus operis, et quid eligam, non cognosco.

23 Coarctor autem è duobus, desiderium habens ad abire, et cum Christo esse; multo enim magis melius.

24 At permanere in carne, magis necessarium propter vos.

25 Et hoc confisus scio, quia manebo et una permanebo omnibus vobis, ad vestrum profectum et gaudium fidei,

26 Ut gloriatio vestra abundet in Christo Jesu in me, per meam præsentiam iterum ad vos.

27 Tantum digne Euangelio Christi gerite vos, ut sive veniens et videns vos, sive absens, audiam quæ de vobis, quia statis in uno spiritu, uno animo collaborantes fidei Euangelii.

28 Et non territi in ullo ab

ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ,

29 Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν,

30 Τὸν αὐτὸν ἀγῶνα ἔχοντες οἷον εἴδετε ἐν ἐμοὶ, καὶ νῦν ἀκούετε ἐν ἐμοί.

adversariis: quod illis quidem est indicium perditionis, vobis autem salutis; et hoc à Deo:

29 Quia vobis donatum est pro Christo, non solum est eum credere, sed et pro illo pati.

30 Idem certamen habentes quale vidistis in me, et nunc auditis in me.

Κεφ. Β'. 2.

1 Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοὶ,

2 Πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες,

3 Μηδὲν κατὰ ἐρίθειαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν·

4 Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ τῶν ἑτέρων ἕκαστος.

5 Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ,

6 Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ,

7 Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος,

8 Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

9 Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα,

10 Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων,

11 Καὶ πᾶσα γλῶσσα ἐξομο-

CAPUT II.

1 Si qua ergo consolatio in Christo, si quod solatium charitatis, si qua communio spiritus, si qua viscera et miserationes,

2 Implete meum gaudium, ut idem sapiatis, eandem charitatem habentes, unanimes, unum sentientes:

3 Nihil per contentionem aut inanem gloriam, sed modestia alii alios arbitrantes superiores sibiipsis.

4 Non quæ sua singuli considerate, sed et quæ aliorum unusquisque.

5 Hoc enim sentiatur in vobis quod et in Christo Jesu:

6 Qui in forma Dei existens, non prædam reputavit esse paria Deo:

7 Sed semetipsum exinanivit, formam servi accipiens, in similitudine hominum factus,

8 Et habitu inventus ut homo, humiliavit semetipsum factus obediens usque ad mortem: mortem autem crucis.

9 Ideo et Deus illum superexaltavit, et donavit illi nomen super omne nomen:

10 Ut in nomine Jesu omne genu flectatur cælestium et terrestrium et infernorum:

11 Et omnis lingua confitea-

λογήσηλαι ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός.

12 Ὥσλε, ἀγαπηλοί μου, καθὼς πάνλολε ὑπηκούσαλε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μελὰ φόβου καὶ τρόμου τὴν ἑαυλῶν σωληρίαν καλεργάζεσθε·

13 Ὁ Θεὸς γάρ ἐσλιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν, ὑπὲρ τῆς εὐδοκίας.

14 Πάνλα ποιεῖλε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν,

15 Ἵνα γένησθε ἄμεμπλοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμηλα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεσλραμμένης· ἐν οἷς φαίνεσθε ὡς φωσλῆρες ἐν κόσμῳ,

16 Λόγον ζωῆς ἐπέχονλες· εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅλι οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα·

17 Ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειλουργίᾳ τῆς πίσλεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν·

18 Τὸ δ' αὐλὸ καὶ ὑμεῖς χαίρεῖλε, καὶ συγχαίρελέ μοι.

19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν·

20 Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει·

21 Οἱ πάνλες γὰρ τὰ ἑαυτῶν ζηλοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ.

22 Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκελε, ὅτι ὡς παλρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον.

23 Τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ, ἐξαυτῆς·

tur, quia Dominus Jesus Christus, in gloriam Dei Patris.

12 Itaque, dilecti mei, sicut semper obedistis mihi, non in præsentia mea tantum, sed et nunc multo magis in absentia mea, cum metu et tremore vestram ipsorum salutem adoperamini.

13 Deus enim est efficiens in vobis et velle et perficere, pro benevolentia.

14 Omnia facite sine murmurationibus et disceptationibus :

15 Ut sitis irreprehensi et simplices, filii Dei inculpati in medio nationis pravæ et perversæ : in quibus splendetis sicut luminaria in mundo.

16 Verbum vitæ continentes, ad gloriationem mihi in diem Christi, quia non in vanum cucurri, neque in vanum laboravi.

17 Sed si et liber super hostia et sacrificio fidei vestræ, gaudeo et congratulor omnibus vobis.

18 Id autem ipsum et vos gaudete, et congratulamini mihi.

19 Spero autem in Domino Jesu, Timotheum cito mittere vobis, ut et ego bono animo sim, cognoscens quæ circa vos.

20 Neminem enim habeo unanimem, qui germane ea quæ circa vos curaturus sit.

21 Omnes enim ea quæ sua ipsorum quærunt, non ea quæ Christi Jesu.

22 At probationem ejus cognoscite, quoniam sicut patri filius, cum me servivit in evangelium.

23 Hunc quidem igitur spero mittere, ut videro ea quæ circa me, statim.

24 Πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι·

25 Ἀναγκαῖον δὲ ἡγησάμην, Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς·

26 Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε ὅτι ἠσθένησε·

27 Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ.

28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν πάλιν, χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ.

29 Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε,

30 Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

Κεφ. γ'. 3.

1 Τὸ λοιπὸν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ· τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές.

2 Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν καταλομήν·

3 Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ, οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες,

4 Καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον,

5 Περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυλῆς Βενιαμὶν, Ἑ-

24 Confido autem in Domino, quoniam et ipse cito veniam.

25 Necessarium autem existimavi, Epaphroditum fratrem et cooperatorem et commilitonem meum, vestrum autem Apostolum, et ministrum usus mei mittere ad vos:

26 Quoniam expetens erat omnes vos, et mœstus, eo quod audieratis quod ægrotasset.

27 Etenim infirmatus est proxime morti, sed Deus ejus misertus est: non ejus autem solum, verum et mei, ut ne tristitiam super tristitiam haberem.

28 Studiosius ergo misi illum, ut videntes eum iterum, gaudeatis, et ego sine tristitia sim.

29 Excipite itaque illum in Domino cum omni gaudio, et ejusmodi in pretio habetote.

30 Quoniam propter opus Christi usque ad mortem accessit, posthabens animam, ut suppleret vestram defectionem ejus quod ad me obsequii.

CAPUT III.

1 RELIQUUM, fratres mei, gaudete in Domino. Eadem scribere vobis mihi quidem non pigrum, vobis tutum.

2 Videte canes, videte malos operarios, videte concisionem.

3 Nos enim sumus circumcisio, spiritu Deo servientes, et gloriantes in Christo Jesu, et non in carne confidentes:

4 Et quanquam ego habens confidentiam et in carne. Si quis videtur alius confidere in carne, ego magis.

5 Circumcisio octavi diei, ex genere Israël, tribus Benjamin,

Ἑβραῖος ἐξ Ἑβραίων, καὶὰ νόμον Φαρισαῖος,

6 Καὶὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος·

7 Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν·

8 Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω,

9 Καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει,

10 Τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ,

11 Εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν·

12 Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι· διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ.

13 Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι,

14 Ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ.

15 Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν, καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει·

16 Πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν

Hebræus ex Hebræis, secundum legem Pharisæus,

6 Secundum zelum persequens ecclesiam, secundum justitiam quæ in lege factus irreprehensibilis :

7 Sed quæ erant mihi lucra, hæc arbitratus sum propter Christum damnum.

8 Sed profecto et existimo omnia damnum esse propter eminentiam cognitionis Christi Jesu Domini mei, propter quem omnium damnum subii, et arbitror stercora esse, ut Christum lucrifaciam.

9 Et inveniar in illo, non habens meam justitiam quæ ex lege, sed illam quæ per fidem Christi, illam quæ ex Deo justitiam in fide :

10 Ad cognoscendum illum, et virtutem resurrectionis ejus, et communionem passionum illius, configuratus morti ejus :

11 Si quomodo occurram ad resurrectionem mortuorum.

12 Non quod jam acceperim, aut jam perfectus sim ; sequor autem si et comprehendam, quia et comprehensus sum à Domino Jesu Christo.

13 Fratres, ego meipsum non arbitror comprehendisse :

14 Unum autem, quæ quidem retro obliviscens, iis vero quæ ante extentus, ad scopum persequor, ad bravium supernæ vocationis Dei in Christo Jesu.

15 Quotquot ergo perfecti, hoc sentiamus : et si quid aliter sapitis, et hoc Deus vobis revelabit.

16 Verumtamen ad quod pervenimus, eadem incedere regula, idem sapere.

17 Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς·

18 Πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ,

19 Ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες·

20 Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστὸν,

21 Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Κεφ. δ'. 4.

1 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί.

2 Εὐωδίαν παρακαλῶ, καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ.

3 Ναὶ ἐρωτῶ καί σε σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε.

5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς.

6 Μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν·

17 Imitatores mei estote, fratres, et observate ita ambulantes, sicut habetis exemplum nos

18 Multi enim ambulant, quos sæpe dicebam vobis, nunc autem et flens dico, inimicos crucis Christi :

19 Quorum finis interitus, quorum Deus venter, et gloria in confusione ipsorum, terrena sapientes.

20 Nostra enim administratio in cælis est, ex quo etiam Salvatorem expectamus Dominum Jesum Christum.

21 Qui transfigurabit corpus humilitatis nostræ, ad esse illud conformatum corpori gloriæ suæ, secundum operationem posse eum et subjicere sibi ipsi omnia.

CAPUT IV.

1 ITAQUE, fratres mei dilecti et exoptati, gaudium et corona mea, sic state Domino, dilecti.

2 Evodiam rogo, et Syntychen deprecor idipsum sapere in Domino :

3 Etiam rogo et te, socie germane, opitulare eis, quæ in Euangelio simul certarunt mihi, cum et Clemente, et cæteris cooperantibus meis, quorum nomina in libro vitæ.

4 Gaudete in Domino semper, iterum dico, gaudete.

5 Æquitas vestra nota sit omnibus hominibus ; Dominus prope.

6 Nihil solliciti sitis, sed in omni oratione et obsecratione cum gratiarum actione petitiones vestræ innotescant apud Deum

7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα· εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε·

9 Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

10 Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ.

11 Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης εἶναι·

12 Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι·

13 Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ·

14 Πλὴν καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει·

15 Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι,

16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε·

17 Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν.

7 Et pax Dei superans omnem sensum, custodiat corda vestra et intelligentias vestras in Christo Jesu.

8 Reliquum, fratres, quæcunque sunt vera, quæcunque honesta, quæcunque justa, quæcunque pura, quæcunque amabilia, quæcunque bonæ famæ, si qua virtus, et si qua laus, hæc cogitate.

9 Quæ et didicistis, et accepistis, et audistis, et vidistis in me, hæc agite ; et Deus pacis erit cum vobis.

10 Gavisus sum autem in Domino magnopere, quoniam jam aliquando reviruistis pro me sentire, in quo et sentiebatis, oportunitate carebatis autem.

11 Non quod propter penuriam dico : ego enim didici, in quibus sum, contentus ipse esse.

12 Scio autem humiliari, scio et abundare : in omni et in omnibus institutus sum : et satiari, et esurire, et abundare, et penuriam pati :

13 Omnia possum in corroborante me Christo.

14 Verumtamen pulchre fecistis, communicantes meæ tribulationi.

15 Scitis autem et vos, Philippenses, quod in principio euangelii, quando exii à Macedonia, nulla mihi ecclesia communicavit in rationem dati et accepti, si non vos soli :

16 Quia et Thessalonica et semel et bis in usum mini misistis.

17 Non quia quæro donum, sed requiro fructum abundantem in rationem vestram.

18 Ἀπέχω δὲ πάντα, καὶ περισσεύω· πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεστον τῷ Θεῷ.

19 Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸ πλοῦτος αὐτοῦ, ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ.

20 Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.

22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

23 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Φιλιππησίους ἐγράφη ἀπὸ Ῥώμης διὰ Ἐπαφροδίτου.

18 Accepi autem omnia, et abundo : repletus sum, accipiens ab Epaphrodito ea quæ à vobis, odorem suavitatis, hostiam acceptam, beneplacentem Deo.

19 At Deus meus impleat omnem usum vestrum secundum divitias suas, in gloria, in Christo Jesu.

20 At Deo et Patri nostro gloria in secula seculorum. Amen.

21 Salutate omnem sanctum in Christo Jesu. Salutant vos qui cum me fratres :

22 Salutant vos omnes sancti, maxime autem qui de Cæsaris domo.

23 Gratia Domini nostri Jesu Christi cum omnibus vobis. Amen.

Ad Philippenses scripta est Roma per Epaphroditum.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΚΟΛΟΣΣΑΕΙΣ

ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 ΠΑΥ̃ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς,

2 Τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑμῶν προσευχόμενοι,

PAULI

Apostoli ad

COLOSSENSES

EPISTOLA.

CAPUT I.

1 PAULUS Apostolus Jesu Christi per voluntatem Dei, et Timotheus frater.

2 Iis qui in Colossis sanctis et fidelibus fratribus in Christo : Gratia vobis et pax à Deo Patre nostro, et Domino Jesu Christo.

3 Gratias agimus Deo et Patri Domini nostri Jesu Christi semper pro vobis orantes ·

4 Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,

5 Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου,

6 Τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἔστι καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ·

7 Καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ,

8 Ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.

9 Διὰ τοῦτο καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ,

10 Περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν· ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ·

11 Ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς·

12 Εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί,

13 Ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ,

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν·

4 Audientes fidem vestram in Christo Jesu, et dilectionem in omnes sanctos,

5 Propter spem sepositam vobis in cœlis, quam præaudistis in verbo veritatis Euangelii,

6 Pervenientis ad vos, sicut et in universo mundo; et est fructificans, et crescens, sicut et in vobis, ex qua die audistis et cognovistis gratiam Dei in veritate:

7 Sicut didicistis ab Epaphra dilecto conservo nostro, qui est fidelis pro vobis minister Christi:

8 Qui etiam declarans nobis vestram dilectionem in spiritu.

9 Propter hoc et nos, ex qua die audivimus, non cessamus pro vobis orantes, et postulantes, ut impleamini agnitionem voluntatis ejus, in omni sapientia et intellectu spiritali.

10 Ambulare vos digne Domino in omnem gratiam, in omni opere bono fructificantes, et crescentes in scientiam Dei,

11 In omni potestate corroborati secundum vim gloriæ ejus, in omni potentia et longanimitate cum gaudio:

12 Gratias agentes Deo et Patri idoneos facienti nos in partem sortis sanctorum in lumine:

13 Qui eripuit nos de potestate tenebrarum, et transtulit in regnum filii dilectionis suæ:

14 In quo habemus redemtionem, per sanguinem ipsius remissionem peccatorum.

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως·

16 Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται·

17 Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε·

18 Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων·

19 Ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι,

20 Καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

21 Καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν,

22 Ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ, διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ·

23 Εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος, διάκονος.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία·

25 Ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ, τὴν

15 Qui est imago Dei invisibilis, primogenitus omnis creaturæ :

16 Quoniam in ipso condita sunt universa quæ in cælis et quæ in terra, visibilia et invisibilia, sive throni, sive dominationes, sive principatus, sive potestates : omnia per ipsum et in ipsum creata sunt :

17 Et ipse est ante omnes, et omnia in ipso constant :

18 Et ipse est caput corporis Ecclesiæ, qui est principium primogenitus ex mortuis, ut sit in omnibus ipse primatum tenens :

19 Quia in ipso complacuit omnem plenitudinem inhabitare.

20 Et per eum reconciliare omnia in ipsum ; pacificans per sanguinem crucis ejus, per eum, sive quæ in terra, sive quæ in cælis.

21 Et vos aliquando existentes alienatos et inimicos mente in operibus malis, nunc autem reconciliavit,

22 In corpore carnis ejus, per mortem, sistere vos sanctos et immaculatos et inculpatos coram ipso :

23 Si tamen permanetis fidei fundati et firmi, et non transmoti à spe Euangelii quod audistis, prædicati in universa creatura quæ sub cælo, cujus factus sum ego Paulus minister.

24 Nunc gaudeo in passionibus meis prò vobis, et rursus adimpleo defectiones afflictionum Christi in carne mea, pro corpore ejus, quod est ecclesia.

25 Cujus factus sum ego minister secundum dispensatio

δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ,

26 Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ·

27 Οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης·

28 Ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ·

29 Εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

Κεφ. Β'. 2.

1 Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί,

2 Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ Χριστοῦ,

3 Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.

4 Τοῦτο δὲ λέγω ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ·

5 Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.

6 Ὡς οὖν παρελάβετε τὸν Χριστὸν

nem Dei, datam mihi in vos, implere verbum Dei:

26 Mysterium absconditum à seculis et à generationibus, nunc autem manifestatum est sanctis ejus:

27 Quibus voluit Deus notum facere quæ divitiæ gloriæ mysterii hujus in Gentibus, qui est Christus in vobis, spes gloriæ:

28 Quem nos annuntiamus, admonentes omnem hominem, et docentes omnem hominem in omni sapientia, ut sistamus omnem hominem perfectum in Christo Jesu.

29 In quod et laboro, decertans secundum operationem ejus opreratam in me in virtute.

CAPUT II.

1 VOLO enim vos scire, quantum certamen habeam pro vobis, et iis qui in Laodicea, et quotquot non viderunt faciem meam in carne:

2 Ut consolentur corda ipsorum, compactorum in charitate, et in omnes divitias plenitudinis intellectus, in agnitionem mysterii Dei et Patris et Christi:

3 in quo sunt omnes thesauri sapientiæ, et scientiæ absconditi.

4 Hoc autem dico, ut nemo vos decipiat in suasibilitate sermonum.

5 Si enim et carne absum, sed spiritu vobiscum sum, gaudens et videns vestrum ordinem, et firmamentum ejus quæ in Christum fidei vestræ.

6 Sicut ergo accepistis Chris

τὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε·

7 Ἐῤῥιζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

8 Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν.

9 Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,

10 Καί ἐστε ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας,

11 Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ,

12 Συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι· ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

13 Καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα,

14 Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ·

15 Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων·

17 Ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ.

tum Jesum Dominum, in ipso ambulate.

7 Radicati et superædificati in ipso, et confirmati in fide, sicut edocti estis, abundantes in ea in gratiarum actione.

8 Videte ne quis vos sit abigens per philosophiam, et inanem fallaciam, secundum traditionem hominum, secundum elementa mundi, et non secundum Christum.

9 Quia in ipso inhabitat omnis plenitudo deitatis corpora liter.

10 Et estis in illo repleti, qui est caput omnis principatus et potestatis :

11 In quo et circumcisi estis circumcisione non manu facta, in exutione corporis peccatorum carnis, in circumcisione Christi :

12 Consepulti et in baptismo, in quo et coexcitati estis per fidem operationis Dei suscitantis illum ex mortuis.

13 Et vos mortuos existentes in delictis, et præputio carnis vestræ, convivificavit cum illo, condonans vobis omnia delicta,

14 Delens illud adversus nos chirographum edictis, quod erat contrarium nobis, et ipsum tulit de medio, affigens illud cruci :

15 Expolians principatus et potestates traduxit in libertate, triumphans illos in se ipso.

16 Ne ergo quis vos judicet in cibo aut in potu, aut in parte festi aut novilunii, aut sabbatorum :

17 Quæ sunt umbra futurorum, at corpus Christi.

18 Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ,

19 Καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

20 Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε ;

21 Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς·

22 Ἃ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων·

23 Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.

18 Nemo ves seducat volens in humilitate et religione angelorum, Quæ non vidit incedens, frustra inflatus à sensu carnis suæ.

19 Et non tenens caput, ex quo totum corpus per nexus et conjunctiones subministratum et constructum, augescit augmentum Dei.

20 Si ergo mortui estis cum Christo, ab elementis mundi, quid tanquam viventes in mundo dogmatizamini ?

21 Ne tetigeris, ne gustaveris, ne contrectaveris :

22 Quæ sunt omnia in corruptionem usu, secundum præcepta et doctrinas hominum :

23 Quæ sunt rationem qui dem habentia sapientiæ in voluntario cultu et submissione animi et subductione corporis, non in honore aliquo ad expletionem carnis.

Κεφ. γ'. 3.

1 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος·

2 Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

3 Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

4 Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

5 Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν **εἰδωλολατρεία,**

CAPUT III.

1 SI igitur consurrexistis Christo, quæ sursum quærite, ubi Christus est in dextera Dei sedens.

2 Quæ sursum sapite, non quæ super terram.

3 Mortui estis enim, et vita vestra est abscondita cum Christo in Deo.

4 Cum Christus apparuerit, vita nostra, tunc et vos cum ipso apparebitis in gloria.

5 Mortificate ergo membra vestra quæ super terram, fornicationem, immunditiam, mollitiem, concupiscentiam malam, et avaritiam, quæ est idololatria :

6 Δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας,

7 Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς.

8 Νυνὶ δὲ ἀποθέσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν.

9 Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ,

10 Καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν·

11 Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία· βάρβαρος, Σκύθης· δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν,

13 Ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς·

14 Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος·

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε.

16 Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ· διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς, ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ·

17 Καὶ πᾶν ὅ,τι ἂν ποιῆτε, ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι

6 Propter quæ venit ira Dei in filios incredulitatis :

7 In quibus et vos ambulastis aliquando, cum viveretis in illis.

8 Nunc autem deponite et vos omnia, iram, excandescentiam, malitiam, blasphemiam, turpiloquium, ex ore vestro.

9 Ne mentimini in invicem, exspoliantes veterem hominem cum actibus suis :

10 Et induti novum, renovatum in agnitionem secundum imaginem ejus qui creavit eum :

11 Ubi non est Græcus et Judæus, circumcisio et præputium : Barbarus, Scytha : servus, liber : sed omnia et in omnibus Christus.

12 Induite ergo, sicut electi Dei sancti et dilecti, viscera miserationum, benignitatem, modestiam, mansuetudinem, longanimitatem :

13 Supportantes alii alios, et condonantes vobismetipsis, si quis adversus aliquem habeat querelam : sicut et Christus condonavit vobis, ita et vos.

14 Super omnia autem hæc, charitatem, quæ est vinculum perfectionis.

15 Et pax Dei regat in cordibus vestris, in quam et vocati estis in uno corpore, et grati estote.

16 Verbum Christi inhabitet in vobis abundanter, in omni sapientia ; docentes et commonentes vosmetipsos, salmis et hymnis et canticis spiritualibus, in gratia cantantes in corde vestro Domino.

17 Et omne quodcunque facitis, in verbo, aut in opere

Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ.

18 Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.

19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.

20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

21 Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν·

23 Καὶ πᾶν ὅ,τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις,

24 Εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε.

25 Ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε· καὶ οὐκ ἔστι προσωπολημψία.

Κεφ. δ'. 4.

1 Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.

2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ,

3 Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ δέδεμαι,

4 Ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι.

5 Ἐν σοφίᾳ περιπατεῖτε πρὸς

omnia in nomine Domini Jesu, gratias agentes Deo et patri per ipsum.

18 Mulieres, subditæ estote propriis viris, sicut convenit in Domino.

19 Viri, diligite uxores et ne amarulenti sitis ad illas.

20 Filii, obedite parentibus per omnia: hoc enim est beneplacitum in Domino.

21 Patres, ne irritate filios vestros, ut non pussillo animo fiant.

22 Servi, obedite per omnia secundum carnem dominis, non in oculorum servitiis quasi hominibus placentes, sed in simplicitate cordis, timentes Deum.

23 Et omne quodcunque facitis, ex animo operamini, sicut Domino, et non hominibus:

24 Scientes quod à Domino accipietis retributionem hæreditatis: nam Domino Christo servitis.

25 At injuriam faciens reportabit quod inique gesset: et non est personarum acceptio.

CAPUT IV.

1 DOMINI, justum et æquabilitatem servis præstate, scientes quoniam et vos habetis Dominum in cælis.

2 Orationi perdurate, vigilantes in ea in gratiarum actione:

3 Orantes simul et pro nobis, ut Deus aperiat nobis ostium sermonis, loqui mysterium Christi, propter quod etiam vinctus sum:

4 Ut manifestem illud, ut oportet me loqui.

5 In sapientia ambulate ad

τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.

6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ,

8 Ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν,

9 Σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν·

11 Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.

12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ.

13 Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς.

15 Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ'

eos qui foris, tempus redimentes.

6 Sermo vester semper in gratia, sale conditus, scire quomodo oporteat vos unicuique respondere.

7 Ea quæ circa me omnia nota faciet vobis Tychicus dilectus frater, et fidelis minister, et conservus in Domino:

8 Quem misi ad vos ad ipsum hoc, ut cognoscat ea quæ circa vos, et consoletur corda vestra:

9 Cum Onesimo fideli et dilecto fratre, qui est ex vobis: omnia vobis nota facient quæ hic.

10 Salutat vos Aristarchus concaptivus meus, et Marcus consobrinus Barnabæ, de quo accepistis mandata: Si venerit ad vos, excipite illum:

11 Et Jesus dictus Justus, existentes ex circumcisione: hi soli cooperarii in regnum Dei, qui facti sunt mihi solatium.

12 Salutat vos Epaphras qui ex vobis servus Christi, semper decertans pro vobis in orationibus, ut stetis perfecti et pleni in omni voluntate Dei.

13 Testor enim illi, quod habet zelum multum pro vobis, et iis qui in Laodicea, et qui in Hierapoli.

14 Salutat vos Lucas medicus dilectus, et Demas.

15 Salutate illos qui in Laodicea fratres, et Nympham, et illam quæ perdomum ejus ecclesiam.

16 Et cum lecta fuerit apud

ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ· καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

17 Καὶ εἴπατε Ἀρχίππῳ· Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς.

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

Πρὸς Κολοσσαεῖς ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ καὶ Ὀνησίμου.

vos epistola, facite ut et in Laodicensium ecclesia legatur, et eam quæ Laodiceæ, ut et vos legatis.

17 Et dicite Archippo: Vide ministerium quod accepisti in Domino, ut illud impleas.

18 Salutatio mea manu Pauli. Memores estote meorum vinculorum. Gratia vobiscum. Amen.

Ad Colossenses scripta est Roma per Tychicum et Onesimum.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφ. ά. 1.

1 ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν,

3 Ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν·

4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι, ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν,

5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον,

PAULI

Apostoli ad

THESSALONICENSES

EPISTOLA PRIMA.

CAPUT I.

1 PAULUS et Silvanus, et Timotheus, ecclesiæ Thessalonicensium in Deo patre, et Domino Jesu Christo, gratia vobis, et pax à Deo patre nostro, et Domino Jesu Christo.

2 Gratias agimus Deo semper pro omnibus vobis, mentionem vestri facientes in orationibus nostris:

3 Indesinenter memores vestri operis fidei, et laboris charitatis, et sustinentiæ spei Domini nostri Jesu Christi ante Deum et patrem nostrum.

4 Sciences, fratres dilecti, à Deo electionem vestram:

5 Quia Euangelium nostrum non fuit ad vos in sermone tan-

ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς.

6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς πνεύματος ἁγίου,

7 Ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ τῇ Ἀχαΐᾳ·

8 Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι·

9 Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ,

10 Καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

Κεφ. Β'. 2.

1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν·

2 Ἀλλὰ καὶ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

3 Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ·

4 Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κο-

tum, sed et in virtute, et in Spiritu sancto, et in plena perceptione multa: sicut scitis quales facti simus in vobis propter vos.

6 Et vos imitatores nostri facti estis et Domini, excipientes verbum in tribulatione multa, cum gaudio Spiritus sancti.

7 Ut fieri vos exemplaria omnibus credentibus in Macedonia et Achaia.

8 A vobis enim personuit sermo Domini, non solum in Macedonia, et in Achaia, sed et in omni loco fides vestra, quæ ad Deum, exiit, ut non opus nos habere loqui quicquam.

9 Ipsi enim de nobis annuntiant qualem introitum habebamus ad vos, et quomodo conversi estis ad Deum ab idolis, servire Deo vivo et vero:

10 Et expectare filium ejus de cælis, quem suscitavit ex mortuis, Jesum liberantem nos ab ira ventura.

CAPUT II.

1 IPSI enim scitis, fratres, introitum nostrum ad vos, quia non vanus factus est,

2 Sed et ante passi et contumeliis affecti, sicut scitis, Philippis, libertate usi fuimus in Deo nostro, loqui ad vos Euangelium Dei in multo certamine.

3 Non exhortatio nostra non ex impostura, neque ex immunditia, neque in dolo:

4 Sed sicut probati sumus à Deo credi Euangelium, ita loquimur, non quasi hominibus placentes, sed Deo probanti corda nostra.

5 Neque enim aliquando in

λακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας· Θεὸς μάρτυς·

6 Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων· δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι·

7 Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα·

8 Οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε.

9 Μνημονεύετε γὰρ, ἀδελφοὶ, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ.

10 Ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν.

11 Καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι,

12 Καὶ μαρτυρούμενοι, εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

13 Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν, τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ, καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

14 Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ Ἰησοῦ, ὅτι ταὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων,

sermone adulationis facti sumus, sicut scitis, neque in prætextu avaritiæ : Deus testis.

6 Nec quærentes ex hominibus gloriam, neque à vobis, neque ab aliis : Valentes in onere esse, ut Christi Apostoli :

7 Sed facti sumus lenes in medio vestrum, tanquam si nutrix foveat suos ipsius filios :

8 Ita cupidi vestri, avebamus tradere vobis non solum Euangelium Dei, sed etiam nostras ipsorum animas, quoniam chari nobis facti estis.

9 Memores estis enim, fratres, laboris nostri, et fatigationis : nocte enim et die operantes, ad non supergravare quempiam vestrum, prædicavimus in vos Euangelium Dei.

10 Vos testes et Deus, ut sancte et juste et inculpate vobis credentibus facti sumus.

11 Sicut scitis quomodo unumquemque vestrum, sicut pater filios suos, hortantes vos, et consolantes,

12 Et testati, ad ambulare vos digne Deo vocante vos in suum ipsius regnum et gloriam.

13 Propter hoc et nos gratias agimus Deo indesinenter, quoniam accipientes verbum auditus a nobis, Dei, excepistis non verbum hominum, sed, sicut est vere, verbum Dei, qui et operatur in vobis credentibus.

14 Vos enim imitatores facti estis, fratres, ecclesiarum Dei existentium in Judæa, in Christo Jesu, quia eadem passi estis et vos à propriis contribulibus, sicut et ipsi à Judæis,

15 Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων,

16 Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

17 Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

18 Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς.

19 Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν τῇ αὐτοῦ παρουσίᾳ;

20 Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

Κεφ. γ'. 3.

1 Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι,

2 Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ἡμῶν,

3 Τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις· αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα·

4 Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε.

5 Διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν

15 Et Dominum occidentibus Jesum, et proprios prophetas, et nos persequentibus, et Deo non placentibus, et omnibus hominibus adversariis:

16 Prohibentibus nos Gentibus loqui ut serventur, ad implendum sua peccata semper: pervenit autem super illos ira in finem.

17 Nos autem, fratres, orbati à vobis ad tempus horæ, aspectu, non corde, abundantius studuimus faciem vestram videre in multo desiderio.

18 Ideo voluimus venire ad vos, ego quidem Paulus, et semel et bis, et intercidit nos Satanas.

19 Quæ enim nostra spes, aut gaudium, aut corona gloriationis? aut nonne et vos ante Dominum nostrum Jesum Christum, in ejus adventu?

20 Vos enim estis gloria nostra, et gaudium.

CAPUT III.

1 IDEO non amplius sustinentes, bene visum est nobis relinqui Athenis soli,

2 Et misimus Timotheum fratrem nostrum, et ministrum Dei, et cooperantem nostrum in Euangelio Christi, ad stabilire vos, et exhortari vos de fide vestra:

3 Neminem commoveri in tribulationibus istis: ipsi enim scitis, quod in hoc positi sumus

4 Etenim cum apud vos essemus, prædicebamus vobis, quod futuri essemus affligi, sicut et factum est, et scitis.

5 Propter hoc et ego non amplius sustinens, misi ad cog-

πίστιν ὑμῶν· μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς·

7 Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως·

8 Ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.

9 Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν,

10 Νυκτὸς καὶ ἡμέρας ὑπὲρ ἐκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν ;

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·

12 Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς,

13 Εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

noscere fidem vestram, ne forte tentaverit vos tentans, et in vanum fiat labor noster.

6 Nuper autem veniente Timotheo ad nos à vobis, et annuntiante nobis fidem et charitatem vestram, et quia habetis memoriam nostri bonam semper, desiderantes nos videre, sicut et nos vos :

7 Propter hoc consolati sumus, fratres, in vobis, in omni tribulatione, et necessitate nostra, per vestram fidem.

8 Quoniam nunc vivimus, si vos statis in Domino.

9 Quam enim gratiarum actionem possumus Deo retribuere pro vobis, in omni gaudio quo gaudemus propter vos ante Deum nostrum,

10 Nocte ac die super exabundanti orantes ad videndum vestram faciem, et complendum defectiones fidei vestræ ?

11 Ipse autem Deus et Pater noster, et Dominus noster Jesus Christus dirigat viam nostram ad vos.

12 Vos autem Dominus multiplicet, et abundare faciat charitate in invicem, et in omnes, quemadmodum et nos in vos :

13 Ad confirmare vestra corda inculpata in sanctitate, ante Deum et Patrem nostrum, in adventu Domini nostri Jesu Christi cum omnibus sanctis ejus.

Κεφ. δ'. 4.

1 Τὸ λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον·

CAPUT IV.

1 RELIQUUM ergo, fratres, rogamus vos, et obsecramus in Domino Jesu, quemadmodum accepistis à nobis duomodo oporteat vos ambulare, et placere Deo, ut abundetis magis.

2 Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.

3 Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας,

4 Εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ,

5 Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν·

6 Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ· διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα.

7 Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.

8 Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς.

9 Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς Θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους·

10 Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ· παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον,

11 Καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν,

12 Ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα·

14 Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ

2 Scitis enim quæ præcepta dederimus vobis per Dominum Jesum.

3 Hæc enim est voluntas Dei, sanctificatio vestra: abstinere vos à fornicatione:

4 Scire unumquemque vestrum suum ipsius vas possidere in sanctificatione et honore:

5 Non in passione desiderii, sicut et Gentes nescientes Deum.

6 Non opprimere, et circumvenire in negotio fratrem suum, quoniam vindex Dominus de omnibus his, sicut et prædiximus vobis, et pertestificati sumus.

7 Non enim vocavit nos Deus in impuritate, sed in sanctificatione.

8 Itaque rejiciens, non hominem rejicit, sed Deum, et dantem spiritum suum sanctum in nos.

9 De autem charitate fraternitatis non opus habetis scribere vobis: ipsi enim vos à Deo docti estis ad diligendum alii alios.

10 Etenim facitis illud in omnes fratres qui in universa Macedonia: rogamus autem vos, fratres, abundare magis,

11 Et contendere quiete agere, et agere propria, et operari propriis manibus vestris, sicut vobis annuntiavimus.

12 Ut ambuletis honeste ad eos qui foris, et nullius opus habeatis.

13 Non volumus autem vos ignorare, fratres, de dormientibus, ut non contristemini, sicut et reliqui non habentes spem.

14 Si enim credimus quod Jesus mortuus est, et resur-

Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ.

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·

16 Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον·

17 Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

Κεφ. ε'. 5.

1 Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι·

2 Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται·

3 Ὅταν γὰρ λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν ἐν γαστρὶ ἐχούσῃ· καὶ οὐ μὴ ἐκφύγωσιν.

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ.

5 Πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε, καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς, οὐδὲ σκότους.

6 Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν·

7 Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν·

8 Ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας·

rexit, ita et Deus dormientes per Jesum, aget cum eo.

15 Hoc enim vobis dicimus in verbo Domini, quia nos viventes, relicti in adventum Domini, non præveniemus dormientes.

16 Quoniam ipse Dominus in jussu, in voce archangeli, et in tuba Dei descendet de cælo, et mortui in Christo, resurgent primum.

17 Deinde nos viventes relicti, simul cum illis rapiemur in nubibus in occursum Domini in aëra, et sic semper cum Domino erimus.

18 Itaque consolamini alii alios in verbis istis.

CAPUT V.

1 De autem temporibus et momentis, fratres, non opus habetis vobis scribi.

2 Ipsi enim diligentur scitis, quia dies Domini sicut fur in nocte, ita venit.

3 Cum enim dixerint: Pax et securitas, tunc repentinus eis imminet interitus, sicut dolor in utero habenti: et non effugient.

4 Vos autem, fratres, non estis in tenebris, ut dies vos tanquam fur comprehendat.

5 Omnes vos filii lucis estis, et filii diei: non sumus noctis, neque tenebrarum.

6 Nempe igitur non dormiamus sicut et reliqui, sed vigilemus, et sobrii simus.

7 Nam dormientes, nocte dormiunt: et inebriati, nocte ebrii sunt.

8 Nos autem diei existentes, sobrii simus, induti thoracem

τεως καὶ ἀγάπης· καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας,

9 Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

10 Τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν.

11 Διὸ παραμυθεῖσθε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς,

13 Καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ, διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν ἑαυτοῖς.

14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

15 " Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ·" ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

16 Πάντοτε χαίρετε.

17 Ἀδιαλείπτως προσεύχεσθε.

18 Ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.

19 Τὸ πνεῦμα μὴ σβέννυτε.

20 Προφητείας μὴ ἐξουθενεῖτε.

21 Πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε.

22 Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

fidei et charitatis, et galeam, spem salutis.

9 Quoniam non posuit nos Deus in iram, sed in assertionem salutis per Dominum nostrum Jesum Christum :

10 Mortuum pro nobis, ut sive vigilemus, sive dormiamus, simul cum illo vivamus.

11 Ideo consolamini alii alios, et ædificate unus unum, sicut et facitis.

12 Rogamus autem vos, fratres, nosse laborantes in vobis, et præsidentes vobis in Domino, et admonentes vos.

13 Et ducere illos super exabundanti in charitate, propter opus illorum. pacem habete in vobis ipsis.

14 Rogamus autem vos, fratres, monete inordinatos, consolamini pusillanimes, sustinete infirmos, longanimes estote ad omnes.

15 Videre ne quis malum pro malo alicui reddat : sed semper bonum sectamini, et in invicem et in omnes.

16 Semper gaudete.

17 Indesinenter orate.

18 In omni gratias agite : hæc enim voluntas Dei in Christo Jesu in vos.

19 Spiritum ne extinguite.

20 Prophetias ne nihili facite.

21 Omnia explorate : bonum tenete.

22 Ab omni specie mali abstinete.

23 Ipse autem Deus pacis sanctificet vos omnino perfectos : et integer vester spiritus, et anima, et corpus inculpate

ρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

24 Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει.

25 Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν.

26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ.

27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς.

28 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν.

Πρὸς Θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ Ἀθηνῶν.

in adventu Domini nostri Jesu Christi servetur.

24 Fidelis ille vocans vos, qui etiam faciet.

25 Fratres, orate pro nobis.

26 Salutate fratres omnes in osculo sancto.

27 Adjuro vos Dominum, legi epistolam omnibus sanctis fratribus.

28 Gratia Domini nostri Jesu Christi vobiscum. Amen.

Ad Thessalonicenses prima scripta est Athenis.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Κεφ. ά. 1.

1 ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ ἡμῶν, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους·

4 Ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν, καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε·

5 Ἔνδειγμα τῆς δικαίας κρίσε-

PAULI

Apostoli ad

THESSALONICENSES

EPISTOLA SECUNDA.

CAPUT I.

1 PAULUS et Silvanus et Timotheus, ecclesiæ Thessalonicensium in Deo Patre nostro, et Domino Jesu Christo:

2 Gratia vobis et pax à Deo Patre nostro, et Domino Jesu Christo.

3 Gratias agere debemus Deo semper pro vobis, fratres, ita ut dignum est, quoniam superaugescit fides vestra, et abundat charitas uniuscujusque omnium vestrum in invicem.

4 Ut nos ipsos in vobis gloriari in ecclesiis Dei, propatientia vestra, et fide in omnibus persecutionibus vestris, et tribulationibus quas sustinetis:

5 Indicium certum justi judi-

ως τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε·

6 Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν,

7 Καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ,

8 Ἐν πυρὶ φλογὸς, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

9 Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώπου τοῦ Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ·

10 Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει,

12 Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

cii Dei, ad dignos censeri vos regno Dei, pro quo et patimini

6 Siquidem justum apud Deum retribuere tribulantibus vos tribulationem :

7 Et vobis tribulatis relaxationem cum nobis, in revelatione Domini Jesu Christi de cælo cum angelis virtutis ejus,

8 In igne flammæ, dantis vindictam non scientibus Deum, et non obedientibus Evangelio Domini nostri Jesu Christi.

9 Qui pœnas luent exitium æternum, à facie Domini, et à gloria fortitudinis ejus :

10 Cum venerit glorificari in sanctis suis, et admirabilis fieri in omnibus credentibus, quia creditum est testimonium nostrum super vos in die illo.

11 In quod etiam oramus semper pro vobis, ut vos dignetur vocatione Deus noster, et impleat omnem bonam voluntatem bonitatis, et opus fidei in virtute :

12 Ut glorificetur nomen Domini nostri Jesu Christi in vobis, et vos in illo, secundum gratiam Dei nostri, et Domini Jesu Christi.

Κεφ. Β'. 2.

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν,

2 Εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς, μήτε θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.

CAPUT II.

1 ROGAMUS autem vos, fratres, per adventum Domini nostri Jesu Christi, et nostræ congregationis in ipsum,

2 Ad non cito dimoveri vos à sensu, neque turbari, neque per spiritum, neque per sermonem, neque per epistolam tanquam per nos, quasi quod instet dies Christi.

3 Μητις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,

4 Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα· ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός.

5 Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν;

6 Καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ·

7 Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται·

8 Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ·

9 Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύδους,

10 Καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις· ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς·

11 Καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει·

12 Ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας,

14 Εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ

3 Ne quis vos seducat secundum ullum modum. quoniam si non venerit discessio primum, et revelatus fuerit homo peccati, ille filius perditionis:

4 Ille oppositus, et elatus supra omnem dictum Deum aut numen, ita ut eum in templum Dei tanquam Deum sedere, ostendentem seipsum quod sit Deus.

5 Non meministis, quod adhuc existens apud vos, hæc dicebam vobis?

6 Et nunc obstaculum scitis ad revelari eum in suo ipsius tempore.

7 Nam mysterium jam operatur iniquitatis, solum tenens nunc donec è medio fiat.

8 Et tunc revelabitur ille exlex, quem Dominus interficiet spiritu oris sui, et destruet illustratione adventus sui:

9 Cujus est adventus secundum operationem satanæ, in omni virtute, et signis, et prodigiis mendacii.

10 Et in omni deceptione injustitiæ in pereuntibus, pro quibus charitatem veritatis non receperunt ad servari ipsos.

11 Et propter hoc mittet illis Deus operationem imposturæ, ad credendum eos mendacio:

12 Ut judicentur omnes non credentes veritati, sed beneplacitum habentes in injustitia.

13 Nos autem debemus gratias agere Deo semper pro vobis, fratres dilecti à Domino, quod elegerit vos Deus ab initio in salutem in sanctificatione Spiritus, et fide veritatis:

14 In quod vocavit vos per

τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

15 Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν.

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,

17 Παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

Κεφ. γ'. 3.

1 Τὸ λοιπὸν, προσεύχεσθε, ἀδελφοὶ, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ, καὶ δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς,

2 Καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις.

3 Πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ.

4 Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε.

5 Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοὶ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβε παρ' ἡμῶν·

7 Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν,

8 Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχ-

evangelium nostrum, in assertionem gloriæ Domini nostri Jesu Christi.

15 Nempe ergo, fratres, state, et tenete traditiones quas edocti estis, sive per sermonem, sive per epistolam nostram.

16 Ipse autem Dominus noster Jesus Christus, et Deus et pater noster diligens nos, et dans consolationem æternam, et spem bonam in gratia:

17 Exhortetur vestra corda, et confirmet vos in omni sermone et opere bono.

CAPUT III.

1 QUOD reliquum, orate, fratres, pro nobis, ut sermo Domini currat et glorificetur, sicut et apud vos.

2 Et ut liberemur ab importunis et malis hominibus: non enim omnium fides.

3 Fidelis autem est Dominus, qui confirmabit vos, et custodiet à malo.

4 Confidimus autem in Domino super vos, quoniam quæ denuntiamus vobis, et facitis, et facietis.

5 At Dominus dirigat vestra corda in charitatem Dei, et in expectationem Christi.

6 Denuntiamus autem vobis, fratres, in nomine Domini nostri Jesu Christi, subduci vos ab omni fratre inordinate ambulante, et non secundum traditionem, quam accepit à nobis.

7 Ipsi enim scitis, quemadmodum oporteat imitari nos, quoniam non inordinati fuimus in vobis.

8 Neque gratis panem manducavimus ab aliquo, sed in la

θω, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·

9 Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς·

10 Καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.

11 Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.

12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.

13 Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐγκακήσητε καλοποιοῦντες·

14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε· καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ,

15 Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δώῃ ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. Ὁ Κύριος μετὰ πάντων ὑμῶν.

17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω.

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ Ἀθηνῶν

bore et fatigatione noctem et diem operantes, ad non aggravare quemquam vestrum.

9 Non quia non habemus potestatem, sed ut nosmetipsos formam daremus vobis ad imitandum nos.

10 Etenim cum essemus apud vos, hoc denuntiabamus vobis, quoniam si quis non vult operari, nec manducet.

11 Audimus enim quosdam ambulantes in vobis inordinate, nihil operantes, sed circumagentes.

12 At ejusmodi denuntiamus, et obsecramas per Dominum nostrum Jesum Christum, ut cum quite operantes, suum ipsorum panem manducent.

13 Vos autem, fratres, ne segnescatis benefacientes.

14 Si vero quis non auscultat verbo nostro per epistolam, hunc notate, et ne commisceamini illi, ut pudefiat:

15 Et ne ut inimicum ducite, sed admonete ut fratrem.

16 Ipse autem Dominus pacis det vobis pacem per omne in omni modo: Dominus cum omnibus vobis.

17 Salutatio mea manu Pauli, quod est signum in omni epistola, ita scribo.

18 Gratia Domini nostri Jesu Christi cum omnibus vobis. Amen.

Ad Thessalonicenses secunda scripta est ab Athenis.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΤΙΜΟΘΕΟΝ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Κεφ. ά. 1.

1 ΠΑΥ̃ΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν,

2 Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν,

4 Μηδὲ προσέχειν μύθοις, καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκονομίαν Θεοῦ τὴν ἐν πίστει.

5 Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου·

6 Ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίαν,

7 Θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

8 Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται,

9 Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις καὶ μητραλῴαις, ἀνδροφόνοις,

10 Πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις,

PAULI

Apostoli ad

TIMOTHEUM

EPISTOLA PRIMA.

CAPUT I.

1 PAULUS Apostolus Jesu Christi secundum ordinationem Dei Salvatoris nostri et Jesu Christi, spei nostræ :

2 Timotheo germano filio in fide, gratia, misericordia, pax à Deo Patre nostro, et Christo Jesu Domino nostro.

3 Sicut rogavi te remanere in Epheso, proficiscens in Macedoniam, ut denuntiares quibusdam non aliter docere :

4 Neque attendere fabulis, et genealogiis interminatis, quæ quæstiones præstant magis, quam ædificationem Dei quæ in fide.

5 At finis præcepti est charitas de puro corde, et conscientia bona, et fide non ficta :

6 Quorum quidam aberrantes, conversi sunt in vaniloquium :

7 Volentes esse legisdoctores, non intelligentes neque quæ dicunt, neque de quibus affirmant.

8 Scimus autem quia bona lex, si quis ea legitime utatur :

9 Sciens hoc, quia justo lex non est posita, exlegibus vero et non subditis, impiis et peccatoribus, sceleratis et contaminatis, patricidis et matricidis homicidis,

10 Fornicariis, masculorum concubitoribus, plagiariis, men-

καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται,

11 Κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ·

12 Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν·

13 Τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ·

14 Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.

15 Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ·

16 Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.

17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπί σε προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν,

19 Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν· ἣν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν,

20 Ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος· οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

dacibus, perjuris, et si quid aliud sanæ doctrinæ adversatur:

11 Secundum Euangelium gloriæ beati Dei, quod creditus sum ego.

12 Et gratiam habeo roboranti me Christo Jesu Domino nostro, quia fidelem me existimavit ponens in ministerium:

13 Prius existentem blasphemum, et persecutorem et contumeliosum: sed misericordiam consecutus sum, quia ignorans feci in incredulitate.

14 Superabundavit autem gratia Domini nostri cum fide et dilectione in Christo Jesu.

15 Fidelis sermo, et omni acceptione dignus, quia Christus Jesus venit in mundum peccatores servare, quorum primus sum ego.

16 Sed propter hoc misericordiam consecutus sum, ut in me primo ostenderet Jesus Christus omnem longanimitatem, ad informationem futurorum credere in illo in vitam æternam.

17 Ipsi autem regi seculorum incorruptibili, invisibili, soli sapienti Deo honor et gloria in secula seculorum. Amen

18 Hoc præceptum commendo tibi, fili Timothee, secundum præcedentes in te prophetias, ut milites in illis pulchram militiam,

19 Habens fidem et bonam conscientiam, quam quidam repellentes, circa fidem naufragaverunt:

20 Quorum est Hymenæus et Alexander, quos tradidi Satanæ, ut discant non blasphemare.

Κεφ. Β'. 2.

1 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων,

2 Ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων· ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι·

3 Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

4 Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

5 Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς,

6 Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις,

7 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος, ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι· διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.

9 Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ,

10 Ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν.

11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ·

12 Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ·

CAPUT II.

1 ADHORTOR igitur primum omnium, fieri obsecrationes, orationes, postulationes, gratiarum actiones pro omnibus hominibus:

2 Pro regibus et omnibus in sublimitate existentibus, ut quietam et tranquillam vitam degamus in omni pietate et honestate:

3 Hoc enim pulchrum et acceptum coram salvatore nostro Deo:

4 Qui omnes homines vult servari, et ad agnitionem veritatis venire.

5 Unus enim Deus, unus et mediator Dei et hominum, homo Christus Jesus.

6 Dans semetipsum redemptionem pro omnibus, testimonium temporibus propriis.

7 In quod positus sum ego prædicatur et apostolus, veritatem dico in Christo, non mentior, doctor Gentium in fide et veritate.

8 Volo ergo orare viros in omni loco, levantes puras manus, sine ira et disceptatione.

9 Similiter et mulieres in habitu ornato, cum verecundia et modestia ornare seipsas, non in cincinnis, aut auro, aut margaritis, vel veste pretiosa:

10 Sed, quod decet mulieres professas pietatem, per opera bona.

11 Mulier in silentio discat, in omni subjectione.

12 Mulieri autem docere non permitto, neque auctoritatem usurpare viri, sed esse in silentio.

13 Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὕα·

14 Καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέγονε,

15 Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

13 Adam enim primus formatus est, deinde Eva.

14 Et Adam non est seductus, at mulier seducta, in transgressione fuit.

15 Salvabitur autem per filiorum generationem, si manserint in fide et dilectione et sanctificatione cum modestia.

Κεφ. γ'. 3.

1 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ·

2 Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίλημπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλεον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικον·

3 Μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον,

4 Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος·

5 Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται ;

6 Μὴ νεόφυτον· ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου·

7 Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

8 Διακόνους ὡσαύτως σεμνοὺς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς,

9 Ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει·

10 Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονειτωσαν, ἀνέγκλητοι ὄντες.

11 Γυναῖκας ὡσαύτως σεμνὰς,

CAPUT III.

1 FIDELIS sermo : si quis episcopatum expetit, pulchrum opus desiderat.

2 Oportet ergo episcopum irreprehensibilem esse, unius uxoris virum, vigilantem, sobrium, ornatum, hospitalem, doctorem :

3 Non vinolentum, non percussorem, non turpis lucri cupidum ; sed modestum, non pugnantem, non cupidum argenti :

4 Propriæ domui bene præpositum, filios habentem in subjectione cum omni castitate.

5 Si autem quis propriæ domui præesse non novit, quomodo ecclesiæ Dei curam geret ?

6 Non nuper insitum, ut non inflatus, in judicium incidat diaboli.

7 Oportet autem illum et testimonium bonum habere ab iis qui foris, ut non in opprobrium incidat et laqueum diaboli.

8 Diaconos similiter pudicos, non bilingues, non vino multo deditos, non turpe lucrum sectantes :

9 Habentes mysterium fidei in pura conscientia :

10 Et hi autem probentur primum, deinde ministrent, in culpa non existentes.

11 Mulieres similiter hones

μὴ διαβόλους, νηφαλέους, πιστὰς ἐν πᾶσι.

12 Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων·

13 Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον·

15 Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας.

16 Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

Κεφ. δ'. 4.

1 Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων,

2 Ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν,

3 Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν·

4 Ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον·

5 Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις

tas, non calumniosas, sobrias, fideles in omnibus.

12 Diaconi sint unius uxoris viri, filiis bene præsidentes, et propriis domibus :

13 Nam bene ministrantes, gradum sibi ipsis bonum acquirunt, et multam libertatem in fide quæ in Christo Jesu.

14 Hæc tibi scribo, sperans venire ad te cito.

15 Si autem tardavero, ut scias quomodo oporteat in domo Dei conversari, quæ est ecclesia Dei vivi, columna et firmamentum veritatis.

16 Et manifeste magnum est pietatis mysterium : Deus manifestatus est in carne, justificatus est in spiritu, visus est angelis, prædicatus est in Gentibus, creditus est in mundo, receptus est in gloria.

CAPUT IV.

1 At Spiritus diserte dicit, quia in novissimis temporibus desciscent quidam a fide, attendentes spiritibus deceptoribus, et doctrinis dæmoniorum,

2 In hypocrisi falsa loquentium, cauteriatam habentium propriam conscientiam.

3 Prohibentium nubere, abstinere cibis, quos Deus creavit ad acceptionem cum gratiarum actione fidelibus, et cognoscentibus veritatem.

4 Quia omnis creatura Dei bona, et nihil rejiciendum cum gratiarum actione sumptum.

5 Sanctificatur enim per verbum Dei et orationem.

6 Hæc subjiciens fratribus, bonus eris minister Jesu Christi, enutritus verbis fidei, et

τῆς πίστεως, καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας.

7 Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ· γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν·

8 Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.

9 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος.

10 Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

11 Παράγγελλε ταῦτα καὶ δίδασκε.

12 Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ.

13 Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ.

14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοὶ διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.

15 Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σοῦ ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.

16 Ἔπεχε σεαυτῷ, καὶ τῇ διδασκαλίᾳ· ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

Κεφ. έ. 5.

1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα· νεωτέρους, ὡς ἀδελφούς·

2 Πρεσβυτέρας, ὡς μητέρας· νεωτέρας, ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ.

bonæ doctrinæ, quam assecutus es.

7 At prophanas et aniles fabulas rejice: exerce autem teipsum ad pietatem:

8 Nam corporalis exercitatio ad modicum est utilis: at pietas ad omnia utilis est, promissionem habens vitæ quæ nunc et futuræ.

9 Fidelis sermo, et omni acceptione dignus.

10 In hoc enim et laboramus, et probris afficimur, quia speravimus in Deo vivente, qui est salvator omnium hominum, maxime fidelium.

11 Annuntia hæc, et doce.

12 Nemo tuam juventutem contemnat, sed exemplum esto fidelium in verbo, in conversatione, in charitate, in spiritu, in fide, in castitate.

13 Dum venio, attende lectioni, exhortationi, doctrinæ.

14 Ne neglige illud in te donum, quod datum est tibi per prophetiam, cum impositione manuum presbyterii.

15 Hæc meditare, in his esto, ut tuus profectus manifestus sit in omnibus.

16 Attende tibi ipsi, et doctrinæ: persiste illis. hoc enim faciens, et teipsum servabis, et audientes te.

CAPUT V.

1 SENIOREM ne increpaveris, sed hortare ut patrem; juvenes, ut fratres:

2 Seniores mulieres, ut matres; juvenculas ut sorores, in omni castitate.

3 Χήρας τίμα τὰς ὄντως χήρας·
4 Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστι καλὸν καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ Θεοῦ.
5 Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας·
6 Ἡ δὲ, σπαταλῶσα ζῶσα, τέθνηκε.
7 Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν.
8 Εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.
9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνὴ,
10 Ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε·

11 Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν,

12 Ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.
13 Ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα.
14 Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν.
15 Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ.

3 Viduas honora vere viduas.
4 Si autem qua vidua filios aut nepotes habet, discant primum propriam domum bene regere, et mutuam vicem reddere parentibus: hoc enim est pulchrum et acceptum coram Deo.
5 At vere vidua, et sola relicta, speravit in Deum, et instat obsecrationibus, et orationibus nocte et die.
6 At deliciosa, vivens mortua est.
7 Et hæc annuntia, ut irreprehensibiles sint.
8 Si autem quis propriis, et maxime domesticis non prospicit, fidem negavit, et est infideli deterior.
9 Vidua eligatur non minus annorum sexaginta, quæ fuerit unius viri uxor:
10 In operibus bonis testimonium habens, si filios educavit, si hospitio recepit, si sanctorum pedes lavit, si afflictis suffecit, si omne opus bonum subsecuta est.
11 Adolescentiores autem viduas recusa: cum enim lascivierunt adversus Christum, nubere volunt:
12 Habentes damnationem, quia primam fidem abjecerunt.
13 Simul autem et otiosæ discunt circumeuntes domos: non solum autem otiosæ, sed et nugaces, et curiosæ, loquentes quæ non decentia.
14 Volo ergo juniores viduas nubere, filios procreare, domum regere, nullam occasionem dare adversario maledicti gratia.
15 Jam enim quædam conversæ sunt retro Satanam.

16 Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ·

18 Λέγει γὰρ ἡ γραφή· "Βοῦν ἀλοῶντα οὐ φιμώσεις·" καί· "Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ."

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.

20 Τοὺς ἁμαρτάνοντας, ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.

21 Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.

22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. Σεαυτὸν ἁγνὸν τήρει.

23 Μηκέτι ὑδροποτεῖ, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν·

25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι· καὶ τὰ ἄλλως ἔχοντα, κρυβῆναι οὐ δύναται.

Κεφ. ϛ'. 6.

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται·

2 Οἱ δὲ πιστοὺς ἔχοντες δεσπό-

16 Si quis fidelis aut qua fidelis habet viduas, sufficiat illis, et non gravetur ecclesia, ut vere viduis sufficiat.

17 Bene præsidentes presbyteri duplici honore digni habeantur, maxime laborantes in verbo et doctrina.

18 Dicit enim scriptura: Bovi trituranti non ligabis os. Et: Dignus operarius mercede sua.

19 Adversus presbyterum accusationem ne accipito, præterquam in duobus aut tribus testibus.

20 Peccantes coram omnibus argue, ut et cæteri timorem habeant.

21 Obtestor coram Deo, et Domino Jesu Christo, et electis angelis, ut hæc custodias sine præjudicio, nihil faciens secundum inclinationem.

22 Manus cito nemini imposueris, neque communicaveris peccatis alienis. teipsum castum custodi.

23 Ne amplius aquam bibito, sed vino modico utere propter stomachum tuum, et frequentes tuas infirmitates.

24 Quorundam hominum peccata manifesta sunt, præcedentia ad judicium: quosdam autem et subsequuntur.

25 Similiter et pulchra opera manifesta sunt, et aliter habentia, abscondi non possunt.

CAPUT VI.

1 QUICUNQUE sunt sub jugo servi, proprios dominos omni honore dignos arbitrentur ut non nomen Dei et doctrina blasphemetur.

2 At fideles habentes domi

τας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Ταῦτα δίδασκε, καὶ παρακάλει.

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ,

4 Τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας· ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραὶ,

5 Διαπαραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν· ἀφίστασο ἀπὸ τῶν τοιούτων.

6 Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας·

7 Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, ὅῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.

8 Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

9 Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν·

10 Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

11 Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα·

12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα

nos, non contemnant, quia fratres sunt: sed magis serviant, quia fideles sunt et dilecti, qui illius beneficii participantes. hæc doce, et exhortare.

3 Si quis aliter docet, et non accedit sanis sermonibus Domini nostri Jesu Christi, et ei quæ secundum pietatem doctrinæ,

4 Turget, nihil sciens, sed languens circa quæstiones et verborum pugnas, ex quibus nascitur invidia, contentio, blasphemiæ, suspiciones malæ,

5 Perversæ exercitationes corruptorum hominum mentem et privatorum veritate, existimantium quæstum esse pietatem: abscede ab hujusmodi.

6 Est autem quæstus magnus pietas cum suæ sortis probatione.

7 Nihil enim intulimus in mundum, manifestum quia nec auferre quid possumus.

8 Habentes autem alimenta, et tegumenta, his contenti simus.

9 At volentes ditescere, incidunt intentationem, et laqueum, et desideria multa stulta et nociva, quæ mergunt homines in interitum, et perditionem.

10 Radix enim omnium malorum est pecuniæ cupiditas, quam quidam appetentes, aberraverunt à fide, et seipsos transfixerunt doloribus multis.

11 Tu autem, ô homo Dei, hæc fuge: sectare vero justitiam, pietatem, fidem, charitatem, patientiam, mansuetudinem.

12 Certa pulchrum certamen

τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

13 Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν,

14 Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνέπιληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

15 Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων,

16 Ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον. Ἀμήν.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν·

18 Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς,

19 Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

20 Ὦ Τιμόθεε, τὴν παραθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας, καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως,

21 Ἣν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

Πρὸς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

fidei, apprehende æternam vitam, in quam et vocatus es, et confessus es pulchram confessionem coram multis testibus.

13 Præcipio tibi coram Deo vivificante omnia, et Christo Jesu testato coram Pontio Pilato pulchram confessionem :

14 Servare te mandatum immaculatum, irreprehensibile, usque in apparitionem Domini nostri Jesu Christi :

15 Quam temporibus propriis ostendet beatus, et solus potens, rex regnantium, et Dominus dominantium,

16 Solus habens immortalitatem, lucem habitans inaccessibilem : quem vidit nullus hominum, nec videre potest : cui honor et robur sempiternum. Amen.

17 Divitibus in nunc seculo, præcipe non sublime sapere, neque sperare in divitiarum incertitudine, sed in Deo vivente, præbente nobis abunde omnia ad refocillationem :

18 Bene agere, ditescere in operibus bonis, benepartibiles esse, communicabiles :

19 Thesaurizantes sibi ipsis fundamentum pulchrum in futurum, ut apprehendant æternam vitam.

20 O Timothee, depositum custodi, devitans prophanas inanitates vocum, et oppositiones falso nominatæ scientiæ :

21 Quam quidam profitentes circa fidem aberraverunt. Gratia tecum. Amen.

Ad Timotheum prior scripta est Laodicea, quæ est metropolis Phrygiæ Pacatianæ.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΤΙΜΟΘΕΟΝ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Κεφ. ά. 1.

1 ΠΑΥΛΟΣ ἀποστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ,

2 Τιμοθέῳ ἀγαπητῷ τέκνῳ, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνειαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας,

4 Ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ,

5 Ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ· πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί.

6 Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου·

7 Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης, καὶ σωφρονισμοῦ.

8 Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ,

9 Τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρό-

PAULI

Apostoli ad

TIMOTHEUM

EPISTOLA SECUNDA.

CAPUT I.

1 PAULUS Apostolus Jesu Christi per voluntatem Dei, secundum promissionem vitæ quæ in Christo Jesu :

2 Timotheo dilecto filio, gratia, misericordia, pax à Deo Patre, et Christo Jesu Domino nostro.

3 Gratiam habeo Deo, cui servio à progenitoribus in pura conscientia, ut non intermissam habeo de te memoriam in orationibus meis, nocte et die :

4 Desiderans te videre, memor tuarum lacrymarum, ut gaudio implear :

5 Recordationem accipiens ejus quæ in te non fictæ fidei, quæ inhabitavit primum in avia tua Loïde, et matre tua Eunice: persuasus sum autem quod et in te :

6 Propter quam causam rursus meminisse facio te resuscitare donum Dei, quod est in te per impositionem manuum mearum.

7 Non enim dedit nobis Deus spiritum timoris, sed virtutis et dilectionis et sobrietatis.

8 Ne igitur erubueris testimonium Domini nostri, neque me vinctum ejus : sed patere afflictiones cum Euangelio secundum virtutem Dei :

9 Servantis nos, et vocantis vocatione sancta, non secundum opera nostra, sed secundum pro-

θεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων,

10 Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου·

11 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν·

12 Δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω· ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

13 Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ.

14 Τὴν καλὴν παραθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης.

16 Δώῃ ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ· ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη,

17 Ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐζήτησέ με, κἀ εὗρε·

18 Δώῃ αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

Κεφ. Β'. 2.

1 Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ,

2 Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου

prium propositum, et gratiam datam nobis in Christo Jesu ante tempora secularia :

10 Manifestatam autem nunc per apparitionem Salvatoris nostri Jesu Christi, destruentis quidem mortem, illuminantis autem vitam et incorruptionem per Euangelium :

11 In quod positus sum ego prædicator et apostolus et magister Gentium.

12 Ob quam causam etiam hæc patior : sed non confundor. scio enim cui credidi, et pursuasus sum quia potens est depositum meum servare in illum diem.

13 Exemplar habe sanorum verborum, quæ à me audisti in fide et dilectione quæ in Christo Jesu.

14 Pulchrum depositum custodi per spiritum Sanctum inhabitantem in nobis.

15 Scis hoc, quod adversati sunt me omnes qui in Asia, quorum est Phygellus et Hermogenes :

16 Det misericordiam Dominus Onesiphori domui, quia sæpe me refrigeravit, et catenam meam non erubuit :

17 Sed factus in Roma, studiosius quæsivit me, et invenit.

18 Det illi dominus invenire misericordiam à Domino in illa die : et quæcunque in Epheso ministravit, melius tu nosti.

CAPUT II.

1 TU ergo, fili mi, confortare in gratia quæ in Christo Jesu,

2 Et quæ audisti à me per multos testes, hæc commenda

πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

3 Σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ.

4 Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ·

5 Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ·

6 Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

7 Νόει ἃ λέγω· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι.

8 Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν μου,

9 Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται.

10 Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

11 Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν·

12 Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς·

13 Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.

14 Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν, εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

15 Σπούδασον σεαυτὸν δόκιμον παρασῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

16 Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο· ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας,

fidelibus hominibus qui idonei erunt et alios docere.

3 Tu igitur malum patere sicut pulcher miles Jesu Christi.

4 Nemo militans implicatur vitæ negotiis, ut deligenti milites placeat.

5 Si autem et certet quis, non coronatur, si non legitime certaverit.

6 Laborantem agricolam oportet primum fructus percipere.

7 Intellige quæ dico: det enim tibi Dominus intellectum in omnibus.

8 Memor esto Jesum Christum excitatum ex mortuis, ex semine David, secundum Evangelium meum.

9 In quo malum patior usque ad vincula, quasi maleficus: sed verbum Dei non est vinctum.

10 Propter hoc omnia sustineo propter electos, ut et ipsi salutem consequantur quæ in Christo Jesu, cum gloria æterna.

11 Fidelis sermo: si enim simul mortui sumus, et simul vivemus:

12 Si toleramus, et simul regnabimus: si negaverimus, et ille negabit nos:

13 Si infidi sumus, ille fidelis permanet: negare seipsum non potest.

14 Hæc commone, testificans coram Domino, non contendere verbis, ad nihil utile, ad subversionem audientium.

15 Stude teipsum probabilem exhibere Deo, operarium non erubescendum, recte secantem verbum veritatis.

16 At prophanas vanas voces cohibe: ad plus enim procedent impietatis:

17 Καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει· ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός,

18 Οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι· καὶ ἀνατρέπουσι τήν τινων πίστιν·

19 Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· καί, Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Χριστοῦ.

20 Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν.

21 Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν, ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε· δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας.

23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας·

24 Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον,

25 Ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας,

26 Καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

17 Et sermo eorum ut gangræna pastum habebit, quorum est Hymenæus et Philetus.

18 Qui circa veritatem aberraverunt, dicentes resurrectionem jam esse factam : et subvertunt quorundam fidem.

19 Tamen firmum fundamentum Dei stat, habens signaculum hoc : Cognovit Dominus existentes ejus : et, Discedat ab injustitia omnis nominans nomen Christi.

20 In magna autem domo non sunt solum vasa aurea et argentea, sed et lignea et testacea : et quædem quidem in honorem, quædam autem in dedecus.

21 Si ergo quis emundaverit seipsum ab istis, erit vas in honorem, sanctificatum et bene utile domino, ad omne opus bonum paratum.

22 At juvenilia desideria fuge : sectare vero justitiam, fidem, charitatem, pacem cum invocantibus Dominum de puro corde.

23 At stultas et ineruditas quæstiones rejice, sciens quia generant pugnas.

24 Servum autem Domini non oportet pugnare, sed mansuetum esse ad omnes, docibilem, mala tolerantem :

25 In lenitate erudientem contrapositos, nequando det illis Deus pœnitentiam ad agnitionem veritatis :

26 Et resipiscant à diaboli laqueo, captivi detenti ab ipso ad ipsius voluntatem.

Κεφ. γ'. 3.

1 Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί·

CAPUT III.

1 HOC autem scito quod in novissimis diebus instabunt tempora periculosa·

2 Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι,

2 Erunt enim homines seipsos amantes, pecuniæ cupidi, elati, superbi, blasphemi, parentibus immorigeri, ingrati, scelesti,

3 ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι,

3 Sine affectione, sine fœdere, calumniatores, incontinentes, immites, bonum non amantes.

4 Προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι,

4 Proditores, præcipites, inflati, voluptatum amatores magis quam amatores Dei:

5 ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· καὶ τούτους ἀποτρέπου·

5 Habentes formam pietatis, at virtutem ejus abnegantes: et hos aversare.

6 Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτεύοντες τὰ γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις,

6 Ex his enim sunt irrepentes in domos, et captivas ducentes mulierculas oneratas peccatis, actas desideriis variis:

7 πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα.

7 Semper discentes, et nunquam ad scientiam veritatis venire valentes.

8 Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν·

8 Quemadmodum autem Jannes et Jambres restiterunt Moysi, ita et hi resistunt veritati, homines corrupti mentem, reprobi circa fidem.

9 ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.

9 Sed non proficient ad plurimum: nam amentia eorum manifesta erit omnibus, sicut et illorum facta est.

10 Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ,

10 Tu autem assecutus es meam doctrinam, institutionem, propositum, fidem, longanimitatem, dilectionem, patientiam:

11 τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐῤῥύσατο ὁ Κύριος.

11 Persecutiones, passiones, qualia mihi facta sunt in Antiochia, in Iconio, in Lystris: quales persecutiones sustinui, et ex omnibus me eripuit Dominus.

12 Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται·

12 Et omnes autem volentes pie vivere in Christo Jesu, persecutionem patientur.

13 πονηροὶ δὲ ἄνθρωποι καὶ γόη-

13 Mali autem homines et

τας προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες,

15 Καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

16 Πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ,

17 Ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

Κεφ. δ'. 4.

1 Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὴν βασιλείαν αὐτοῦ,

2 Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ·

3 Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν,

4 Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται.

5 Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε.

7 Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα·

seductores proficient in pejus, seducentes et seducti.

14 Tu vero permane in iis quæ didicisti, et credita sunt tibi, sciens à quo didiceris :

15 Et quia à puero sacras literas nosti, potentes te sapientem reddere ad salutem, per fidem in Christo Jesu.

16 Omnis scriptura divinitus inspirata, et utilis ad doctrinam, ad redargutionem, ad correctionem, ad eruditionem quæ in justitia ;

17 Ut perfectus sit Dei homo, ad omne opus bonum instructus.

CAPUT IV.

1 TESTIFICOR igitur ego coram Deo, et Domino nostro Jesu Christo, futuro judicare vivos et mortuos secundum apparitionem ipsius, et regnum ejus :

2 Prædica verbum, insta tempestive, intempestive : argue, increpa, obsecra in omni longanimitate et doctrina.

3 Erit enim tempus, cum sanam doctrinam non sustinebunt, sed secundum desideria propria sibi ipsis coacervabunt magistros, prurientes auditum :

4 Et à quidem veritate auditum avertent, ad autem fabulas convertentur.

5 Tu vero vigila in omnibus, mala patere, opus fac Euangelistæ, ministerium tuum impletum reddito.

6 Ego enim jam delibor, et tempus mei discessus instat.

7 Certamen pulchrum certavi, cursum consummavi, fidem servavi.

8 Λοιπὸν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

9 Σπούδασον ἐλθεῖν πρός με ταχέως·

10 Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν.

11 Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ· Μάρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.

12 Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον.

13 Τὸν φελόνην ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδώῃ αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ,

15 Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη·

17 Ὁ δὲ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ, καὶ ἀκούσῃ πάντα τὰ ἔθνη· καὶ ἐῤῥύσθην ἐκ στόματος λέοντος,

18 Καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

19 Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου οἶκον.

20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ·

8 Reliquum, reposita est mihi justitiæ corona, quam reddet mihi Dominus in illa die, justus judex: non solum autem mihi, sed et omnibus diligentibus apparitionem ejus.

9 Stude venire ad me cito.

10 Demas enim me reliquit, diligens quod nunc est seculum, et abiit Thessalonicam, Crescens in Galatiam, Titus in Dalmatiam:

11 Lucas est solus mecum. Marcum assumens, adduc cum teipso: est enim mihi utilis in ministerium.

12 Tychicum autem misi Ephesum.

13 Penulam quam reliqui Troade apud Carpum, veniens affer, et libros, maxime membranas.

14 Alexander ærarius multa mihi mala ostendit. reddat illi Dominus secundum opera ejus:

15 Quem et tu observa. valde enim restitit nostris verbis.

16 In prima mea defensione nemo mihi adfuit, sed omnes me dereliquerunt: non illis imputetur.

17 At Dominus mihi astitit, et confortavit me, ut per me prædicatio plene percipiatur, et audiant omnes Gentes: et ereptus sum de ore leonis.

18 Et eripiet me Dominus ab omni opere malo, et servabit in regnum suum cæleste: cui gloria in secula seculorum. Amen.

19 Saluta Priscillam et Aquilam, et Onesiphori domum.

20 Erastus remansit Corin-

Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

21 Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες.

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου· ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

Πρὸς Τιμόθεον δευτέρα, τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Ῥώμης, ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι Νέρωνι.

thi: Trophimum autem reliqui Mileti infirmum.

21 Festina ante hyemem venire. Salutant te Eubulus, et Pudens, et Linus, et Claudia, et fratres omnes.

22 Dominus Jesus Christus cum spiritu tuo. gratia vobiscum. Amen.

Ad Timotheum secunda, Ephesiorum Ecclesiæ primum Episcopum ordinatum, scripta est Roma, cum ex secundo sisteretur Paulus Cæsari Neroni.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΤΙΤΟΝ

ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 ΠΑΥΛΟΣ δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν·

2 Ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων,

3 Ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ, ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

4 Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

5 Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώ-

PAULI

Apostoli ad

TITUM

EPISTOLA.

CAPUT I.

1 PAULUS servus Dei, Apostolus autem Jesu Christi, secundum fidem electorum Dei, et agnitionem veritatis quæ secundum pietatem:

2 In spem vitæ æternæ, quam promisit expers mendacii Deus, ante tempora secularia,

3 Manifestavit autem temporibus propriis verbum suum in prædicatione, quam creditam habeo ego secundum præceptum Salvatoris nostri Dei.

4 Tito germano filio secundum communem fidem, gratia, misericordia, pax à Deo Patre, et Domino Jesu christo Salvatore nostro.

5 Hujus gratia reliqui te in Creta, ut reliqua corrigas, et

σῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην·

6 Εἴ τις ἐστὶν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ·

8 Ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ,

9 Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς,

11 Οὓς δεῖ ἐπιστομίζειν· οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.

12 Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· "Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί."

13 Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει,

14 Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

15 Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.

16 Θεὸν ὁμολογοῦσιν εἰδέναι,

constituas per civitatem presbyteros, sicut ego tibi mandavi :

6 Si quis est inculpatus, unius uxoris vir, filios habens fideles, non in accusatione luxuriæ, aut non subditos.

7 Oportet enim episcopum inculpatum esse, sicut Dei dispensatorem, non arrogantem, non iracundum, non vinolentum, non percussorem, non turpis lucri cupidum :

8 Sed hospitalem, boni amantem, sobrium, justum, sanctum, continentem :

9 Tenacem ejus qui secundum doctrinam fidelis sermonis, ut potans sit et exhortari in doctrina sana, et contradicentes arguere.

10 Sunt enim multi et inobedientes, vaniloqui et mentium deceptores, maxime qui ex circumcisione :

11 Quos oportet ore obturare : qui totas domos subvertunt, docentes quæ non oportet, turpis lucri gratia.

12 Dixit quidam ex illis proprius ipsorum propheta : Cretenses semper mendaces, malæ bestiæ, ventres pigri.

13 Testimonium hoc est verum : ob quam causam increpa illos præcise, ut sani sint in fide :

14 Non intendentes Judaicis fabulis, et mandatis hominum aversantium veritatem.

15 Omnia quidem munda mundis : at pollutis et infidelibus nihil mundum, sed polluta sunt eorum et mens et conscientia.

16 Deum confitentur nosse

τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

Κεφ. Β'. 2.

1 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ·

2 Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,

4 Ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους,

5 Σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν,

7 Περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ, ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν,

8 Λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας,

10 Μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεὸν κοσμῶσιν ἐν πᾶσιν.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις,

12 Παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι,

13 Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς

at operibus negant, abominati existentes et inobedientes, et ad omne opus bonum reprobi.

CAPUT II.

1 TU autem loquere quæ decent sanam doctrinam.

2 Senes sobrios esse, honestos, prudentes, sanos fide, dilectione, patientia.

3 Anus similiter in habitu sancto decentes, non calumniatrices, non vino multo servientes, honestatis magistras,

4 Ut prudentiam doceant adolescentulas, virorum amantes esse, filiorum amantes,

5 Sobrias, castas, domisedas, bonas, subditas propriis viris, ut non verbum Dei blasphemetur.

6 Juvenes similiter hortare temperantes esse.

7 Circa omnia teipsum præbens exemplum pulchrorum operum, in doctrina incorruptibilitatem, gravitatem,

8 Verbum sanum, irreprehensibile, ut is qui ex adverso erubescat, nihil habens de vobis dicere malum.

9 Servos propriis Dominis subjici, in omnibus beneplacentes esse, non contradicentes:

10 Non fraudantes, sed fidem omnem ostendentes bonam, ut doctrinam Salvatoris nostri Dei ornent in omnibus.

11 Apparuit enim gratia Dei salutifera omnibus hominibus:

12 Erudiens nos, ut abnegantes impietatem, et mundana desideria, sobrie et juste et pie vivamus in nunc seculo·

13 Expectantes beatam spem, et apparitionem gloriæ magni

δόξης τῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

14 Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

15 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω.

Κεφ. γ'. 3.

1 Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι,

2 Μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους.

3 Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους·

4 Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

5 Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου.

6 Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν,

7 Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

8 Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις.

Dei, et Salvatoris nostri Jesu Christi:

14 Qui dedit semetipsum pro nobis, ut redimeret nos ab omni iniquitate, et mundaret sibi ipsi populum peculiarem, zelatorem pulchrorum operum.

15 Hæc loquere, et exhortare, et argue cum omni imperio: nemo te contemnat.

CAPUT III.

1 ADMONE illos principatibus et potestatibus subjici, obtemperare, ad omne opus bonum paratos esse.

2 Neminem blasphemare, à pugna alienos esse, modestos, omnem ostendentes mansuetudinem ad omnes homines.

3 Eramus enim aliquando et nos insipientes, increduli, errantes, servientes desideriis et voluptatibus variis, in malitia et invidia agentes, odibiles, odientes alii alios.

4 Cum autem benignitas et humanitas apparuit Salvatoris nostri Dei,

5 Non ex operibus in justitia, quæ fecimus nos, sed secundum suam misericordiam servavit nos, per lavacrum regenerationis, et renovationis Spiritus sancti:

6 Quem affudit in nos abunde, per Jesum Christum Salvatorem nostrum:

7 Ut justificati ipsius gratia, hæredes simus secundum spem vitæ æternæ.

8 Fidelis sermo: et de his volo te confirmare, ut curent pulchris operibus præstare credentes Deo. hæc sunt pulchra et utilia hominibus.

9 Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ,

11 Εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικὸν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι.

13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.

14 Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Τίτον τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.

9 Stultas autem quæstiones, et genealogias, et contentiones, et pugnas legales cohibe : sunt enim inutiles, et vanæ.

10 Hæreticum hominem post unam et secundam admonitionem devita :

11 Sciens quia subversus est hujusmodi, et peccat, existens sponte condemnatus.

12 Cum misero Artemam ad te, aut Tychicum, festina venire ad me Nicopolim : Ibi enim statui hyemare.

13 Zenam legisperitum et Apollo sollicite præmitte, ut nihil illis desit.

14 Discant autem et nostri pulchris operibus præstare ad necessarios usus, ut non sint infructuosi.

15 Salutant te qui cum me omnes. saluta amantes nos in fide. Gratia cum omnibus vobis. Amen.

Ad Titum Cretensium Ecclesiæ primum episcopum ordinatum, scripta est Nicopoli Macedoniæ.

ΠΑΥΛΟΥ

Τοῦ Ἀποστόλου ἡ πρὸς

ΦΙΛΗΜΟΝΑ

ΕΠΙΣΤΟΛΗ.

1 ΠΑΥΛΟΣ δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν,

2 Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ·

PAULI

Apostoli ad

PHILEMONEM

EPISTOLA

1 PAULUS vinctus Christi Jesu, et Timotheus frater, Philemoni dilecto et cooperanti nostro,

2 Et Apphiæ dilectæ, et Archippo commilitoni nostro, et illi quæ apud domum tuam ecclesiæ.

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,

5 Ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν, ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους,

6 Ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν.

7 Χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διά σου, ἀδελφέ.

8 Διὸ πολλὴν ἐν Χριστῷ παῤῥησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον,

9 Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.

10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον,

11 Τὸν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα.

12 Σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ,

13 Ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου·

14 Χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι· ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.

15 Τάχα γαρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,

3 Gratia vobis et pax à Deo patre nostro et Domino Jesu Christo.

4 Gratias ago Deo meo, semper memoriam tui faciens in orationibus meis,

5 Audiens tuam charitatem, et fidem quam habes ad Dominum Jesum et in omnes sanctos:

6 Ut communicatio fidei tuæ efficax fiat in agnitione omnis operis boni in vobis in Christum Jesum.

7 Gaudium enim habemus multum, et consolationem in charitate tua, quia viscera sanctorum requieverunt per te, frater.

8 Ideo multam in Christo libertatem habens imperare tibi officium.

9 Propter charitatem magis obsecro, talis existens, ut Paulus senex, nunc autem et vinctus Jesu Christi.

10 Obsecro te pro meo filio, quem genui in vinculis meis, Onesimum:

11 Illum aliquando tibi inutilem, nunc autem tibi et mihi utilem: quem remisi:

12 Tu autem illum, id est, mea viscera, suscipe:

13 Quem ego volueram apud meipsum detinere, ut pro te ministraret mihi in vinculis Evangelii:

14 Sine autem tua sententia nihil volui facere, uti ne velut secundum necessitatem bonum tuum esset, sed secundum spontaneum.

15 Forsitan enim propter hoc discessit ad horam, ut æternum illum reciperes·

16 Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλόν σοι καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ ;

17 Εἰ οὖν ἐμὲ ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.

18 Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει.

19 Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτὸν μοι προσοφείλεις·

20 Ναὶ, ἀδελφὲ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.

21 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω, ποιήσεις.

22 Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.

23 Ἀσπάζονταί σε, Ἐπαφρᾶς, ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μάρκος,

24 Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.

16 Non jam ut servum, sed supra quam servum, fratrem dilectum, maxime mihi, quanto autem magis tibi et in carne et in Domino ?

17 Si ergo me habes communicantem, suscipe illum sicut me.

18 Si autem aliquid nocuit tibi, aut debet, hoc mihi imputa.

19 Ego Paulus scripsi mea manu, ego dependam : ut non dicam tibi quod et teipsum mihi addebes.

20 Ita, frater, ego te fruar in Domino : refice mea viscera in Domino.

21 Confisus auscultationi tuæ scripsi tibi, sciens quoniam et super quod dico, facies.

22 Simul autem et para mihi hospitium: spero enim quod per orationes vestras donabor vobis.

23 Salutant te Epaphras, concaptivus meus in Christo Jesu, Marcus,

24 Aristarchus, Demas, Lucas, cooperantes mei.

25 Gratia Domini nostri Jesu Christi cum spiritu vestro Amen.

Ad Philemonem scripta est Roma per Onesimum servum

Ἡ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

Κεφ. ά. 1.

1 ΠΟΛΥΜΕΡΩΣ καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ,

AD HEBRÆOS EPISTOLA.

CAPUT I.

1 MULTIFARIAM et multimode olim Deus locutus patribus in Prophetis, in ultimis diebus istis locutus est nobis in Filio,

2 Ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν,

2 Quem posuit hæredem universorum, per quem et secula fecit.

3 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς,

3 Qui existens splendor gloriæ, et character substantiæ ejus, portansque omnia verbo virtutis suæ, per seipsum purgationem faciens peccatorum nostrorum, sedit in dextera majestatis in excelsis :

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

4 Tanto præstantior effectus angelis, quanto differentius præ illis hæreditavit nomen.

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· "Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε ;" Καὶ πάλιν· "Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν ;"

5 Cui enim dixit aliquando angelorum : Filius meus es tu, ego hodie genui te ? et rursum : Ego ero illi in Patrem, et ipse erit mihi in Filium ?

6 Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· "Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ."

6 Cum autem iterum introducit primogenitum in habitatam, dicit : Et adorent eum omnes angeli Dei.

7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· "Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·"

7 Et ad quidem angelos dicit: Faciens angelos suos spiritus, et ministros suos ignis flammam.

8 Πρὸς δὲ τὸν υἱόν· "Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

8 Ad autem Filium : Thronus tuus, Deus, in seculum seculi : virga rectitudinis virga regni tui.

9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

9 Dilexisti justitiam, et odisti iniquitatem : propter hoc unxit te Deus, Deus tuus oleum exultationis præ participibus tuis.

10 Καί, Σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί·

10 Et : Tu per principia, Domine, terram fundasti, et opera manuum tuarum sunt cæli :

11 Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται·

11 Ipsi peribunt, tu autem permanes : et omnes ut vestimentum veterascent :

12 Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι."

12 Et velut amictum plicabis eos, et mutabuntur : tu autem ipse es, et anni tui non deficient.

13 Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· "Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;"

14 Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

Κεφ. Β'. 2.

1 Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν·

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν,

3 Πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη,

4 Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν.

5 Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν.

6 Διεμαρτύρατο δέ που τις, λέγων· "Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου·

8 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ." Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν

13 Ad quem autem angelorum dixit aliquando: Sede à dextris meis, quoadusque ponam inimicos tuos scabellum pedum tuorum?

14 Nonne omnes sunt administratorii spiritus, in ministerium missi propter futuros hæreditare salutem?

CAPUT II.

1 PROPTER hoc oportet abundantius nos adhibere auditis, ne quando perefluamus.

2 Si enim ille per angelos dictus sermo factus est firmus, et omnis transgressio et inobedientia accepit justam mercedis retributionem:

3 Quomodo nos effugiemus, tantam negligentes salutem? quæ initium accipiens enarrari per Dominum, ab audientibus in nos confirmata est:

4 Contestante Deo signisque et portentis, et variis virtutibus, et Spiritus sancti distributionibus, secundum suam voluntatem.

5 Non enim angelis subjecit habitatam futuram, de qua loquimur.

6 Testatus est autem alicubi quis, dicens: Quid est homo quod memor es ejus, aut filius hominis, quoniam visitas eum?

7 Minuisti eum breve quiddam præ angelis: gloria et honore coronasti eum, et constituisti eum super opera manuum tuarum.

8 Omnia subjecisti sub pedibus ejus. in enim subjecisse ei omnia, nihil dimisit ei non

ἀφῆκεν αὐτῷ ἀνυπόταχτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

9 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

10 Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι·

11 Ὅ,τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν,

12 Λέγων· "Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε."

13 Καὶ πάλιν, "Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ." Καὶ πάλιν· "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός."

14 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος· καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον,

15 Καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.

16 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.

17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ·

18 Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

subjectum, nunc autem necdum videmus ei omnia subjecta.

9 Eum autem breve quid præ angelis minoratum videmus Jesum, propter passionem mortis, gloria et honore coronatum; ut gratia Dei pro omnibus gustaret mortem.

10 Decebat enim eum propter quem omnia, et per quem omnia, multos filios in gloriam adducentem, auctorem salutis eorum per passiones consummare.

11 Sanctificans enim et sanctificati, ex uno omnes. Propter quam causam non confunditur fratres eos vocare,

12 Dicens: Annuntiabo nomen tuum fratribus meis, in medio ecclesiæ laudabo te.

13 Et iterum: Ego ero fidens in eum. Et iterum: Ecce ego et pueri, quos mihi dedit Deus.

14 Quia ergo pueri communicaverunt carni et sanguini, et ipse consimiliter participavit eisdem, ut per mortem aboleret robur habentem mortis, id est diabolum:

15 Et liberaret hos quicunque timore mortis per omne vivere obnoxii erant servituti.

16 Non enim videlicet angelos apprehendit, sed semen Abrahæ apprehendit.

17 Unde debuit per omnia fratribus similari, ut misericors fieret et fidelis Pontifex ea quæ ad Deum, ad expiandum peccata populi:

18 In quo enim passus est ipse tentatus, potest tentatis auxiliari.

Κεφ. γ'. 3.

1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν,

2 Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

3 Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

4 Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός.

5 Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων·

6 Χριστὸς δὲ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος, μέχρι τέλους βεβαίαν κατάσχωμεν·

7 Διὸ, καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον· "Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,

8 Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ,

9 Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη·"

10 Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον· "Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου·

11 Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· εἰ εἰσελεύσονται εἰς τὴν καταπαυσίν μου."

12 Βλέπετε, ἀδελφοὶ, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος,

CAPUT III.

1 UNDE, fratres sancti, vocationis cælestis participes, considerate apostolum et pontificem confessionis nostræ Christum Jesum:

2 Fidelem existentem facienti illum, sicut et Moses in omni domo ejus.

3 Amplioris enim gloriæ iste præ Mose dignus est habitus, quanto ampliorem honorem habet domus construens illam.

4 Omnis namque domus construitur ab aliquo: at omnia construens, Deus.

5 Et Moses quidem fidelis in tota domo ejus, tamquam famulus, in testimonium dicendorum·

6 Christus vero tanquam Filius in domo ejus, cujus domus sumus nos, si fiduciam et gloriationem spei usque ad finem firmam retineamus.

7 Ideo sicut dicit Spiritus sanctus: Hodie si vocem ejus audieritis,

8 Ne obdurate corda vestra, sicut in exacerbatione, secundum diem tentationis in deserto:

9 Ubi tentaverunt me patres vestri, probaverunt me, et viderunt opera mea quadraginta annis.

10 Ideo infensus fui generationi huic, et dixi: Semper errant corde: ipsi autem non cognoverunt vias meas.

11 Ut juravi in ira mea: Si introibunt in requiem meam.

12 Videte, fratres, ne quando erit in aliquo vestrum cor malum incredulitatis, in discedere à Deo vivo

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται· ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας·

13 Sed adhortamini vosmetipsos per unumquemque diem, usque quo hodie cognominatur: ut non obduretur quis ex vobis deceptione peccati:

14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν,

14 Participes enim effecti sumus Christi, si modo initium substantiæ usque ad finem firmum retineamus:

15 Ἐν τῷ λέγεσθαι· "Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ."

15 In dici: Hodie si vocem ejus audieritis, ne obdurate corda vestra, quemadmodum in exacerbatione.

16 Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.

16 Quidam enim audientes exacerbaverunt, sed non omnes egressi ex Ægypto per Mosen.

17 Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ;

17 Quibus autem infensus est quadraginta annis? Nonne peccantibus, quorum membra cecidérunt in deserto?

18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;

18 Quibus autem juravit non introire in requiem ipsius, si non incredulis?

19 Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.

19 Et videmus quia non potuerunt introire propter incredulitatem.

Κεφ. δ'. 4.

1 Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι·

CAPUT IV.

1 TIMEAMUS ergo ne quandoque relicta pollicitatione introeundi in requiem ejus, existimetur aliquis ex vobis defici.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν·

2 Etenim sumus euangelizati, quemadmodum et illi: sed non profuit sermo auditus illis, non admistus fide audientibus

3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκε· "Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·" καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων·

3 Ingredimur enim in requiem credentes, quemadmodum dixit: Sicut juravi in ira mea, si introibunt in requiem meam: et quidem operibus à fundatione mundi factis.

4 Εἴρηκε γάρ που περὶ τῆς ἑβ-

4 Dixit enim alicubi de sep

δόμης οὕτω· " Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ."

5 Καὶ ἐν τούτῳ πάλιν· " Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου."

6 Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν,

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον· καθὼς εἴρηται· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, " μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν."

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ·

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν· ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας·

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας·

13 Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας·

tima sic: Et requievit Deus die septima ab omnibus operibus suis.

5 Et in isto rursum: Si introibunt in requiem meam.

6 Quoniam ergo superest quosdam introire in illam, et ipsi prius annuntiatione moniti non introierunt propter incredulitatem.

7 Iterum quendam terminat diem, hodie, in David dicens, post tantum temporis, sicut dictum est, Hodie si vocem ejus audieritis, ne obdurate corda vestra.

8 Si enim eis Jesus requiem præstitisset, non utique de alia loqueretur post hæc die.

9 Itaque relinquitur sabbatismus populo Dei:

10 Nam ingressus in requiem ejus, etiam ipse requievit ab operibus suis, sicut à propriis Deus.

11 Studeamus ergo ingredi in illam requiem, ut ne quis in eo ipso exemplo cadat incredulitatis.

12 Vivus enim sermo Dei, et efficax, et penetrabilior super omnem gladium ancipitem, et pertingens usque ad divisionem animæque ac spiritus, compagum quoque ac medullarum, et discretor cogitationum et intentionum cordis.

13 Et non est creatura invisibilis in conspectu ejus: omnia autem nuda et aperta oculis ejus, ad quem nobis sermo.

14 Habentes ergo pontificem magnum, penetrantem cælos Jesum Filium Dei, teneamus confessionem.

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

16 Προσερχώμεθα ἓν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Κεφ. ε'. 5.

1 ΠΑΣ γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν,

2 Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν,

3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών·

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· "Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε."

6 Καθὼς καὶ ἐν ἑτέρῳ λέγει· "Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ."

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,

8 Καίπερ ὢν υἱὸς, ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοὴν,

9 Καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου,

15 Non enim habemus pontificem non potentem compati infirmitatibus nostris : tentatum autem per omnia juxta similitudinem absque peccato.

16 Adeamus ergo cum fiducia throno gratiæ, ut accipiamus misericordiam, et gratiam inveniamus in opportunum auxilium.

CAPUT V.

1 OMNIS namque pontifex ex hominibus assumptus, pro hominibus constituitur ea quæ ad Deum, ut offerat donaque et victimas pro peccatis.

2 Mensuratè pati potens ignorantibus et errantibus : quoniam et ipse circundatus est infirmitatem :

3 Et propter hanc debet, quemadmodum pro populo, ita etiam pro semetipso offerre pro peccatis.

4 Et non sibi ipsi quisquam sumit honorem, sed vocatus à Deo, tanquam et Aaron :

5 Sic et Christus non semetipsum glorificavit fieri pontificem, sed locutus ad eum : Filius meus es tu, ego hodie genui te.

6 Quemadmodum et in alio dicit : Tu sacerdos in æternum secundum ordinem Melchisedec.

7 Qui in diebus carnis suæ, precesque et supplicationes ad potentem servare illum à morte, cum clamore valido et lachrymis offerens, et exauditus pro reverentia.

8 Et quamvis existens Filius, didicit ex iis quæ passus est obedientiam.

9 Et consummatus factus est obtemperantibus sibi omnibus causa salutis æternæ :

10 Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ· καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς.

13 Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι.

14 Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

Κεφ. ϛ'. 6.

1 Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεὸν,

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.

3 Καὶ τοῦτο ποιήσομεν, ἐάν περ ἐπιτρέπῃ ὁ Θεός.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου,

5 Καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,

6 Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ, καὶ παραδειγματίζοντας.

10 Appellatus à Deo pontifex juxta ordinem Melchisedec.

11 De quo multus nobis sermo et difficilis interpretatu dicere : quoniam segnes facti estis auribus.

12 Etenim debentes esse magistri propter tempus, rursum opus habetis ad docendum vos quæ elementa initii oraculorum Dei, et facti estis opus habentes lacte, et non solido cibo.

13 Omnis enim particeps lactis, expers sermonis justitiæ : infans enim est.

14 Perfectorum autem est solidus cibus, per habitum sensus exercitatos habentium ad discretionem bonique ac mali.

CAPUT VI.

1 IDEO intermittentes initii Christi sermonem, ad perfectionem feramur, non rursum fundamentum jacientes pœnitentiæ à mortuis operibus, et fidei ad Deum,

2 Baptismatum doctrinæ, impositionis quoque manuum, resurrectionisque mortuorum, et judicii æterni.

3 Et hoc faciemus, si quidem permiserit Deus.

4 Impossibile enim semel illustratos, gustantesque donum cæleste, et participes factos Spiritus sancti,

5 Et pulchrum gustantes Dei verbum, virtutesque futuri seculi,

6 Et prolapsos, rursus renovari ad pœnitentiam, crucifigentes sibimetipsis Filium Dei, et ostentui habentes.

7 Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ·

8 Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν·

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες.

11 Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους,

12 Ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,

14 Λέγων, "Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε."

15 Καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ,

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασ-

7 Terra enim bibens super se sæpe venientem imbrem, et generans herbam opportunam illis propter quos et colitur, accipit benedictionem à Deo.

8 Proferens autem spinas et tribulos, reproba et maledictioni proxima, cujus finis in combustionem.

9 Confidimus autem de vobis, dilecti, meliora, et proxima saluti, si et ita loquimur.

10 Non enim injustus Deus, oblivisci operis vestri, et laboris dilectionis quam ostendistis in nomen ipsius, qui ministrastis sanctis, et ministratis.

11 Cupimus autem unumquemque vestrum idem ostentare studium ad expletionem spei usque in finem :

12 Ut non segnes efficiamini, imitatores autem per fidem et longanimitatem hæreditantium promissiones.

13 Namque Abrahæ pollicitus Deus, queniam per neminem habuit majorem jurare, juravit per semetipsum,

14 Dicens : Certe benedicens benedicam te, et multiplicans multiplicabo te.

15 Et sic longanimiter ferens adeptus est repromissionem.

16 Homines quidem enim per majorem jurant, et omnis ipsis controversiæ finis ad confirmationem juramentum.

17 In quo abundantius volens Deus ostendere hæredibus pollicitationis immobilitatem consilii sui, intervenit juramento

18 Ut per duas res immobiles, in quibus impossibile men-

θαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος,

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος,

20 Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Κεφ. ζ'. 7.

1 Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν,

2 ὯΙ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ, πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ· ὅ ἐστι βασιλεὺς εἰρήνης,

3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.

4 Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ.

6 Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραὰμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκε.

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσ-

tiri Deum, fortem consolationem habeamus confugientes obtinere propositam spem.

19 Quam sicut ancoram habemus animæ tutamque ac firmam, et ingredientem ad interius velaminis.

20 Ubi præcursor pro nobis introivit Jesus, secundum ordinem Melchisedec pontifex factus in æternum.

CAPUT VII.

1 HIC enim Melchisedec, rex Salem, Sacerdos Dei summi, occurens Abrahæ regresso à cæde regum, et benedicens ei.

2 Cui et decimas ab omnibus partitus est Abraham: primum quidem interpretatus rex justitiæ, deinde autem et rex Salem: quod est rex pacis:

3 Sine patre, sine matre, sine genealogia, neque initium dierum, neque vitæ finem habens; assimilatus autem Filio Dei, manet sacerdos in perpetuum.

4 Intuemini autem quantus hic, cui et decimas Abraham dedit ex manubiis ille patriarcha.

5 Et illi quidem de filiis Levi sacerdotium accipientes, mandatum habent decimare populum secundum legem, id est, fratres suos, quamquam egressos ex lumbo Abrahæ:

6 Ille autem non genealogizatus ex eis, decimavit Abraham, et habentem repromissiones benedixit.

7 Sine autem omni contradictione, minus à præstantiore benedicitur.

8 Et hic quidem decim

κοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ, μαρτυρούμενος ὅτι ζῇ.

9 Καὶ, ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ, καὶ Λευΐ, ὁ δεκάτας λαμβάνων δεδεκάτωται.

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο, τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;

12 Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.

13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ·

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος,

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου·

17 Μαρτυρεῖ γάρ· "Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ."

18 Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές·

19 Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ.

morientes homines accipiunt ibi autem testatione dictus, quia vivit.

9 Et, ut verbum dicere, per Abraham et Levi decimas accipiens decimatus est:

10 Adhuc enim in lumbo patris erat, quando obviavit ei Melchisedec.

11 Si quidem ergo comsummatio per Leviticum sacerdotium erat: populus enim sub ipso legem accepit, quid adhuc opus secundum ordinem Melchisedec alium surgere sacerdotem, et non secundum ordinem Aaron dici?

12 Translato enim sacerdotio, ex necessitate et legis translatio fit.

13 In quem enim dicuntur hæc. tribus alterius particeps fuit, de qua nullus attendit altari.

14 Manifestum enim quod ex Juda ortus sit Dominus noster: in quam tribum nihil de sacerdotio Moses locutus est

15 Et amplius adhuc manifestum est, si secundum similitudinem Melchisedec exurgit sacerdos alius,

16 Qui non secundum legem mandati carnalis factus est, sed secundum virtutem vitæ insolubilis.

17 Contestatur enim: Quoniam tu sacerdos in æternum secundum ordinem Melchisedec

18 Abrogatio quidem enim fit præcedentis mandati, propter ejus infirmitatem et inutilitatem:

19 Nihil enim perfecit lex; introductio vero melioris spei, per quam proximamus Deo.

20 Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας·

21 Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες· Ὁ δὲ, μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν· "Ὠμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ"

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράξατον ἔχει τὴν ἱερωσύνην,

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος,

27 Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας.

28 Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

Κεφ. ή. 8.

1 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,

20 Et quatenus non sine jurejurando :

21 Hi quidem enim sine jurejurando sunt sacerdotes facti : Hic autem cum jurejurando per dicentem ad illum : Juravit Dominus, et non pœnitentia ducetur : Tu sacerdos in æternum, secundum ordinem Melchisedec.

22 In tantum præstantioris testamenti factus est sponsor Jesus.

23 Et illi quidem plures sunt facti sacerdotes, propter morte prohiberi permanere :

24 Hic autem propter manere eum in æternum, sempiternum habet sacerdotium :

25 Unde et salvare in perpetuum potest accedentes per ipsum Deo, semper vivens ad interpellandum pro eis.

26 Talis enim nobis decebat pontifex, sanctus, innocens, impollutus, segregatus à peccatoribus, et excelsior cælis factus :

27 Qui non habet quotidie necessitatem, quemadmodum pontifices, prius pro propriis peccatis hostias offere, deinde populi : hoc enim fecit semel, seipsum offerens.

28 Lex enim homines constituit pontifices, habentes infirmitatem : sermo autem jurisjurandi post legem, Filium in æternum perfectum.

CAPUT VIII.

1 CAPITULUM autem super dictis. Talem habemus pontificem, qui consedit in dextera sedis magnitudinis in cælis

2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

3 Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ.

4 Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα,

5 Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· "Ὅρα γὰρ, φησὶ, ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει."

6 Νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.

8 Μεμφόμενος γὰρ αὐτοῖς λέγει· "Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν,

9 Οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.

10 Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐ-

2 Sanctorum minister, et tabernaculi veri, quod fixit Dominus, et non homo.

3 Omnis enim pontifex ad offerendum muneraque et hostias constituiter: unde necesse habere aliquid et hunc quod offerat.

4 Siquidem enim esset super terram, nec utique esset sacerdos, existentibus sacerdotibus offerentibus secundum legem munera:

5 Qui exemplari et umbræ deserviunt cælestium: sicut responso edoctus est Moses futurus absolvere tabernaculum: Vide enim, inquit, facias omnia secundum exemplar ostensum tibi in monte.

6 Nunc autem excellentius fortitus est ministerium, quanto melioris est testamenti mediator, quod in melioribus repromissionibus sancitum est.

7 Si enim prius illud esset inculpabile, non utique secundi quæreretur locus:

8 Vituperans enim eos dicit: Ecce, dies venient, dicit Dominus, et consummabo super domum Israël, et super domum Juda testamentum novum.

9 Non secundum testamentum quod feci patribus eorum in die apprehendente me manum eorum, educere illos de terra Ægypti: quoniam ipsi non permanserunt in testamento meo, et ego neglexi eos, dixit Dominus.

10 Quia hoc testamentum quod disponam domui Israël post dies illos, dicit Dominus, dans leges meas in mentem

τῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν·

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν,

12 Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι."

13 Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

Κεφ. θ'. 9

1 Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό,τε ἅγιον κοσμικόν·

2 Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἁγία.

3 Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων,

4 Χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης·

5 Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν

eorum, et in corde eorum inscribam eas: et ero eis in Deum, et ipsi erunt mihi in populum.

11 Et non docebunt unusquisque proximum suum, et unusquisque fratrem suum, dicens, Cognosce Dominum: quoniam omnes scient me, à parvo eorum usque ad magnum eorum:

12 Quia propitius ero injustitiis eorum, et peccatorum eorum et iniquitatum eorum non memorabor adhuc.

13 In dicere novum, veteravit prius: at antiquatum et senescens, prope evanescentiam.

CAPUT IX.

1 HABUIT quidem ergo et prius tabernaculum justificationes culturæ, illudque sanctum mundanum.

2 Tabernaculum enim apparatum est primum, in quo candelabra, et mensa, et propositio panum, quod dicitur sanctum.

3 Post autem secundum velamentum tabernaculum dictum Sancta sanctorum.

4 Aureum habens thuribulum, et arcam testamenti circumtectam undique auro, in qua urna aurea, habens manna, et virga Aaron germinata, et tabulæ testamenti.

5 Super autem eam Cherubim gloriæ, obumbrantia propitiatorium: de quibus non est modo dicendum per partes.

6 His vero ita compositis, in quidem priori tabernaculo sem-

διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς, τὰς λατρείας ἐπιτελοῦντες·

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτὸς μόνος ὁ ἀρχιερεὺς, ἀ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων,

8 Τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν,

9 Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα,

10 Μόνον ἐπὶ βρώμασι, καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως,

12 Οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

15 Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου, εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

per introibant sacerdotes, cultus consummantes.

7 In autem secundo semel in anno solus pontifex, non sine sanguine, quem offert pro suis et populi ignorantiis.

8 Hoc significante Spiritu sancto, nondum propalatam esse sanctorum viam, adhuc priore tabernaculo habente statum.

9 Quæ parabola in tempus præsens, juxta quod muneraque et hostiæ offeruntur, non potentes juxta conscientiam perficere cultorem,

10 Solummodo in cibis et potibus, et variis baptismatibus, et justitiis carnis, usque ad tempus correctionis imposita:

11 Christus autem adveniens pontifex futurorum bonorum, per majus et perfectius tabernaculum, non manufactum, id est, non hujus creationis,

12 Neque per sanguinem hircorum, et vitulorum, per autem proprium sanguinem introivit semel in Sancta, æternam redemptionem inveniens.

13 Si enim sanguis taurorum et hircorum, et cinis vitulæ aspergens inquinatos, sanctificat ad carnis emundationem:

14 Quanto magis sanguis Christi, qui per Spiritum æternum semetipsum obtulit inculpatum Deo, purgabit conscientiam nostram à mortuis operibus, ad serviendum Deo viventi?

15 Et propter hoc testamenti novi mediator est, ut morte intercedente, in redemptionem earum quæ sub priori testamento transgressionum, repromissionem accipiant vocati æternæ hæreditatis.

16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου.

17 Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μή ποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος.

18 Ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται·

19 Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐῤῥάντισε,

20 Λέγων· "Τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός."

21 Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐῤῥάντισε.

22 Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας.

24 Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν·

25 Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ·

26 Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

27 Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις,

16 Ubi enim testamentum, mortem necesse ferri testatoris.

17 Testamentum enim in mortuis ratum, quandoquidem nunquam valet dum vivit testator.

18 Unde nec primum sine sanguine dedicatum est:

19 Exposito enim omni mandato secundum legem à Moyse universo populo, accipiens sanguinem vitulorum et hircorum cum aqua et lana coccinea et hyssopo, ipsum quoque librum et omnem populum aspersit,

20 Dicens: Hic sanguis testamenti, quod mandavit ad vos Deus.

21 Etiam tabernaculum autem, et omnia vasa ministerii sanguine similiter aspersit.

22 Et bene in sanguine omnia mundantur secundum legem, et sine sanguinis effusione non fit remissio.

23 Necesse ergo quidem exemplaria eorum quæ in cælis, his mundari: ipsa autem cælestia melioribus hostiis præ istis.

24 Non enim in manufacta sancta introiit Christus, exemplaria verorum, sed in ipsum cælum, nunc apparere vultui Dei pro nobis.

25 Neque ut sæpe offerat semetipsum, quemadmodum pontifex intrat in Sancta per singulos annos in sanguine alieno:

26 Alioquin oportebat eum frequenter pati à constitutione mundi, nunc autem semel in consummatione seculorum, ad destitutionem peccati, per hostiam suam apparuit.

27 Et quemadmodum statutum est hominibus semel mori, post autem hoc judicium·

28 Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας, ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Κεφ. ι'. 10.

1 Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις, ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι·

2 Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους·

3 Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας·

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· "Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι·

6 Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας."

7 Τότε εἶπον· "Ἰδὲ ἥκω, ἐν κεφαλίδι βιβλίῳ γέγραπταί περί ἐμοῦ, τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου."

8 Ἀνώτερον λέγων· "Ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας·" αἵτινες κατὰ τὸν νόμον προσφέρονται,

9 Τότε εἴρηκεν· "Ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου." Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ.

10 Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε

28 Sic Christus semel oblatus, ad multorum tollere peccata, ex secundo sine peccato videbitur se expectantibus in salutem.

CAPUT X.

1 UMBRAM enim habens lex futurorum bonorum, non ipsam imaginem rerum per singulos annos eisdem ipsis hostiis quas offerunt in perpetuum, nunquam potest accedentes perficere:

2 Alioquin utique cessassent oblatæ, propter nullam habere ultra conscientiam peccatorum cultores, semel mundatos:

3 Sed in ipsis commemoratio peccatorum per singulos annos.

4 Impossibile enim sanguinem taurorum et hircorum auferre peccata:

5 Ideo ingrediens in mundum, dicit: Hostiam et oblationem non voluisti, corpus autem aptasti mihi.

6 Holocautomata et pro peccato non approbasti.

7 Tunc dixi: Ecce venio, in capite libri scriptum est de me, ad faciendum, Deus, voluntatem tuam.

8 Superias dicens: Quia hostiam, et oblationem, et holocautomata, et pro peccato noluisti, nec approbasti, quæ secundum legem offeruntur:

9 Tunc dixi: Ecce venio, ad faciendum, Deus, voluntatem tuam. Aufert primum, ut secundum statuat.

10 In qua voluntate sanctificati sumus per oblationem corporis Jesu Christi semel.

11 Et omnis quidem sacer-

καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας·

12 Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ,

13 Τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ·

14 Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον· μετὰ γὰρ τὸ προειρηκέναι·

16 "Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς,

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι."

18 Ὅπου δὲ ἄφεσις τούτων, οὐκ ἔτι προσφορὰ περὶ ἁμαρτίας.

19 Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ,

20 Ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ,

21 Καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ,

22 Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς,

23 Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος,

24 Καὶ κατανοῶμεν ἀλλήλους

dos astat quotidie ministrans, et easdem sæpe offerens hostias, quæ nunquam possunt auferre peccata.

12 Hic autem unam pro peccatis offerens hostiam, in sempiternum sedit in dextera Dei :

13 Reliquum expectans, donec ponantur inimici ejus scabellum pedum ejus :

14 Una enim oblatione consummavit in sempiternum sanctificatos.

15 Contestatur autem nobis et Spiritus sanctus : post enim prædixisse :

16 Hoc testamentum quod paciscar ad illos post dies illos, dicit Dominus, dans leges meas in cordibus eorum, et in mentibus eorum inscribam eas :

17 Et peccatorum eorum et iniquitatum eorum non recordabor amplius.

18 Ubi autem remissio horum, non jam oblatio pro peccato.

19 Habentes itaque, fratres, libertatem in introitum sanctorum in sanguine Jesu,

20 Quam initiavit nobis viam recentem et viventem per velamen, id est, carnem suam :

21 Et sacerdotem magnum super domum Dei :

22 Accedamus cum vero corde in plentitudine fidei, aspersi corda à conscientia mala :

23 Et abluti corpus aqua munda, teneamus confessionem spei indeclinabilem : fidelis enim pollicitus.

24 Et consideremus alii alios

εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων,

25 Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία·

27 Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

28 Ἀθετήσας τὶς νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει·

29 Πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας ;

30 Οἴδαμεν γὰρ τὸν εἰπόντα· "Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος·" καὶ πάλιν· "Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ.

31 Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος."

32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων,

33 Τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες·

34 Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν

in provocationem charitatis et bonorum operum :

25 Non deserentes collectionem nostram ipsorum, sicut mos quibusdam, sed adhortantes : et tanto magis, quanto videtis appropinquantem diem.

26 Ultro enim peccantibus nobis post accepisse notitiam veritatis, non jam pro peccatis relinquitur hostia :

27 Terribilis autem quædam expectatio judicii, et ignis æmulatio devorare futuri adversarios.

28 Irritam faciens quis legem Mosis, sine miserationibus in duobus vel tribus testibus moritur :

29 Quanto, putatis, deteriore dignus judicabitur supplicio Filium Dei conculcans, et sanguinem testamenti communem ducens, in quo sanctificatus est, et spiritum gratiæ contumelia afficiens ?

30 Scimus enim dicentem : Mihi ultio, ego retribuam, dicit Dominus. Et iterum : Dominus judicabit populum suum.

31 Horrendum incidere in manus Dei viventis.

32 Rememoramini autem pristinos dies, in quibus illuminati, multum certamen sustinuistis passionum :

33 Hoc quidem, opprobriisque et tribulationibus in theatrum producti : hoc autem, communicantes taliter conversantium effecti.

34 Et enim vinculis meis compassi estis, et rapinam subsistentium vestrorum cum gaudio suscepistis, cognoscentes

ἑαυτοῖς κρειτονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μίνουσαν.

35 Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.

36 Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν·

37 "Ετι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ·

38 Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ."

39 Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Κεφ. ιά. 11.

1 "Εστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων·

2 Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.

3 Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι.

4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

5 Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον· καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.

habere in vobis ipsis præstantiorem substantiam in cælis, et manentem.

35 Ne abjicite itaque fiduciam vestram, quæ habet remunerationem magnam.

36 Patientia enim habetis opus, ut voluntatem Dei facientes, reportetis promissionem.

37 Adhuc enim parvum quantum quantum, veniens veniet, et non tardabit.

38 At justus ex fide vivet: et si subtraxerit se, non bene gaudet anima mea in eo.

39 Nos autem non sumus subtractionis in perditionem, sed fidei in acquisitionem animæ.

CAPUT XI.

1 EST autem fides, sperandarum substantia rerum, argumentum non conspectarum.

2 In hac enim testimonium consecuti sunt senes.

3 Fide intelligimus constructa esse secula verbo Dei, in non ex apparentibus visibilia facta esse.

4 Fide majorem hostiam Abel præ Cain obtulit Deo, per quam testimonium consecutus est esse justus, testante in munieribus ejus Deo, et per illam mortuus adhuc prædicatur.

5 Fide Enoch translatus est ad non videndum mortem: et non inveniebatur, quia transtulit illum Deus: ante enim translationem ejus testimonium habuit beneplacuisse Deo.

6 Sine autem fide impossibile beneplacere: credere enim oportet accedentem Deo, quia est, et inquirentibus se remunerator fit.

7 Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

7 Fide divinitus monitus Noë de nondum visis, reveritus aptavit arcam in salutem domus suæ, per quam damnavit mundum, et ejus quæ per fidem justitiæ factus est hæres.

8 Πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε, μὴ ἐπιστάμενος ποῦ ἔρχεται.

8 Fide vocatus Abraham obedivit exire in locum quem futurus erat accipere in hæreditatem, et exiit, nesciens quo iret.

9 Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς·

9 Fide demoratus est Abraham in terram repromissionis, tanquam alienam, in taberna culis habitans cum Isaac et Jacob cohæredibus repromissionis ejusdem:

10 Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

10 Expectabat enim fundamenta habentem civitatem, cujus artifex et conditor Deus.

11 Πίστει καὶ αὐτὴ Σάῤῥα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον.

11 Fide et ipsa Sara sterilis existens virtutem in conceptionem seminis accepit, et præter tempus ætatis peperit, quoniam fidelem existimavit promittentem.

12 Διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

12 Ideo et ab uno orti sunt et hæc emortuo, tanquam sydera cæli multitudine, et sicut arena quæ ad labium maris innumerabilis.

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες, καὶ πεισθέντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς·

13 Juxta fidem mortui sunt isti omnes, non accipientes repromissiones; sed à longe eas aspicientes, et pursuasi, et salutantes, et confitentes, quia hospites et peregrini sunt super terram.

14 Οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.

14 Nam hujusmodi dicentes, ostendunt quod patriam inquirunt.

15 Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι.

15 Et si quidem ipsius meminissent de qua exierunt, habebant utique tempus revertendi:

16 Νυνὶ δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου· διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος,

18 Πρὸς ὃν ἐλαλήθη· Ὅτι "ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα."

19 Λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ Θεὸς, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

20 Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ.

21 Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

22 Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

23 Πίστει Μωσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον· καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.

24 Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ,

25 Μᾶλλον ἐλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν,

26 Μείζοντ πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.

27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε.

16 Nunc autem meliorem appetunt, id est cælestem ; ideo non erubescit eos Deus, Deus invocari eorum : paravit enim illis civitatem.

17 Fide obtulit Abraham Isaac tentatus, et unigenitum offerebat ille repromissiones accipiens :

18 Ad quem dictum est: Quia in Isaac vocabitur tibi semen :

19 Arbitrans quia et à mortuis suscitare potens Deus : unde eum et in parabola accepit.

20 Fide, de futuris benedixit Isaac Jacob et Esau.

21 Fide, Jacob moriens unumquemque filiorum Joseph benedixit, et adoravit super summitatem virgæ suæ.

22 Fide, Joseph moriens de egressione filiorum Israël meminit, et de ossibus suis mandavit.

23 Fide, Moses natus occultatus est trimestre à parentibus suis, eo quod vidissent elegantem infantem ; et non timuerunt edictum regis.

24 Fide, Moses grandis factus negavit dici filius filiæ Pharaonis :

25 Magis eligens malis affligi cum populo Dei, quam temporarium habere peccati emolumentum :

26 Majores divitias æstimans Ægypti theasauris improperium Christi : aspiciebat enim in remunerationem.

27 Fide reliquit Ægyptum, non veritus animositatem regis: invisibilem enim tanquam videns fortiter tulit.

28 Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν.

28 Fide fecit Pascha et fusionem sanguinis, ne perimeret primogenita, tangeret eos.

29 Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.

29 Fide transierunt per rubrum mare tanquam per aridam: cujus experientiam accipientes Ægyptii absorpti sunt

30 Πίστει τὰ τείχη Ἰεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

30 Fide muri Jericho corruerunt, circuiti per septem dies

31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

31 Fide Rahab meretrix non periit cum incredulis, excipiens exploratores cum pace.

32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψών, καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν,

32 Et quid adhuc dico? deficiet enim me perenarrantem tempus, de Gedeon, Baracque et Sampson, et Jepthe, Davidque et Samuel, et Prophetis:

33 Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων,

33 Qui per fidem devicerunt regna, operati sunt justitiam, adepti sunt repromissiones, obturaverunt ora leonum.

34 Ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων·

34 Extinxerunt vim ignis, effugerunt ora gladii, convaluerunt de infirmitate, facti sunt fortes in bello, castra verterunt exterorum:

35 Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν·

35 Acceperunt mulieres de resurrectione mortuos suos: alii autem distenti sunt, non suscipientes redemptionem, ut meliorem resurrectionem nanciscerentur.

36 Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς·

36 Alii vero ludibriorum et flagellorum experientiam acceperunt, etiam autem vinculorum et custodiæ:

37 Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι,

37 Lapidati sunt, secti sunt, tentati sunt, in occisione gladii mortui sunt, circuierunt in ovillis, in caprinis pellibus: egentes, afflicti, male habiti:

38 Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

38 Quibus non erat dignus mundus, in solitudinibus errantes, et montibus, et speluncis, et cavernis terræ.

39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,

40 Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Κεφ. ιβ'. 12.

1 Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα,

2 Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τῷ θρόνῳ τοῦ Θεοῦ ἐκάθισεν.

3 Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμνηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.

4 Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι,

5 Καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· "Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος·

6 Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται."

7 Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;

8 Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.

9 Εἶτα τὲς μὲν τῆς σαρκὸς ἡμῶν

39 Et hi omnes testimonio probati per fidem, non reportarunt repromissionem :

40 Deo pro nobis melius aliquid providente, ut non sine nobis consummarentur.

CAPUT XII.

1 IDEOQUE et nos tantam habentes circumjacentem nobis nubem testium, pondus deponentes omne, et circumstabile peccatum, per patientiam curramus propositum nobis certamen :

2 Aspicientes in fidei auctorem et consummatorem Jesum, qui pro proposito sibi gaudio, sustinuit crucem, confusione contempta, in dexteraque throni Dei sedit.

3 Recogitate ergo talem sustinentem à peccatoribus in semetipsum contradictionem, ut ne fatigemini animis vestris deficientes.

4 Nondum usque ad sanguinem restitistis, adversus peccatum repugnantes.

5 Et obliti estis exhortationis, quæ vobis tanquam filiis disseritur : Fili mi, ne parvipende disciplinam Domini, neque fatiscas ab eo argutus :

6 Quem enim diligit Dominus, castigat : flagellat autem omnem filium quem recipit.

7 Si disciplinam sustinetis, tanquam filiis vobis offert se Deus : quis enim est filius, quem non corrigit pater ?

8 Si autem absque estis disciplina, cujus participes facti sunt omnes, utique nothi estis, et non filii.

9 Deinde quidem carnis nos-

πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν ;

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ, ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

11 Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε,

13 Καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον,

15 Ἐπισκοποῦντες μήτις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μήτις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί·

16 Μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ·

17 Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

18 Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ,

19 Καὶ σάλπιγγος ἤχῳ, καὶ

træ patres habuimus castigatores, et reverebamur : non multo magis obtemperabimus Patri spirituum, et vivemus ?

10 Illi quidem enim ad paucos dies, secundum visum ipsis, castigabant : hic autem ad commodum, ad recipiendum sanctitatem ejus.

11 Omnis autem disciplina ad quidem præsens non videtur gaudii esse, sed mœroris : postea autem fructum pacificum per eam exercitatis reddit justitiæ.

12 Ideo remissas manus et soluta genua erigite :

13 Et gressus rectos facite pedibus vestris, ut non claudum abducatur, sanetur autem magis.

14 Pacem sequimini cum omnibus, et sanctimoniam, qua sine nemo videbit Dominum :

15 Contemplantes ne quis deficiat à gratia Dei : ne qua radix amaritudinis sursum germinans impediat, et per illam inquinentur multi.

16 Ne quis fornicator, aut prophanus, ut Esau : qui propter escam unam vendidit primogenita sua.

17 Scitis enim quoniam et postea volens hæreditare benedictionem, reprobatus est : pœnitentiæ enim locum non invenit, quanquam cum lachrymis exquirens eam.

18 Non enim accessistis tractabilem montem, et incensum igne, et turbinem, et caliginem, et procellam,

19 Et tubæ sonum, et vocem

φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρητήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον·

20 Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· "Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται."

21 Καὶ οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον, Μωσῆς εἶπεν· "Ἔκφοβός εἰμι καὶ ἔντρομος."

22 Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων,

23 Πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων,

24 Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρείττονα λαλοῦντι παρὰ τὸν Ἄβελ.

25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα· εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι,

26 Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται, λέγων· "Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν."

27 Τὸ δὲ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας·

29 "Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον."

verborum, quam audientes deprecati sunt non proponi eis verbum.

20 Non portabant enim imperatum: Et si bestia tetigerit montem lapidabitur, aut jaculo configetur.

21 Et, ita terribile erat apparens, Moses dixit: Exterritus sum, et tremebundus.

22 Sed accessistis Sion montem, et civitatem Dei viventis, Hierusalem cælestem, et myriades angelorum,

23 Frequentiam et ecclesiam primogenitorum in cælis conscriptorum, et judicem Deum omnium, et spiritus justorum perfectorum.

24 Et testamenti novi mediatorem Jesum, et sanguinem aspersionis præstantiora loquentem præ Abel.

25 Videte ne recusetis loquentem: si enim illi non effugerunt illum super terram recusantes oracula edentem: multo magis nos illum de cælis aversati:

26 Cujus vox terram movit tunc: nunc autem denuntiavit, dicens: adhuc semel ego moveo non solum terram, sed et cælum.

27 Illud autem, adhuc semel, declarat mobilium translationem, tanquam factorum, ut maneant non mobilia.

28 Itaque regnum immobile suscipientes, habeamus gratiam, per quam serviamus grate Deo, cum reverentia et religione.

29 Etenim Deus noster ignis consumens

Κεφ. ιγ'. 13.

1 Ἡ Φιλαδελφία μενέτω.

2 Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους.

3 Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

4 Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

5 Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· "Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω."

6 Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· "Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος."

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.

9 Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

10 Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες.

11 Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς·

12 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε.

CAPUT XIII.

1 CHARITAS fraternitatis maneat.

2 Hospitalitatem ne oblivis cimini: per hanc enim latue runt quidam hospitio excipien tes angelos.

3 Mementote vinctorum, tan quam simul vincti: malis pressorum, tanquam et ipsi existentes in corpore.

4 Honorabile connubium in omnibus, et cubile immaculatum: fornicatores autem et adulteros judicabit Deus.

5 Pecuniæ non appetens mos: contenti præsentibus: ipse enim dixit: Non te deseram, neque te derelinquam

6 Ita ut confidentes nos dicere: Dominus mihi adjutor, et non timebo quid faciat mihi homo.

7 Mementote ducum vestrorum, qui locuti sunt vobis verbum Dei: quorum intuentes exitum conversationis, imitamini fidem.

8 Jesus Christus heri et hodie idem, et in secula.

9 Doctrinis variis et pere grinis ne circumferamini. pulchrum enim gratia stabiliri cor, non escis, in quibus non sunt adjuti ambulantes.

10 Habemus altare, de quo edere non habent potestatem tabernaculo servientes.

11 Quorum enim infertur ani malium sanguis pro peccato in Sancta per pontificem, horum corpora cremantur extra castra.

12 Ideo et Jesus, ut sanctifi caret per proprium sanguinem populum, extra portam passus est

13 Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες·

14 Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

15 Δι' αὐτοῦ οὖν "ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ," τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

18 Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι·

19 Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν,

21 Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ· ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν.

23 Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς.

13 Igitur exeamus ad eum extra castra, improperium ejus portantes.

14 Non enim habemus hic manentem civitatem, sed futuram inquirimus.

15 Per ipsum ergo offeramus hostiam laudis per omne Deo, id est, fructum labiorum confitentium nomini ejus.

16 At beneficentiæ et communionis ne obliviscimini: talibus enim hostiis beneplacet sibi Deus.

17 Obedite ducibus vestris, et subjacete; ipsi enim pervigilant pro animabus vestris, quasi rationem reddituri, ut cum gaudio hoc faciant, et non gementes: inutile enim vobis hoc.

18 Orate pro nobis: confidimus enim quia pulchram conscientiam habemus, in omnibus pulchre volentes conversari.

19 Amplius autem deprecor hoc facere: ut celerius restituar vobis.

20 At Deus pacis, reducens de mortuis pastorem ovium magnum, in sanguine testamenti æterni, Dominum nostrum Jesum Christum,

21 Aptet vos in omni opere bono, ad faciendum voluntatem ejus: faciens in vobis beneplacitum coram se, per Jesum Christum: cui gloria in secula seculorum. Amen.

22 Rogo autem vos, fratres, sufferte verbum solatii: etenim per brevia misi vobis.

23 Cognoscite fratrem Timotheum absolutum, cum quo, si celerius venerit, videbo vos

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

Πρὸς Ἑβραίους ἐγράφη ἀπὸ Ἰταλίας διὰ Τιμοθέου.

24 Salutate omnes duces vestros et omnes sanctos. Salutant vos illi de Italia.

25 Gratia cum omnibus vobis. Amen.

Ad Hebræos scripta est ab Italia per Timotheum.

ΙΑΚΩΒΟΥ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ

ΚΑΘΟΛΙΚΗ.

Κεφ. ά. 1.

1 Ἰάκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν.

2 Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις,

3 Γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν·

4 Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

5 Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος· καὶ δοθήσεται αὐτῷ·

6 Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.

7 Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου·

8 Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

JACOBI

Apostoli

EPISTOLA

CATHOLICA.

CAPUT I.

1 JACOBUS Dei et Domini Jesu Christi servus, duodecim tribubus quæ in dispersione, gaudere.

2 Omne gaudium ducite, fratres mei, cum tentationibus incideritis variis :

3 Scientes quod probatio vestræ fidei adoperatur patientiam :

4 At patientia opus perfectum habeat, ut sitis perfecti et integri, in nullo deficientes.

5 Si autem quis vestrum destituitur sapientia, postulet à dante Deo omnibus simpliciter, et non improperante, et dabitur ei.

6 Postulet autem in fide, nihil disceptans : nam disceptans similis est fluctui maris ventis agitato et jactato.

7 Non ergo æstimet homo ille quod accipiet aliquid à Domino.

8 Vir duplex animo, inconstans in omnibus viis suis.

9 Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ·

10 Ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται·

11 Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

13 Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα.

14 Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος·

15 Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.

16 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί·

17 Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.

18 Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

19 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν·

20 Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται.

21 Διὸ ἀποθέμενοι πᾶσαν ῥυ-

9 Glorietur autem frater humilis in sublimitate sua:

10 At dives in humilitate sua: quoniam sicut flos fœni transibit:

11 Exortus est enim sol cum ardore, et arefecit fœnum, et flos ejus decidit, et decor vultus ejus deperiit: ita et dives in itineribus suis marcescet.

12 Beatus vir qui suffert tentationem: quoniam probatus factus accipiet coronam vitæ, quam repromisit Dominus diligentibus se.

13 Nemo tentatus dicat, quoniam à Deo tentor: nam Deus intentatus est malis, tentat autem ipse neminem.

14 Unusquisque vero tentatur, à propria concupiscentia abstractus et illectus.

15 Deinde concupiscentia concipiens parit peccatum: at peccatum consummatum generat mortem.

16 Ne errate, fratres mei dilecti.

17 Omne datum bonum, et omne donum perfectum, superne est, descendens à Patre luminum, apud quem non est transmutatio, aut vicissitudinis obumbratio.

18 Volens genuit nos verbo veritatis, ad esse nos initium aliquod ejus creaturarum.

19 Itaque, fratres mei dilecti, sit omnis homo velox ad audiendum, tardus ad loquendum, tardus ad iram:

20 Ira enim viri justitiam Dei non adoperatur.

21 Ideo abjicientes omnem

παρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.

22 Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταί, παραλογιζόμενοι ἑαυτούς·

23 Ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ·

24 Κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν·

25 Ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

26 Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ' ἀπατῶν καρδίαν αὐτὲ, τούτου μάταιος ἡ θρησκεία.

27 Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ, αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανὲς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

sordem, et abundantiam malitiæ, in mansuetudine suscipite insitum verbum, potens salvare animas vestras.

22 Estote autem factores verbi, et non tantum auditores, fallentes vosmetipsos.

23 Quia si quis auditor verbi est, et non factor, hic similis est viro consideranti vultum nativitatis suæ in speculo :

24 Consideravit enim seipsum, et abiit, et statim oblitus est qualis fuerit.

25 At perspiciens in legem perfectam libertatis, et permanens, hic non auditor oblivionis factus, sed factor operis, hic beatus in facto suo erit.

26 Si quis videtur religiosus esse in vobis, non refrænans linguam suam, sed decipiens cor suum, hujus vana religio.

27 Religio munda et immaculata apud Deum et Patrem, hæc est, visitare pupillos et viduas in tribulatione eorum, immaculatum seipsum custodire à mundo.

Κεφ. Β'. 2.

1 Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστὲ τῆς δόξης·

2 Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι,

3 Καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ· Σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ εἴπητε· Σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου·

CAPUT II.

1 FRATRES mei, ne in personarum acceptione habete fidem Domini nostri Jesu Christi gloriæ.

2 Si enim introierit in conventum vestrum vir aureos habens annulos in veste candida, introierit autem et pauper in sordido habitu,

3 Et intendatis in ferentem vestem splendidam, et dixeritis ei : Tu sede hic pulchre : et pauperi dicatis : Tu sta illic aut sede hic sub scabello meo·

4 Καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν ;

5 Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί, οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου, πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν ;

6 Ὑμεῖς δὲ ἠτιμάσατε τὸν πλωχόν· οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια ;

7 Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς ;

8 Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν, κατὰ τὴν γραφήν· " Ἀγαπήσεις τὸν πλησίον σε ὡς σεαυτόν," καλῶς ποιεῖτε·

9 Εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου, ὡς παραβάται·

10 Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος·

11 Ὁ γὰρ εἰπών· " Μὴ μοιχεύσῃς," εἶπε καί· " Μὴ φονεύσῃς·" εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης νόμου.

12 Οὕτω λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι·

13 Ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος· καὶ κατακαυχᾶται ἔλεος κρίσεως.

14 Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν ;

15 Ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς,

4 Et non dijudicastis in vobis ipsis, et facti estis judices disceptationum malarum ?

5 Audite, fratres mei dilecti, nonne Deus elegit pauperes mundi, divites in fide, et hæredes regni quod repromisit diligentibus se ?

6 Vos autem exhonorastis pauperem, nonne divites per potentiam opprimunt vos, et ipsi trahunt vos ad judicia ?

7 Nonne ipsi blasphemant pulchrum nomen invocatum super vos ?

8 Si tamen legem perficitis regalem, secundum scripturam: Diliges proximum tuum sicut teipsum, pulchre facitis.

9 Si autem personam accipitis, peccatum operamini, redarguti à lege quasi transgressores.

10 Quicunque enim totam legem servabit, offendet autem in uno, factus est omnium reus.

11 Ille enim dicens: Non mœchaberis, dixit et: Non occides. si autem non mœchaberis, occides autem factus es transgressor legis.

12 Sic loquimini, et sic fa cite, sicut per legem libertatis futuri judicari.

13 Nam judicium sine misericordia non facienti misericordiam: et contra gloriatur misericordia judicium.

14 Quid utile, fratres mei, si fidem dicat quis habere, opera autem non habeat ? num potest fides salvare eum ?

15 Si autem frater aut soror nudi sint, et destituti fuerin. quotidiano victu,

16 Εἶπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν· Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε· μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος ;

17 Οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν.

18 Ἀλλ' ἐρεῖ τις, Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου.

19 Σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι.

20 Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν ;

21 Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ;

22 Βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη ;

23 Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· " Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη."

24 Ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον ;

25 Ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα ;

26 Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

16 Dicat autem aliquis illis ex vobis : Ite in pace, calefacite vos, et saturamini : non dederitis autem eis ea quæ necessaria corporis, quid illud utile ?

17 Sic et fides, si non opera habeat, mortua est secundum seipsam.

18 Sed dicet quis : Tu fidem habes, et ego opera habeo. ostende mihi fidem tuam ex operibus tuis, et ego ostendam tibi ex operibus meis fidem meam.

19 Tu credis quoniam Deus unus est; pulchre facis: et dæmones credunt, et contremiscunt.

20 Vis autem scire, ô homo inanis, quoniam fides sine operibus mortua est ?

21 Abraham pater noster nonne ex operibus justificatus est, offerens Isaac filium suum super altare ?

22 Vides quoniam fides cooperabatur operibus illius, et ex operibus fides consummata est ?

23 Et impleta est scriptura dicens : Credidit autem Abraham Deo, et reputatum est illi ad justitiam, et amicus Dei appellatus est.

24 Videtis igitur, quoniam ex operibus justificatur homo, et non ex fide tantum ?

25 Similiter autem et Raab meretrix nonne ex operibus justificata est, suscipiens nuntios, et alia via ejiciens ?

26 Sicut enim corpus sine spiritu mortuum est, ita et fides sine operibus mortua est.

Κεφ. γ'. 3.

1 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρίμα ληψόμεθα·

CAPUT III.

1 Ne multi magistri fiatis, fratres mei, scientes quoniam majus judicium capiemus

2 Πολλὰ γὰρ πταίομεν ἅπαντες· εἴ τις ἐν λόγῳ οὐ πταίει, ἅτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.

2 Multa enim offendimus omnes: si quis in verbo non offendit, hic perfectus vir, potens freno circum ducere et totum corpus.

3 Ἰδοὺ, τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν.

3 Ecce equis frena in ora mittimus ad obediendum ipsos nobis, et omne corpus illorum circumagimus.

4 Ἰδοὺ, καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται·

4 Ecce, et naves tantæ existentes, et à validis ventis impulsæ, circumferuntur à modico gubernaculo, quo impetus dirigentis voluerit:

5 Οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ, καὶ μεγαλαυχεῖ· ἰδοὺ, ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει.

5 Ita et lingua parvum membrum est, et magna gloriatur Ecce, exiguus ignis quantam materiam incendit!

6 Καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας· οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης.

6 Et lingua ignis, mundus iniquitatis: ita lingua constituitur in membris nostris, maculans totum corpus, et inflam mans rotam nativitatis, et inflammata à gehenna.

7 Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δαμάζεται, καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ·

7 Omnis enim natura, bestiarumque et volucrum, serpentiumque et marinorum, domatur et domita est naturæ humanæ:

8 Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι, ἀκατάσχετον κακόν· μεστὴ ἰοῦ θανατηφόρου.

8 At linguam nullus potest hominum domare: incoërcibile malum: plena veneno mortifero.

9 Ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας·

9 In ipsa benedicimus Deum, et Patrem, et in ipsa maledicimus homines ad similitudinem Dei factos.

10 Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. Οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι·

10 Ex eodem ore procedit benedictio et maledictio. Non oportet, fratres mei dilecti, hæc ita fieri.

11 Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν;

11 Numquid fons de eodem foramine emanat dulce et amarum?

12 Μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος

12 Nunquid potest, fratres mei, ficus oleas facere, aut vi-

σύκα ; οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ.

13 Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν ; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας.

14 Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας·

15 Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχικὴ, δαιμονιώδης·

16 Οὗπου γὰρ ζῆλος καὶ ἐρίθεια, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.

17 Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικὴς, εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος.

18 Καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Κεφ. δ'. 4.

1 Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν ; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν ;

2 Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε, καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε, καὶ πολεμεῖτε· οὐκ ἔχετε δὲ, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς·

3 Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε.

4 Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστιν ; ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται.

5 Ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ

tis ficus ? sic nullus fons salsam et dulcem facere aquam.

13 Si quis sapiens et peritus in vobis, ostendat ex pulchra conversatione opera sua in mansuetudine sapientiæ.

14 Si autem zelum amarum habetis et contentionem in corde vestro : ne gloriamini et mentimini adversus veritatem.

15 Non est ista sapientia desursum descendens, sed terrena, animalis, dæmoniaca :

16 Ubi enim zelus et irritatio, illic tumultuatio et omnis prava actio.

17 Illa autem supernè sapientia, primum quidem pudica est : deinde pacifica, modesta, benesuadibilis, plena misericordia et fructibus bonis, non dijudicans et non simulata.

18 Fructus autem justitiæ in pace seminatur facientibus pacem.

CAPUT IV.

1 UNDE bella et pugnæ in vobis ? Non hinc, ex voluptatibus vestris militantibus in membris vestris ?

2 Concupiscitis, et non habetis : occiditis, et zelatis, et non potestis adipisci : litigatis et belligeratis, non habetis autem, propter non petere vos.

3 Petitis, et non accipitis, eo quod male petitis, ut in voluptatibus vestris insumatis.

4 Adulteri et adulteræ, nescitis quia amicitia mundi inimicitia Dei est ? Quicunque ergo voluerit amicus esse mundi, inimicus Dei constituitur.

5 An putatis quia inaniter

λέγει " Πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκησεν ἐν ἡμῖν ;"

6 Μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει· " Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν."

7 Ὑποτάγητε οὖν τῷ Θεῷ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν.

8 Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν· καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι·

9 Ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν.

10 Ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς.

11 Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής.

12 Εἷς ἐστιν ὁ νομοθέτης ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ τίς εἶ, ὃς κρίνεις τὸν ἕτερον ;

13 Ἄγε νῦν οἱ λέγοντες· Σήμερον καὶ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν·

14 Οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν ; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη·

15 Ἀντὶ τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ ζήσωμεν, καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο.

16 Νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν.

Scriptura dicit : Ad invidiam concupiscit spiritus qui habitat in nobis ?

6 Majorem autem dat gratiam : Ideo dicit, Dominus superbis resistit, humilibus autem dat gratiam.

7 Subditi estote ergo Deo, resistite diabolo : et fugiet à vobis.

8 Appropinquate Deo, et appropinquabit vobis : Emundate manus, peccatores, et purificate corda, duplices animo.

9 Affligimini, et lugete, et plorate : risus vester in luctum convertatur, et gaudium in mœrorem.

10 Humiliamini in conspectu Domini, et exaltabit vos.

11 Ne contraloquimini alii aliis, fratres. Contraloquens fratri, et judicans fratrem suum, contraloquitur legi, et judicat legem : Si autem legem judicas, non es factor legis, sed judex.

12 Unus est legislator, potens servare et perdere : Tu autem quis es qui judicas alterum ?

13 Age nunc dicentes : Hodie aut cras ibimus in illam civitatem, et faciemus ibi annum unum, et mercabimur, et lucrabimur :

14 Qui ignoratis illud cras : Quæ enim vita vestra ? Vapor enim est ad modicum apparens, deinceps vero evanescens.

15 Pro dicere vos : Si Dominus voluerit, et vixerimus, et faciemus hoc aut illud.

16 Nunc autem gloriamini in superbiis vestris : Omnis gloriatio talis mala est

17 Εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

Κεφ. ε΄ 5.

1 Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις.

2 Ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν·

3 Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ· ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις.

4 Ἰδοὺ, ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν, κράζει· καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου σαβαὼθ εἰσεληλύθασιν.

5 Ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε· ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς,

6 Κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.

7 Μακροθυμήσατε οὖν, ἀδελφοὶ, ἕως τῆς παρουσίας τοῦ Κυρίου· ἰδοὺ, ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως ἂν λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον.

8 Μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἤγγικε.

9 Μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοὶ, ἵνα μὴ κριθῆτε· ἰδοὺ, ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν.

10 Ὑπόδειγμα λάβετε τῆς κακοπαθείας, ἀδελφοί μου, καὶ τῆς μακροθυμίας, τοὺς προφήτας οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου.

17 Scienti igitur bonum facere, et non facienti, peccatum illi est.

CAPUT V.

1 AGE nunc divites, plorate, ululantes in miseriis vestris superventuris.

2 Divitiæ vestræ putrefactæ sunt, et vestimenta vestra à tineis comesta facta sunt:

3 Aurum vestrum et argentum æruginavit, et ærugo eorum in testimonium vobis erit, et manducabit carnes vestras sicut ignis: Thesaurizastis in novissimis diebus.

4 Ecce merces operariorum metentium regiones vestras, intercepta à vobis, clamat: et clamores metentium in aures Domini Sabaoth introierunt.

5 Deliciati estis super terram, et lascivistis: enutristis corda vestra ut in die occisionis.

6 Condemnastis, occidistis justum: non resistit vobis.

7 Patientes estote igitur, fratres, usque ad adventum Domini. Ecce, agricola expectat pretiosum fructum terræ, patienter ferens in eum, donec accipiat pluviam matutinam et serotinam.

8 Patientes estote et vos, confirmate corda vestra, quoniam adventus Domini appropinquavit.

9 Ne ingemiscite adversus alii alios, fratres, ut non judicemini. Ecce, judex ante fores stetit.

10 Exemplum accipite, fratres mei, malorum perpessionis, et patientiæ, Prophetas qui locuti sunt nomine Domini

11 Ἰδοὺ, μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων.

12 Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ· ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε.

13 Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω.

14 Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου·

15 Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ.

16 Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη.

17 Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ.

18 Καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς.

19 Ἀδελφοὶ, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν,

20 Γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

11 Ecce beatificamus tolerantes. Tolerantiam Job audistis, et finem Domini vidistis, quoniam valde misericors est et miserator.

12 Ante omnia autem, fratres mei, ne jurate, neque cælum, neque terram, neque aliud quodcunque juramentum : sit autem vestrum Etiam, etiam : et Non, non : ut non sub judicium cadatis.

13 Tristatur aliquis in vobis? oret : Bono animo est quis ? psallat.

14 Infirmatur quis in vobis ? advocet presbyteros ecclesiæ, et orent super eum, ungentes eum oleo in nomine Domini.

15 Et oratio fidei servabit laborantem, et eriget eum Dominus : et si peccata fecerit, remittentur ei.

16 Confitemini alii aliis offensiones, et orate pro alii aliis, ut sanemini. multum valet deprecatio justi efficax.

17 Elias homo erat similiter passibilis nobis: et oratione oravit ad non pluendum : et non pluit super terram annos tres et menses sex.

18 Et rursum oravit, et cælum pluviam dedit, et terra germinavit fructum suum.

19 Fratres, si quis in vobis erraverit à veritate, et converterit quis eum,

20 Sciat quod convertens peccatorem ab errore viæ suæ, servabit animam à morte, et operiet multitudinem peccatorum.

ΠΕΤΡΟΥ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ

ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ.

Κεφ. ά. 1.

1 ΠΕΤΡΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας,

2 Κατὰ πρόγνωσιν Θεοῦ πατρὸς ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.

3 Εὐλογητὸς ὁ Θεὸς, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν,

4 Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς.

5 Τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως, εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ,

6 Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς,

7 Ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ τιμιώτερον χρυσίου, τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ·

8 Ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ,

PETRI

Apostoli

EPISTOLA

CATHOLICA PRIOR.

CAPUT I.

1 PETRUS Apostolus Jesu Christi, electis advenis dispersionis Ponti, Galatiæ, Cappadociæ, Asiæ, et Bithyniæ.

2 Secundum prænotionem Dei Patris, in sanctificatione Spiritus, in obedientiam et aspersionem sanguinis Jesu Christi: Gratia vobis et pax multiplicetur.

3 Benedictus Deus et Pater Domini nostri Jesu Christi, secundum multam suam misericordiam regenerans nos in spem vivam per resurrectionem Jesu Christi ex mortuis,

4 In hæreditatem incorruptibilem et incontaminatam et immarcescibilem, conservatam in cœlis in vos.

5 In virtute Dei custoditos per fidem, in salutem paratam revelari in tempore novissimo.

6 In quo exultatis, modicum nunc, si opus est, tristati in variis tentationibus:

7 Ut probatio vestræ fidei multo pretiosior auro, perdito, per ignem vero explorato, inveniatur in laudem et honorem et gloriam, in revelatione Jesu Christi:

8 Quem non videntes diligitis: in quem nunc non videntes, credentes autem, exultatis lætitia inenarrabili et glorificata:

9 Κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

10 Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες,

11 Ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ, προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας,

12 Οἷς ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

13 Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ,

14 Ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις,

15 Ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε,

16 Διότι γέγραπται· "Ἅγιοι γένεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι."

17 Καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε,

18 Εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου,

19 Ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ,

9 Reportantes finem fidei vestræ, salutem animarum:

10 De qua salute exquisierunt atque scrutati sunt Prophetæ de illa in vos gratia prophetantes:

11 Scrutantes in quod vel quale tempus significaret in eis Spiritus Christi, prætestatus in Christum passiones, et post hæc glorias:

12 Quibus revelatum est quia non sibimetipsis, nobis autem ministrabant ea, quæ nunc nuntiata sunt vobis, per euangelizantes vobis in Spiritu sancto misso de cælo, in quæ desiderant angeli prospicere.

13 Ideo succincti lumbos mentis vestræ, sobrii, perfecte sperate in latam vobis gratiam in revelatione Jesu Christi:

14 Quasi filii obedientiæ, non configurati illis prius in ignorantia vestra cupiditatibus:

15 Sed secundum vocantem vos Sanctum, et ipsi sancti in omni conversatione fiatis:

16 Quoniam scriptum est Sancti estote, quoniam ego sanctus sum.

17 Et si Patrem invocatis sine acceptione personarum judicantem secundum uniuscujusque opus, in timore commorationis vestræ tempus conversamini:

18 Scientes quod non corruptibilibus argento vel auro redempti estis de vana vestra conversatione paterna traditione accepta:

19 Sed pretioso sanguine quasi agni immaculati et incontaminati Christi:

20 Προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων δι' ὑμᾶς·

21 Τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς Θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν.

22 Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς,

23 Ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα.

24 Διότι "πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε·

25 Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα·" τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Κεφ. Β'. 2.

1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιὰς,

2 Ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε,

3 Εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος·

4 Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτὸν, ἔντιμον,

5 Καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.

20 Præcogniti quidem ante constitutionem mundi, manifestati autem in novissimis temporibus propter vos,

21 Per ipsum credentes in Deum suscitantem eum à mortuis, et gloriam ei dantem, ut fidem vestram et spem esse in Deum.

22 Animas vestras castificantes in obedientia veritatis per Spiritum, in fraternum amorem non simulatum, ex puro corde alii alios diligite impense :

23 Renati non ex semine corruptibili, sed incorruptibili, per verbum Dei vivi et permanentis in æternum.

24 Quia omnis caro ut fœnum, et omnis gloria hominis ut flos fœni : exaruit fœnum, et flos ejus decidit :

25 At verbum Domini manet in æternum : hoc autem est verbum euangelizatum in vos.

CAPUT II.

1 DEPONENTES igitur omnem malitiam, et omnem dolum, et simulationes, et invidias, et omnes oblocutiones,

2 Sicut modo geniti infantes, rationale sine dolo lac concupiscite, ut in eo augeamini :

3 Siquidem gustastis quoniam benignus Dominus.

4 Ad quem accedentes, lapidem vivum, ab hominibus quidem reprobatum, à autem Deo electum, honorabilem :

5 Et ipsi tanquam lapides vivi superædificamini, domus spiritualis, sacerdotium sanctum, offere hostias spirituales, bene acceptabiles Deo per Jesum Christum.

6 Διὸ καὶ περιέχει ἐν τῇ γραφῇ· "Ἰδὲ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ."

6 Propter quod continetur in Scriptura: Ecce pono in Sion lapidem summum angularem, electum, pretiosum: et credens in eo, non pudesiet.

7 Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν· ἀπειθοῦσι δὲ, "λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου·"

7 Vobis igitur honor credentibus: non credentibus autem, lapis quem reprobaverunt ædificantes, hic factus est in caput anguli, et lapis offensionis, et petra scandali.

8 Οἱ προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν·

8 Qui offendunt verbo, inpersuasi, in quod et positi sunt.

9 Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς·

9 Vos autem genus electum, regale sacerdotium, gens sancta, populus in vendicationem, ut virtutes annuntietis de tenebris vos vocantis in admirabile suum lumen.

10 Οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ· οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες."

10 Qui aliquando non populus, nunc autem populus Dei: qui non consecuti misericordiam, nunc autem misericordiam consecuti.

11 Ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς,

11 Dilecti, obsecro tanquam advenas et peregrinos, abstinere carnalibus desideriis, quæ militant adversus animam:

12 Τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλὴν· ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.

12 Conversationem vestram habentes honestam in Gentitibus: ut in quo obloquuntur vobis, ut malefactoribus, ex bonis operibus inspicientes, glorificent Deum in die visitationis.

13 Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει, διὰ τὸν Κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι·

13 Subjecti estote igitur omni humanæ creaturæ propter Dominum: sive regi, quasi eminenti:

14 Εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν·

14 Sive præsidibus, ut per eum missis, ad vindictam quidem malefactorum, laudem vero beneagentium:

15 Ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν·

15 Quia sic voluntas Dei, benefacientes capistrare imprudentium hominium ignorantiam:

16 Ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ.

17 Πάντας τιμήσατε· Τὴν ἀδελφότητα ἀγαπᾶτε· Τὸν Θεὸν φοβεῖσθε· Τὸν βασιλέα τιμᾶτε.

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς·

19 Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως·

20 Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες, καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ·

21 Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ,

22 "Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·"

23 Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως·

24 "Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον·" ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν· "οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε."

25 Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα· ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

Κεφ. γ'. 3.

1 Ὁμοίως αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται,

16 Quasi liberi, et non quasi velamen habentes malitiæ libertatem, sed sicut servi Dei.

17 Omnes honorate: Fraternitatem diligite: Deum timete: Regem honorificate.

18 Servi, subditi in omni timore dominis, non tantum bonis et æquis, sed etiam pravis

19 Hoc enim gratia, si propter conscientiam Dei suffert quis tristitias, patiens injuste.

20 Quæ enim laus, si peccantes et colaphizati sufferetis? Sed si bene facientes, et patientes sustinebitis, hoc gratia apud Deum.

21 In hoc enim vocati estis, quia et Christus passus est pro vobis, vobis relinquens exemplum, ut sequamini vestigia ejus:

22 Qui peccatum non fecit, nec inventus est dolus inore ejus.

23 Qui convitiis affectus non contra convitiabatur, patiens non minabatur: tradebat autem judicanti juste:

24 Qui peccata nostra ipse pertulit in corpore suo super lignum: ut peccatis mortui, justitiæ vivamus: cujus vibice ejus sanati estis:

25 Eratis enim sicut oves errantes: sed conversi estis nunc ad pastorem et episcopum animarum vestrarum.

CAPUT III.

1 SIMILITER mulieres subditæ propriis viris, ut et si qui non suadentur verbo, per mulierum conversationem sine verbo lucrifiant:

2 Ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν.

3 Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος,

4 Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές·

5 Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν, ἐκόσμουν ἑαυτὰς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν,

6 Ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραὰμ, κύριον αὐτὸν καλοῦσα· ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

7 Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες,

9 "Μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας·" τοὐναντίον δὲ, εὐλογοῦντες· εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε.

10 "Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτῆς ἀπὸ κακῆς, καὶ χείλη αὐτῆς, τοῦ μὴ λαλῆσαι δόλον.

11 Ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν.

12 "Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά."

2 Aspicientes in timore castam conversationem vestram.

3 Quarum sit non extrinsecus implicationis capillorum, et circumpositionis aureorum, aut indumenti vestimentorum ornatus:

4 Sed ille absconditus cordis homo, in incorruptibilitate lenis et quieti spiritus, qui est in conspectu Dei pretiosus.

5 Sic enim aliquando et sanctæ muleires sperantes in Deum, ornabant seipsas, subjectæ propriis viris:

6 Sicut Sara obediebat Abrahæ, dominum eum vocans: cujus factæ estis natæ, benefacientes, et non timentes ullam consternationem animi.

7 Viri similiter, cohabitantes secundum cognitionem, quasi infirmiori vasi muliebri tribuentes honorem, tanquam et cohæredibus gratiæ vitæ, ad non intercidi orationes vestras.

8 At finis, omnes unanimes, compatientes, fraternitatis amatores, misericordes, humiles.

9 Non reddentes malum pro malo, aut convitium pro convitio: contrarium vero, benedicentes: scientes quia in hoc vocati estis, ut benedictionem hæreditate possideatis.

10 Nam volens vitam diligere, et videre dies bonos, coërceat linguam à malo, et labia sua non loqui dolum.

11 Declinet à malo, et faciat bonum: inquirat pacem, et sequatur eam.

12 Quia oculi Domini super justos, et aures ejus in preces eorum: Vultus autem Domini super facientes mala.

13 Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε;

14 Ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι· "τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε·

15 Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν·" ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου,

16 Συνείδησιν ἔχοντες ἀγαθήν· ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν·

17 Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλει, τὸ θέλημα τοῦ Θεοῦ πάσχειν, ἢ κακοποιοῦντας,

18 "Οτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων· ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι,

19 Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν

20 Ἀπειθήσασί ποτε, ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε, κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι, τουτέστιν ὀκτὼ, ψυχαὶ διεσώθησαν δι' ὕδατος·

21 Ὃ καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεὸν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ,

22 Ὃς ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς οὐρανὸν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

13 Et quis male tractaturus vos, si boni imitatores sueritis?

14 Sed si et patimini propter justitiam, beati: At timorem eorum ne timueritis, neque conturbemini.

15 Dominum autem Deum sanctificate in cordibus vestris: parati vero semper ad apologiam omni poscenti vos rationem de ea in vobis spe, cum modestia et timore:

16 Conscientiam habentes bonam, ut in eo quod obloquuntur vobis ut malefactoribus, pudefiant calumniantes vestram bonam in Christo conversationem.

17 Melius enim benefacientes, si vult voluntas Dei, pati, quam male facientes:

18 Quia et Christus semel pro peccatis passus est, justus pro injustis; ut nos offerret Deo, mortificatus quidem carne, vivificatus autem spiritu.

19 In quo et in custodia spiritibus profectus prædicavit,

20 Incredulis aliquando, quando semel expectabat Dei longanimitas, in diebus Noë, apparata arca, in quam paucæ, id est octo, animæ servatæ sunt per aquam.

21 Cui et nos correspondens exemplar nunc salvat baptisma, non carnis depositio sordis, sed conscientiæ bonæ interrogatio in Deum, per resurrectionem Jesu Christi,

22 Qui est in dextera Dei, profectus in cælum, subjectis sibi angelis, et potestatibus, et virtutibus.

Κεφ. δ'. 4.

1 Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας,

2 Εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον·

3 Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις·

4 Ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες,

5 Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς·

6 Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι·

7 Πάντων δὲ τὸ τέλος ἤγγικε. Σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς·

8 Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν·

9 Φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν.

10 Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτὲς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ.

11 Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χρισ-

CAPUT IV.

1 CHRISTO igitur passo pro nobis carne, et vos eadem cogitatione armamini, quia passus in carne, destitit peccato,

2 In non amplius hominum desideriis, sed voluntati Dei reliquum in carne vivere tempus.

3 Sufficiens enim nobis præteritum tempus vitæ voluntatem Gentium adoperari, incedentes in proterviis, cupiditatibus, vinolentiis, commessationibus, potationibus, et nefariis idololatriis.

4 In quo peregrinantur non concurrentibus vobis in eandem luxuriæ confusionem, blasphemantes :

5 Qui reddent rationem parate habenti judicare vivos et mortuos :

6 In hoc enim et mortuis euangelizatum est, ut judicentur quidem secundum homines carne, vivant autem secundum Deum spiritu.

7 Omnium autem finis appropinquavit: Prudentes estote itaque, et vigilate in orationes.

8 Ante omnia autem in vos ipsos charitatem propensam habentes : quia charitas operiet multitudinem peccatorum.

9 Hospitales in invicem, sine murmurationibus.

10 Unusquisque sicut accepit donum, in seipsos illud ministrantes, ut pulchri dispensatores variæ gratiæ Dei.

11 Si quis loquitur, ut eloquia Dei : si quis ministrat, tanquam ex virtute quam suppeditat Deus : ut in omnibus

τοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

12 Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος,

13 Ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.

14 Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται.

15 Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος·

16 Εἰ δὲ ὡς Χριστιανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ μέρει τούτῳ,

17 Ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ;

18 Καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

19 Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὡς πιστῷ κτιστῇ παρατιθέσθωσαν τὰς ψυχὰς ἑαυτῶν ἐν ἀγαθοποιΐᾳ.

glorificetur Deus per Jesum Christum, cui est gloria et imperium in secula seculorum Amen.

12 Dilecti, ne peregrinamini illa in vobis ignitione ad experimentum vobis facta, sicut peregrino vobis contingente:

13 Sed sicut communicatis Christi passionibus, gaudete: ut et in revelatione gloriæ ejus gaudeatis exultantes.

14 Si probris afficimini in nomine Christi, beati: quoniam gloriæ et Dei Spiritus super vos requiescit; secundum quidem eos blasphematur, secundum autem vos glorificatur.

15 Non enim quis vestrum patiatur quasi homicida, aut fur, aut maleficus, aut ut alienorum explorator:

16 Si autem ut Christianus, non pudeat: glorificet autem Deum in parte hac.

17 Quoniam tempus incipi judicium à domo Dei. Si autem primum à nobis, quis finis in pursua sorum Dei euangelio?

18 Et si justus vix salvatur, impius et peccator ubi apparebit?

19 Itaque et patientes secundum voluntatem Dei, ut fideli creatori commendent animas suas in beneficentia.

Κεφ. έ. 5.

1 ΠΡεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος, καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός,

2 Ποιμάναλε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες, μὴ ἀναγ-

CAPUT V.

1 PRESBYTEROS in vobis obsecro, ut compresbyter, et testis Christi passionum, qui et futuræ revelari gloriæ particeps.

2 Pascite in vobis gregem Dei, prospicientes non coacte,

καστῶς, ἀλλ' ἑκουσίως· μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως·

3 Μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου·

4 Καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

5 Ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ ἀλλήλοις ὑπολασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι "ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν."

6 Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ,

7 Πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν.

8 Νήψατε, γρηγορήσατε· ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ·

9 ὯΙ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι.

10 Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι.

11 Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

12 Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ, εἰς ἣν ἐστήκατε.

13 Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ υἱός μου.

14 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης· εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

sed spontanee : neque turpis lucri gratia, sed prompto animo:

3 Neque ut dominantes cleris, sed exemplaria facti gregis.

4 Et apparente principe pastorum, reportabitis immarcescibilem gloriæ coronam.

5 Similiter juniores subditi estote senioribus : omnes autem alii aliis subditi, humilitate animi insinuate, quia Deus superbis resistit, humilibus autem dat gratiam.

6 Humiliamini igitur sub potentem manum Dei, ut vos exaltet in tempore :

7 Omnem solicitudinem vestram projicientes in eum : quoniam ipsi cura est de vobis.

8 Sobrii estote, vigilate, quia adversarius vester diabolus tanquam leo rugiens, ambulat quærens quem devoret.

9 Cui resistite firmi fide : scientes eadem passionum in mundo vestræ fraternitati impleri.

10 At Deus omnis gratiæ, vocans nos in æternam suam gloriam in Christo Jesu, modicum passos ipse perficiat vos, confirmet, roboret, fundet.

11 Ipsi gloria, et imperium in sæcula seculorum. Amen.

12 Per Sylvanum vobis fidelem fratrem, ut arbitror, per pauca scripsi, obsecrans et contestans hanc esse veram gratiam Dei in quam statis.

13 Salutat vos in Babylone coëlecta, et Marcus filius meus.

14 Salutate alii alios in osculo charitatis. Pax vobis omnibus in Christo Jesu. Amen.

ΠΕΤΡΟΥ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ

ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ.

Κεφ. ά. 1.

1 Συμεὼν Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν, ἐν δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ·

2 Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ Θεοῦ, καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν·

3 Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς,

4 Δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς.

5 Καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν,

6 Ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν,

7 Ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.

8 Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα, καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν·

9 ὯΙ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν

PETRI

Apostoli

CATHOLICA

EPISTOLA SECUNDA.

CAPUT I.

1 SIMEON Petrus, servus et Apostolus Jesu Christi, æque pretiosam nobis sortitis fidem in justitia Dei nostri et Salvatoris Jesu Christi :

2 Gratia vobis et pax adimpleatur in cognitione Dei, et Jesu Domini nostri :

3 Quomodo omnia nobis divinæ virtutis suæ ad vitam et pietatem donatæ, per cognitionem vocantis nos per gloriam et virtutem :

4 Per quæ pretiosa nobis et maxima promissa donata sunt : ut per hæc efficiamini divinæ consortes naturæ, fugientes ab illa in mundo in cupiditate corruptione.

5 Et hoc ipsum autem studium omne adinferentes subministrate in fide vestra virtutem, in autem virtute cognitionem,

6 In autem cognitione temperantiam, in autem temperantia tolerantiam, in autem tolerantia pietatem,

7 In autem pietate amorem fraternitatis, in autem amore fraternitatis charitatem.

8 Hæc enim vobis adsistentia, et exuberantia, non otiosos nec sine fructu constituunt in Domini nostri Jesu Christi cognitionem.

9 Cui enim non adsunt hæc, cæcus est, non procul cernens, oblivionem accipiens purgationis veterum suorum delictorum.

10 Διὸ μᾶλλον, ἀδελφοὶ, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε·

11 Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

12 Διὸ οὐκ ἀμελήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ.

13 Δίκαιον δὲ ἡγοῦμαι, ἐφ, ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει,

14 Εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι.

15 Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι·

16 Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος·

17 Λαβὼν γὰρ παρὰ Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· " Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδόκησα."

18 Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ.

19 Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυ-

10 Ideo magis, fratres, studete firmam vestram vocationem et electionem facere : hæc enim facientes non impingetis aliquando.

11 Sic enim abundanter subministrabitur vobis introitus in æternum regnum Domini nostri et Salvatoris Jesu Christi.

12 Ideo non negligam semper vos commonere de his, quamvis scientes, et confirmatos in præsenti veritate.

13 Justum autem arbitror, ad quantum sum in hoc tabernaculo, persuscitare vos in commonitione :

14 Sciens quod velox est depositio tabernaculi mei, sicut et Dominus noster Jesus Christus significavit mihi.

15 Studebo autem et singulatim habere vos post meum exitum, horum memoriam facere.

16 Non enim sophisticatas fabulas secuti notam fecimus vobis Domini nostri Jesu Christi virtutem et præsentiam, sed speculatores facti illius magnitudinis.

17 Accipiens enim à Deo Patre honorem et gloriam, voce delata ei hujuscemodi à magnifica gloria : Hic est Filius meus dilectus, in quem ego beneplacui.

18 Et hanc vocem nos audivimus de cælo allatam, cum ipso existentes in monte sancto

19 Et habemus firmiorem propheticum sermonem, cui bene facitis attendentes, quasi lucernæ apparenti in caliginoso

γάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν,

20 Τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται·

21 Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι.

Κεφ. β'. 2.

1 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν,

2 Καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται,

3 Καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει.

4 Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρίσιν τετηρημένους·

5 Καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ' ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας.

6 Καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς·

7 Καὶ δίκαιον Λὼτ, καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς, ἐῤῥύσατο·

8 Βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν.

loco, usque quo dies elucescat, et lucifer oriatur in cordibus vestris.

20 Hoc primum cognoscentes, quod omnis prophetia scripturæ, propriæ interpretationis non fit.

21 Non enim voluntate hominis allata est aliquando prophetia, sed à Spiritu sancto acti locuti sunt sancti Dei homines

CAPUT II.

1 FUERUNT vero et pseudoprophetæ in populo, sicut et in vobis erunt falsi doctores, qui adintroducent sectas perditionis, et mercatum eos Dominum negantes, inferentes sibi ipsis celerem perditionem.

2 Et multi sequentur eorum perditione, per quos via veritatis blasphemabitur.

3 Et in avaritia fictis verbis vos negotiabuntur : quibus judicium ex olim non cessat, et perditio eorum non dormitat.

4 Si enim Deus angelis peccantibus non pepercit, sed catenis caliginis detrudens in tartarum tradidit in judicium servatos :

5 Et antiquo mundo non pepercit, sed octavum Noë justitiæ præconem custodivit, diluvium mundo impiorum inducens :

6 Et civitatis Sodomorum et Gomorrhæ in cinerem redigens eversione damnavit, exemplum futurorum impie agere ponens:

7 Et justum Lot fatigatum à nefandorum in luxuria conversatione eripuit

8 Aspectu enim et auditu ille justus habitans in ipsis, diem ex die animam justam iniquis operibus cruciabat.

9 Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν·

9 Novit Dominus pios de tentationibus eripere, iniquos vero in diem judicii cruciandos servare :

10 Μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας· τολμηταί, αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦντες·

10 Maxime autem post carnem in concupiscentia immunditiæ ambulantes, et dominationes contemnentes ; audaces, sibi placentes, dignitates non horrent blasphemantes.

11 Ὅπου ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν.

11 Ubi angeli, fortitudine et virtute majores existentes, non portant adversum eos à Domino blasphemum judicium.

12 Οὗτοι δὲ, ὡς ἄλογα ζῶα φυσικὰ, γεγεννημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσι βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καὶ φθαρήσονται,

12 Hi vero velut irrationabilia animantia naturalia, nata in captionem et corruptionem, in his quæ ignorant blasphemantes, in corruptione sua corrumpentur :

13 Κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφὴν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν, συνευωχούμενοι ὑμῖν,

13 Reportantes mercedem injustitiæ, voluptatem existimantes in die delicias, labes et maculæ, luxuriantes in deceptionibus suis, coëpulantes vobis.

14 Ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος, καὶ ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες, κατάρας τέκνα·

14 Oculos habentes plenos adulteræ, et incessabiles peccati, inescantes animas instabiles, cor exercitatum avaritiis habentes, maledictionis nati.

15 Καταλιπόντες τὴν εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν,

15 Derelinquentes rectam viam, erraverunt, secuti viam Balaam, filii Bosor, qui mercedem iniquitatis amavit :

16 Ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν.

16 Correptionem verbo habuit propriæ transgressionis legis : subjugale mutum, in hominis voce loquutum, prohibuit Prophetæ insipientiam.

17 Οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.

17 Hi sunt fontes sine aqua, nebulæ à turbine exagitatæ : quibus caligo tenebrarum in æternum reservata fuit.

18 Ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι δελεάζουσιν ἐν ἐπιθυ-

18 Superba enim vanitatis loquentes inescant in desideriis

μίαις σαρκὸς, ἀσελγείας, τὲς ὄντως ἀποφυγόντας τοὺς ἐν πλάνῃ ἀναστρεφομένους,

19 Ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται.

20 Εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τῷ Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστῷ, τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων·

21 Κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς.

22 Συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· "Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα·" καί· Ὗς λουσαμένη, εἰς κύλισμα βορβόρου.

Κεφ. γ'. 3.

1 Ταύτην ἤδη, ἀγαπητοὶ, δευτέραν ὑμῖν γράφω ἐπιστολὴν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν,

2 Μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς, τοῦ Κυρίου καὶ Σωτῆρος.

3 Τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμπαῖκται, κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι,

4 Καὶ λέγοντες· Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ' ἀρχῆς κτίσεως.

5 Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι,

carnis, in luxuriis, aufugientes vere in errore versatos.

19 Libertatem illis promittentes, ipsi servi existentes corruptionis; cui enim quis superatus est, huic et servus factus est.

20 Nam si aufugientes inquinamenta mundi in cognitione Domini et Salvatoris Jesu Christi, his vero rursus implicati superantur, facta sunt eis posteriora deteriora prioribus.

21 Melius enim erat illis non agnovisse viam justitiæ, quam agnoscentibus reverti ex tradito eis sancto mandato.

22 Contigit autem eis illud veri proverbii, Canis reversus ad proprium vomitum: et: sus lota, in volutabrum luti.

CAPUT III.

1 HANC jam, dilecti, secundam vobis scribo epistolam, in quibus excito vestram in commonitione sinceram mentem:

2 Meminisse prædictorum verborum à sanctis Prophetis, et Apostolorum vestrorum mandati, Domini et Salvatoris:

3 Hoc primum scientes, quod venient in novissimo dierum irrisores, juxta proprias concupiscentias suas ambulantes:

4 Et dicentes: Ubi est promissio adventus ejus? ex quo enim patres dormierunt, omnia sic permanent ab initio creationis.

5 Latet enim eos hoc volentes, quod cæli erant jam olim, et

καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συνεστῶσα, τῷ τοῦ Θεοῦ λόγῳ·

6 Δι' ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο·

7 Οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ αὐτῷ λόγῳ τεθησαυρισμένοι εἰσὶ, πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων.

8 Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοὶ, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη, ὡς ἡμέρα μία.

9 Οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγῆνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.

10 Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται.

11 Τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις,

12 Προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσόμενα τήκεται;

13 Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ.

14 Διὸ, ἀγαπητοὶ, ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ,

15 Καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε· καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν,

terra ex aqua et per aquam consistens, Dei verbo:

6 Per quæ ille tunc mundus aqua inundatus periit.

7 At nunc cæli et terra eo ipso verbo repositi sunt, igni servati in diem judicii et perditionis impiorum hominum:

8 Unum vero hoc non lateat vos, dilecti, quia unus dies apud Dominum sicut mille anni, et mille anni sicut unus dies.

9 Non tardat Dominus promissionem, sicut quidam tarditatem ducunt: sed patienter agit in nos, non volens ullos perire, sed omnes ad pœnitentiam tendere.

10 Veniet autem dies Domini ut fur in nocte, in quo cæli stridenter præteribunt, elementa vero æstuantia solventur, et terra et quæ in ipsa opera exurentur.

11 His igitur omnibus solutis, quales oportet esse vos in sanctis conversationibus et pietatibus:

12 Expectantes et properantes adventum Dei diei, per quem cæli ardentes solventur, et elementa æstuantia liquescunt?

13 Novos vero cælos et terram novam secundum ipsius promissum expectamus, in quibus justitia habitat.

14 Ideo, dilecti, hæc expectantes, studete immaculati et inviolati et inveniri in pace.

15 Et Domini nostri longanimitatem, salutem arbitremini, sicut et dilectus noster frater Paulus secundum sibi datam sapientiam scripsit vobis:

16 Ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς, λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.

17 Ὑμεῖς οὖν, ἀγαπητοὶ, προγινώσκοντες, φυλάσσεσθε ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ·

18 Αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.

15 Sicut in et omnibus Epistolis loquens in eis de his, in quibus sunt defficilia intellectu quædam, quæ indocti et instabiles detorquent, sicut et cæteras scripturas, ad propriam ipsorum perditionem.

17 Vos igitur, dilecti, præcognoscentes, custodite, ut ne nefariorum errere simul traducti excidatis propria firmitate.

18 Crescite vero in gratia et cognitione Domini nostri et Salvatoris Jesu Christo. Ipsi gloria et nunc et in diem æternitatis. Amen.

ΙΩΑΝΝΟΥ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ

ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ.

Κεφ. ά. 1.

1 Ὃ ἮΝ ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς,

2 Καὶ ἡ ζωὴ ἐφανερώθη· καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν·

3 Ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.

4 Καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

5 Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία

JOANNIS

Apostoli

EPISTOLA

CATHOLICA PRIMA.

CAPUT I.

1 QUOD erat ab initio, quod audivimus, quod vidimus oculis nostris, quod spectavimus, et manus nostræ contrectaverunt de verbo vitæ.

2 Et vita manifesta est, et vidimus, et testamur, et annuntiamus vobis vitam æternam, quæ erat apud Patrem, et apparuit nobis.

3 Quod vidimus et audivimus, annunciamus vobis, ut et vos communionem habeatis cum nobis : et communio vero nostra cum Patre et cum Filio ejus Jesu Christo.

4 Et hæc scribimus vobis, ut gaudium vestrum sit plenum.

5 Et hæc est annuntiatio quam

ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστὶ, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.

6 Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν·

7 Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτι, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

8 Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν

9 Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας·

10 Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

audivimus ab eo, et annuntiamus vobis, quoniam Deus lux est, et tenebræ in eo non sunt ullæ.

6 Si dixerimus quoniam communionem habemus cum eo, et in tenebris ambulamus, mentimur, et non facimus veritatem :

7 Si autem in luce ambulamus, sicut ipse est in luce, communionem habemus alii cum aliis : et sanguis Jesu Christi Filii ejus emundat nos ab omni peccato :

8 Si dixerimus quoniam peccatum non habemus, nos ipsos decipimus, et veritas non est in nobis.

9 Si confitemur peccata nostra, fidelis est et justus, ut remittat nobis peccata, et emundet nos ab omni iniquitate.

10 Si dixerimus quoniam non peccavimus, mendacem facimus eum, et verbum ejus non est in nobis.

Κεφ. β'. 2.

1 Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον·

2 Καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

3 Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν·

4 Ὁ λέγων, Ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν·

5 Ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ

CAPUT II.

1 FILIOLI mei, hæc scribo vobis, ut non peccetis · Et si quis peccaverit advocatum habemus apud Patrem, Jesum Christum justum.

2 Et ipse propitiatio est pro peccatis nostris· non pro nostris autem tantum, sed etiam pro totius mundi.

3 Et in hoc scimus quoniam cognovimus eum, si mandata ejus observemus.

4 Dicens, novi eum, et mandata ejus non servans, mendax est, et in hoc veritas non est :

5 Qui autem servat ejus verbum, vere in hoc charitas Dei

Θεοῦ τετελείωται· ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν.

6 Ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν.

7 Ἀδελφοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε ἀπ' ἀρχῆς·

8 Πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ, καὶ ἐν ὑμῖν· ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει.

9 Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι·

10 Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἐστιν.

11 Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

12 Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ.

13 Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. Γράφω ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα.

14 Ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν.

15 Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ·

perfecta est: in hoc cognoscimus quoniam in ipso sumus.

6 Dicens in ipso manere, debet, sicut ille ambulavit, et ipse ita ambulare.

7 Fratres, non mandatum novum scribo vobis, sed mandatum vetus, quod habuistis ab initio. Mandatum vetus est verbum quod audistis ab initio.

8 Iterum mandatum novum scribo vobis, quod est verum in ipso, et in vobis; quia tene brætranseunt, et lumen verum jam lucet.

9 Dicens in luce esse, et fratrem suum, odio habens, in tenebris est usque adhuc.

10 Diligens fratrem suum, in lumine manet; et scandalum in eo non est.

11 Verum odio habens fratrem suum in tenebris est, et in tenebris ambulat, et nescit quo eat, quia tenebræ obcæcaverunt ejus oculos.

12 Scribo vobis, filioli, quoniam remittuntur vobis peccata propter nomen ejus.

13 Scribo vobis, patres, quoniam cognovistis eum ab initio. Scribo vobis, adolescentes, quoniam vicistis malignum. Scribo vobis, infantes, quoniam cognovistis Patrem.

14 Scripsi vobis, patres, quoniam cognovistis eum ab initio. Scripsi vobis, adolescentes, quoniam fortes estis, et verbum Dei in vobis manet, et vicistis malignum.

15 Ne diligite mundum, neque ea quæ in mundo: Si quis diligit mundum, non est charitas Patris in eo:

16 Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί.

16 Quoniam omne in mundo, concupiscentia carnis, et concupiscentia oculorum, et superbia vitæ non est ex patre, sed ex mundo est.

17 Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, μένει εἰς τὸν αἰῶνα.

17 Et mundus transit, et concupiscentia ejus : Verum faciens voluntatem Dei, manet in æternum.

18 Παιδία, ἐσχάτη ὥρα ἐστί· καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.

18 Pueruli, novissima hora est : et sicut audistis quia antichristus venit, et nunc antichristi multi facti sunt : unde scimus quia novissima hora est.

19 Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν.

19 Ex nobis exierunt, sed non erant ex nobis : si enim fuissent ex nobis, permansissent utique cum nobis : sed ut manifesti sint quoniam non sunt omnes ex nobis.

20 Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάντα.

20 Et vos unctionem habetis à Sancto, et nostis omnia.

21 Οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι.

21 Non scripsi vobis, quod non nostis veritatem, sed quod nostis eam, et quoniam omne mendacium ex veritate non est.

22 Τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν.

22 Quis est mendax, si non negans quoniam Jesus non est Christus ? Hic est antichristus, negans Patrem et Filium.

23 Πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει.

23 Omnis negans Filium. nec patrem habet.

24 Ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω· ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε.

24 Vos igitur quod audistis ab initio, in vobis permaneat : si in vobis manserit quod ab initio audistis, et vos in Filio et in Patre manebitis.

25 Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν αὐτὸς ἐπηγγείλατο ὑμῖν, τὴν ζωὴν τὴν αἰώνιον.

25 Et hæc est repromissio, quam ipse pollicitus est nobis, vitam æternam.

26 Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς·

26 Hæc scripsi vobis de decipientibus vos.

27 Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ

27 Et vos unctionem quam accepistis ab eo, in vobis manet, et non opus habetis ut aliquis

ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος· καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ·

28 Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ· ἵνα ὅταν φανερωθῇ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ.

29 Ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται.

Κεφ. γ'. 3.

1 Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν· διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν.

2 Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι·

3 Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστι.

4 Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ· καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία.

5 Καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ· καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι.

6 Πᾶς ὁ ἐν αὐτῷ μένων, οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων, οὐχ ἑώρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν.

7 Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην, δίκαιός ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν·

8 Ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστίν· ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει· εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

9 Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα

doceat vos: sed sicut ipsa unctio docet vos de omnibus, et vera est, et non est mendacium. Et sicut docuit vos, manebitis in eo.

28 Et nunc, filioli, manete in eo: ut cum apparuerit, habeamus fiduciam, et non pude fiamus ab eo, in adventu ejus.

29 Si scitis quoniam justus est, scitote quoniam omnis faciens justitiam ex ipso natus est.

CAPUT III.

1 VIDETE qualem charitatem dedit nobis Pater, ut nati Dei vocemur. Propter hoc mundus non novit nos, quia non novit eum.

2 Dilecti, nunc nati Dei sumus, et nondum apparuit quid erimus. Scimus autem quoniam si apparuerit, similes ei erimus: quoniam videbimus eum sicuti est.

3 Et omnis habens spem hanc in eo, sanctificat seipsum, sicut ille sanctus est.

4 Omnis faciens peccatum, et transgressionem legis facit: et peccatum est transgressio legis.

5 Et scitis quia ille apparuit, ut peccata nostra tolleret: et peccatum in eo non est.

6 Omnis in eo manens, non peccat: omnis peccans, non vidit eum, nec cognovit eum.

7 Filioli, nemo decipiat vos. Faciens justitiam, justus est, sicut ille justus est.

8 Faciens peccatum, ex diabolo est. Quoniam ab initio diabolus peccat. In hoc apparuit Filius Dei, ut disolvat opera diaboli.

9 Omnis natus ex Deo, peccatum non facit, quoniam semen

αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται.

10 Ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ·

11 Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους·

12 Οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.

13 Μὴ θαυμάζετε, ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.

14 Ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφόν, μένει ἐν τῷ θανάτῳ.

15 Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν.

16 Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι.

17 Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ;

18 Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ·

19 Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν

ipsius in eo manet: et non potest peccare, quoniam ex Deo natus est.

10 In hoc manifesti sunt nati Dei, et nati diaboli. Omnis non faciens justitiam, non est ex Deo, et non diligens fratrem suum.

11 Quoniam hæc est annuntiatio, quam audistis ab initio, ut diligamus alii alios:

12 Non sicut Cain ex maligno erat, et occidit fratrem suum: Et gratia cujus occidit eum? Quoniam opera ejus maligna erant, fratris autem ejus justa.

13 Ne admiremini, fratres mei, si odit vos mundus.

14 Nos scimus quoniam translati sumus de morte ad vitam, quoniam diligimus fratres. Non diligens fratrem, manet in morte.

15 Omnis odio habens fratrem suum, homicida est: Et scitis quoniam omnis homicida non habet vitam æternam in se manentem.

16 In hoc cognovimus charitatem Dei, quoniam ille pro nobis animam suam posuit: et nos debemus pro fratribus animas ponere.

17 Qui vero habuerit victum mundi, et viderit fratrem suum opus habentem, et clauserit viscera sua ab eo, quomodo charitas Dei manet in eo?

18 Filioli mei, non diligamus verbo, neque lingua, sed opere et veritate.

19 Et in hoc cognoscimus quoniam ex veritate sumus, et ante eum suadebimus corda nostra.

20 Ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα.

21 Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν·

22 Καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παῤ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

23 Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν.

24 Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

Κεφ. δ'. 4.

1 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον.

2 Ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι·

3 Καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.

4 Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς· ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ.

5 Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει.

6 Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν·

20 Quoniam si reprehenderit nos cor, quod major est Deus corde nostro, et novit omnia.

21 Dilecti, si cor nostrum non reprehenderit nos, fiduciam habemus ad Deum.

22 Et quicquid petierimus, accipiemus ab eo, quoniam mandata ejus custodimus, et placita coram eo facimus.

23 Et hoc est mandatum ejus, ut credamus nomini Filii ejus Jesu Christi, et diligamus alii alios, sicut dedit mandatum nobis.

24 Et servans mandata ejus, in illo manet, et ipse in eo manet, et in hoc scimus quoniam manet in nobis, de Spiritu quem dedit nobis.

CAPUT IV.

1 DILECTI, ne omni spiritui credite, sed probate spiritus, si ex Deo sunt: quoniam multi pseudoprophetæ exierunt in mundum.

2 In hoc cognoscitis spiritum Dei: omnis spiritus qui confitetur Jesum Christum in carne venisse, ex Deo est:

3 Et omnis spiritus qui non confitetur Jesum Christum in carne venientem, ex Deo non est: et hic est antichristi, de quo audistis, quoniam venit: et nunc in mundo est jam.

4 Vos ex Deo estis, filioli, et vicistis eos; quoniam major est qui in vobis, quam qui in mundo.

5 Ipsi de mundo sunt, propter hoc de mundo loquuntur, et mundus eos audit.

6 Nos ex Deo sumus: Cognoscens Deum, audit nos: qui

ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν. Ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης.

7 Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι· καὶ πᾶς ὁ ἀγαπῶν, ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν Θεόν·

8 Ὁ μὴ ἀγαπῶν, οὐκ ἔγνω τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν.

9 Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ·

10 Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεὸν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

11 Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

12 Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστιν ἐν ἡμῖν.

13 Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν·

14 Καὶ ἡμεῖς τεθεάμεθα, καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.

15 Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ.

16 Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν· ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

17 Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν

non est ex Deo, non audit nos Ex hoc cognoscimus Spiritum veritatis, et Spiritum erroris.

7 Dilecti, diligamus alii alios, quia charitas ex Deo est: Et omnis diligens, ex Deo natus est, et cognoscit Deum.

8 Non diligens, non novit Deum: quoniam Deus charitas est.

9 In hoc apparuit charitas Dei in nobis, quoniam Filium suum unigenitum misit Deus in mundum, ut vivamus per eum.

10 In hoc est charitas, non quod nos dileximus Deum, sed quoniam ipse dilexit nos, et misit Filium suum propitiationem pro peccatis nostris.

11 Dilecti, si sic Deus dilexit nos, et nos debemus alii alios diligere.

12 Deum nemo unquam vidit: Si diligamus alii alios, Deus in nobis manet, et charitas ejus perfecta est in nobis.

13 In hoc cognoscimus quoniam in eo manemus, it ipse in nobis, quoniam de spiritu suo dedit nobis.

14 Et nos vidimus, et testificamur quoniam Pater misit Filium Salvatorem mundi.

15 Quisquis confessus fuerit quoniam Jesus est Filius Dei, Deus in eo manet, et ipse in Deo.

16 Et nos cognovimus, et credidimus charitatem quam habet Deus in nobis. Deus charitas est; et manens in charitate, in Deo manet, et Deus in eo manet.

17 In hoc perfecta est charitas cum nobis, ut fiduciam ha-

ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ.

18 Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον· ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

19 Ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

20 Ἐάν τις εἴπῃ· Ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν;

21 Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα, ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

beamus in die judicii, quia sicut ille est, et nos sumus in mundo hoc.

18 Timor non est in charitate, sed perfecta charitas foras mittit timorem: quoniam timor punitionem habet, at timens non perfectus est in charitate.

19 Nos diligamus eum, quoniam ipse prior dilexit nos.

20 Si quis dixerit: Quoniam diligo Deum, et fratrem suum oderit, mendax est: Nam non diligens fratrem suum quem vidit, Deum quem non vidit, quomodo potest diligere?

21 Et hoc mandatum habemus ab eo, ut diligens Deum, diligat et fratrem suum.

Κεφ. ε'. 5.

1 ΠΑΣ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.

2 Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν·

3 Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν,

4 Ὅτι πᾶν, τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ, νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν.

5 Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ;

6 Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς ὁ Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ τὸ πνεῦ-

CAPUT V.

1 OMNIS credens quoniam Jesus est Christus, ex Deo natus est: Et omnis diligens genitorem, diligit et genitum ex eo.

2 In hoc cognoscimus quoniam diligimus natos Dei, cum Deum diligimus, et mandata ejus servamus.

3 Hæc enim est charitas Dei, ut mandata ejus custodiamus: et mandata ejus gravia non sunt.

4 Quoniam omne natum ex Deo, vincit mundum: et hæc est victoria vincens mundum, fides nostra.

5 Quis est vincens mundum, si non credens quoniam Jesus est Filius Dei?

6 Hic est ille veniens per aquam et sanguinem, Jesus Christus, non in aqua solum, sed in aqua et sanguine: Et Spiritus

μά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.

7 Ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ πατὴρ, ὁ λόγος, καὶ τὸ ἅγιον πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι.

8 Καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

9 Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ.

10 Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ· ὁ μὴ πιστεύων τῷ Θεῷ, ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.

11 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός· καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.

12 Ὁ ἔχων τὸν υἱὸν, ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ Θεοῦ, τὴν ζωὴν οὐκ ἔχει.

13 Ταῦτα ἔγραψα ὑμῖν, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ· ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ.

14 Καὶ αὕτη ἐστὶν ἡ παῤῥησία, ἣν ἔχομεν πρὸς αὐτὸν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν·

15 Καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ αὐτοῦ.

16 Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν, τοῖς ἁμαρτάνουσι μὴ

est testans, quoniam Spiritus est veritas.

7 Quoniam tres sunt testantes in cælo, Pater, verbum, et sanctus Spiritus : et hi tres unum sunt.

8 Et tres sunt testantes in terra, Spiritus, et aqua, et sanguis : Et tres in unum sunt.

9 Si testimonium hominum accipimus, testimonium Dei majus est : quoniam hoc est testimonium Dei, quod testificatus est de filio suo.

10 Credens in Filium Dei, habet testimonium in se : Non credens Deo, mendacem fecit eum, quia non credidit in testimonium quod testificatus est Deus de Filio suo.

11 Et hoc et testimonium, Quoniam vitam æternam dedit nobis Deus : Et hæc vita in Filio ejus est.

12 Habens Filium, habet vitam : non habens Filium Dei, vitam non habet.

13 Hæc scripsi vobis credentibus in nomen Filii Dei ; ut sciatis quoniam vitam æternam habetis, et ut credatis in nomen Filii Dei.

14 Et hæc est fiducia quam habemus ad eum, quia si quid petierimus secundum voluntatem ejus, audit nos.

15 Et si scimus quia audit nos, quicquid petierimus, scimus quoniam habemus petitiones quas postulavimus ab eo.

16 Si quis viderit fratrem suum peccantem peccatum non ad mortem, petet, et dabit ei vitam, peccantibus non ad mor

πρὸς θάνατον· ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ.

17 Πᾶσα ἀδικία ἁμαρτία ἐστίν· καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.

18 Οἴδαμεν ὅτι πᾶς, ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, οὐχ ἁμαρτάνει· ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.

19 Οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται·

20 Οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καὶ ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ αἰώνιος.

21 Τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων. Ἀμήν.

tem. Est peccatum ad mortem, non pro illo dico ut roget.

17 Omnis iniquitas peccatum est: et est peccatum non ad mortem.

18 Scimus quia omnis natus ex Deo, non peccat: sed genitus ex Deo conservat seipsum, et malignus non tangit eum.

19 Scimus quoniam ex Deo sumus: et mundus totus in maligno positus est.

20 Scimus autem quoniam Filius Dei venit, et dedit nobis mentem, ut cognoscamus verum Deum: et sumus in vero, in Filio ejus Jesu Christo: Hic est verus Deus et vita æterna.

21 Nati, custodite vos ipsos ab idolis. Amen.

ΙΩΑΝΝΟΥ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ

ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ.

1 Ὁ Πρεσβύτερος Ἐκλεκτῇ κυρίᾳ, καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν,

2 Διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα·

3 Ἔσται μεθ' ἡμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρὸς, καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν

JOANNIS

Apostoli

EPISTOLA

CATHOLICA SECUNDA.

1 PRESBYTER electæ dominæ, et natis ejus, quos ego diligo in veritate, et non ego solus, sed et omnes cognoscentes veritatem:

2 Propter veritatem manentem in nobis, et cum nobis erit in æternum.

3 Sit cum vobis gratia, misericordia, pax, à Deo Patre, et à Domino Jesu Christo Filio Patris, in veritate et charitate.

4 Gavisus sum valde quoniam inveni de natis tuis ambu-

ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός.

5 Καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφω σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους·

6 Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ· αὕτη ἐστὶν ἡ ἐντολὴ, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε·

7 Ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.

8 Βλέπετε ἑαυτοὺς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν.

9 Πᾶς ὁ παραβαίνων, καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει·

10 Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε·

11 Ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος· ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς Ἐκλεκτῆς. Ἀμήν.

lantes in veritate, sicut mandatum accepimus à Patre.

5 Et nunc rogo te, domina, non tanquam mandatum scribens tibi novum, sed quod habuimus ab initio, ut diligamus alii alios.

6 Et hæc est charitas, ut ambulemus secundum mandata ejus. Hoc est mandatum, quemadmodum audistis ab initio, ut in eo ambuletis :

7 Quoniam multi seductores ingressi sunt in mundum, non confitentes Jesum Christum qui venit in carne : hic est seductor et antichristus.

8 Videte vosmetipsos, ut ne perdamus quæ operati sumus, sed mercedem plenam accipiamus.

9 Omnis transgrediens, et non manens in doctrina Christi, Deum non habet : Manens in doctrina Christi, hic et Patrem et Filium habet.

10 Si quis venit ad vos, et hanc doctrinam non affert, ne recipite eum in domum, et gaudere ei ne dicite ·

11 Nam dicens illi gaudere, communicat operibus ejus malignis.

12 Plura habens vobis scribere, nolui per chartam et atramentum : sed spero venire ad vos, et os ad os loqui, ut gaudium nostrum sit plenum.

13 Salutant te nati sororis tuæ electæ. Amen

ΙΟΑΝΝΟΥ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ

ΚΑΘΟΛΙΚΗ ΤΡΙΤΗ.

1 Ὁ Πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή.

3 Ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν, καὶ μαρτυρούντων σοῦ τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.

4 Μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους,

6 Οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας· οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ Θεοῦ·

7 Ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν.

8 Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.

9 Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς.

10 Διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.

11 Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν· ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ δὲ κακοποιῶν, οὐχ ἑώρακε τὸν Θεόν.

JOANNIS

Apostoli

EPISTOLA

CATHOLICA TERTIA.

1 PRESBYTER Cajo dilecto, quem ego diligo in veritate.

2 Dilecte, de omnibus opto et prospere agere et valere, sicut prospere agit tua anima.

3 Gavisus sum enim valde venientibus fratribus, et testantibus tuæ veritati, sicut tu in veritate ambulas.

4 Majus horum non habeo gaudium, ut audiam meos natos it veritate ambulantes.

5 Dilecte, fidele facis quicquid operaris in fratres et in peregrinos,

6 Qui testati sunt tuæ charitati in conspectu ecclesiæ ; quos benefacies deducens digne Deo.

7 Pro enim nomine ejus exierunt, nihil accipientes à Gentibus.

8 Nos ergo debemus suscipere hujusmodi, ut cooperatores simus veritati.

9 Scripsi ecclesiæ : sed amans primatum gerere ipsorum Diotrephes non recipit nos.

10 Propter hoc, si venero, submonebo ejus opera quæ facit, verbis malignis garriens nos, et non contentus in his, neque ipse suscipit fratres, et volentes prohibet, et ex ecclesia ejicit.

11 Dilecte, ne imitare malum, sed bonum. Benefaciens ex Deo est : malefaciens autem non vidit Deum.

12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἶδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

13 Πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι·

14 Ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν.

15 Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἄσπάζου τοὺς φίλους κατ' ὄνομα.

12 Demetrio testatum est ab omnibus, et ab ipsa veritate : et nos autem testamur, et nostis quoniam testimonium nostrum verum est.

13 Multa habui scribere, sed non volo per atramentum et calamum tibi scribere :

14 Spero autem protinus videre te, et os ad os loquemur.

15 Pax tibi. Salutant te amici. Saluta amicos per nomen.

ΙΟΥΔΑ

Τοῦ Ἀποστόλου

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

1 ἸΟΥΔΑΣ Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς·

2 Ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.

3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει·

4 Παρεισέδυσαν γάρ τινες ἄνθρωποι οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν· καὶ τὸν μόνον δεσπότην Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν·

6 Ἀγγέλους τε τοὺς μὴ τηρή-

JUDÆ

Apostoli

EPISTOLA CATHOLICA.

1 JUDAS Christi Jesu servus, frater autem Jacobi, in Deo Patre sanctificatis, et Jesu Christo servatis vocatis :

2 Misericordia vobis et pax et charitas adimpleatur.

3 Dilecti, omnem solicitudinem faciens scribere vobis de communi salute, necessitatem habui scribere vobis, deprecans supercertare semel traditæ sanctis fidei.

4 Subrepserunt enim quidam homines olim præscripti in hoc judicium, impii, Dei nostri gratiam transferentes in luxuriam, et solum herum Deum, et Dominum nostrum Jesum Christum negantes.

5 Commonere autem vos volo, scientes vos semel hoc, quoniam Dominus populum de terra Ægypti salvans, secundo non credentes perdidit

6 Angelosque non servantes

σαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν·

7 Ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.

8 Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν·

9 Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· Ἐπιτιμήσαι σοι Κύριος.

10 Οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν· ὅσα δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῶα, ἐπίστανται, ἐν τούτοις φθείρονται.

11 Οὐαὶ αὐτοῖς· ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο.

12 Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων παραφερόμεναι, δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα·

13 Κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται.

14 Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων· "Ἰδοὺ, ἦλθε Κύριος ἐν μυριάσιν ἁγίαις αὐτοῦ,

suum principium, sed relinquentes proprium domicilium, in judicium magni diei, vinculis æternis sub caliginem servavit.

7 Sicut Sodoma, et Gomorrha, et circa eas civitates, similem his modum exfornicatæ, et abeuntes post carnem alteram, propositæ sunt exemplum, ignis æterni pœnam sustinentes.

8 Similiter atqui et hi sopiti, carnem quidem maculant, dominationem autem spernunt, dignitates autem blasphemant.

9 At Michaël archangelus, cum diabolo dijudicans disceptaret de Mosis corpore, non est ausus judicium inferre blasphemiæ, sed dixit: Increpet te Dominus.

10 Hi autem quæcumque quidem ignorant, blasphemant: quæcumque autem naturaliter, tanquam irrationalia animalia, norunt, in his corrumpuntur.

11 Væ illis, quia via Cain ingressi sunt, et errore Balaam mercede effusi sunt, et contradictione Core perierunt.

12 Hi sunt in agapis vestris maculæ, convivantes vobis, sine timore semetipsos pascentes: nubes sine aqua, à ventis circumlatæ, arbores emarcidæ, infructuosæ, bis mortuæ, eradicatæ.

13 Fluctus feri maris, despumantes sua ipsorum dedecora: stellæ eraticæ, quibus caligo tenebrarum in æternum servata est.

14 Prophetavit autem et his septimus ab Adam Enoch, dicens: Ecce venit Dominus in sanctis millibus suis,

15 Ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν καθ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς."

16 Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι· καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν.

17 Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

18 Ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν.

19 Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ἑαυτούς, ψυχικοί, πνεῦμα μὴ ἔχοντες.

20 Ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτούς, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι,

21 Ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον·

22 Καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι,

23 Οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

24 Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει,

25 Μόνῳ σοφῷ Θεῷ σωτῆρι ἡμῶν δόξα καὶ μεγαλωσύνη, κράτος, καὶ ἐξουσία, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

15 Facere judicium contra omnes, et redarguere omnes impios eorum de omnibus operibus impietatis eorum quibus impie egerunt, et de omnibus duris quæ locuti sunt contra eum peccatores impii.

16 Hi sunt murmuratores, querulosi, secundum desideria sua ambulantes : et os eorum loquitur prætumida, mirantes personas, utilitatis gratia.

17 Vos autem, dilecti, memores estote verborum prædictorum ab Apostolis Domini nostri Jesu Christi.

18 Quia dicebant vobis, quoniam in novissimo tempore erunt illusores, secundum desideria sua ipsorum ambulantes impietatum.

19 Hi sunt segregantes se, animales, spiritum non habentes.

20 Vos autem dilecti, sanctissimæ nostræ fidei superædificantes vosmetipsos, in Spiritu sancto orantes,

21 Vosmetipsos in dilectione Dei servate, expectantes misericordiam Domini nostri Jesu Christi in vitam æternam :

22 Et hos quidem miseremini dijudicantes :

23 Hos vero in timore salvate, de igne rapientes, odientes et à carne maculatam tunicam.

24 At potenti custodire vos sine peccato, et constituere ante conspectum gloriæ suæ inculpatos in exultatione :

25 Soli sapienti Deo Salvatori nostro gloria et magnificentia, robur et auctoritas, et nunc et in omnia secula. Amen

ΑΠΟΚΑΛΥΨΙΣ Ι Ω Α Ν Ν Ο Υ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Κεφ. ά. 1.

1 ΑΠΟΚΑ'ΛΥΨΙΣ Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ, ἃ δεῖ γενέσθαι ἐν τάχει· καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ,

2 Ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα τε εἶδε.

3 Μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ,

5 Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς· τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἐκ τῶν ἁμαρτιῶν ἐν τῷ αἵματι αὐτοῦ,

6 Καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

7 Ἰδοὺ, ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ "οἵτινες αὐτὸν ἐξεκέντησαν·" καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ναὶ, ἀμήν.

8 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, λέγει ὁ Κύριος ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

9 Ἐγὼ Ἰωάννης ὁ καὶ ἀδελφὸς

APOCALYPSIS JOANNIS THEOLOGI.

CAPUT I.

1 REVELATIO Jesu Christi, quam dedit illi Deus, indicare servis suis quæ oportet fieri in celeritate: et significavit mittens per angelum suum servo suo Joanni:

2 Qui testatus est verbum Dei, et testimonium Jesu Christi, quæcunque vidit.

3 Beatus legens, et audientes verba prophetiæ, et servantes quæ in ea scripta: Nam tempus prope.

4 Joannes septem ecclesiis quæ in Asia, Gratia vobis et pax ab eo qui est, et qui erat, et qui venturus; et à septem spiritibus, qui sunt in conspectu throni ejus;

5 Et à Jesu Christo, ille testis fidelis, ille primogenitus ex mortuis, et princeps regum terræ: diligenti nos, et lavanti nos à peccatis nostris in sanguine suo:

6 Et fecit nos reges et sacerdotes Deo et Patri suo: Ipsi gloria et robur in secula seculorum. Amen.

7 Ecce venit cum nubibus, et videbit eum omnis oculus, et qui eum transfixerunt: Et plangent super eum omnes tribus terræ. etiam, amen.

8 Ego sum α et ω, principium et finis, dicit Dominus, qui est, et qui erat, et qui venturus omnipotens.

9 Ego Joannes qui et frater

ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ ἐν τῇ βασιλείᾳ, καὶ ὑπομονῇ Ἰησοῦ Χριστοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ·

10 Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ· καὶ ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλπιγγος,

11 Λεγούσης· Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος· καί· Ὃ βλέπεις, γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἐκκλησίαις ταῖς ἐν Ἀσίᾳ, εἰς Ἔφεσον, καὶ εἰς Σμύρναν, καὶ εἰς Πέργαμον, καὶ εἰς Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδέλφειαν, καὶ εἰς Λαοδίκειαν.

12 Καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάλησε μετ' ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς,

13 Καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν·

14 Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκὸν, ὡς χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός·

15 Καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι· καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν·

16 Καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

17 Καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός· καὶ ἔθηκε τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ' ἐμὲ, λέγων μοι· Μὴ φοβοῦ· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος,

vester, et communicans in tribulatione et in regno et tolerantia Jesu Christi, fui in insula vocata Patmos, propter verbum Dei, et propter testimonium Jesu Christi.

10 Factus sum in spiritu in dominica die, et audivi post me vocem magnam tanquam tubæ,

11 Dicentis: Ego sum α et ω, primus et novissimus: et: Quod vides scribe in librum, et mitte septem ecclesiis quæ in Asia, Ephesum, et Smyrnam, et Pergamum, et Thyatira, et Sardes, et Philadelphiam, et Laodiceam.

12 Et conversus sum videre vocem quæ loquebatur cum me: Et conversus vidi septem candelabra aurea;

13 Et in medio septem candelabrorum similem Filio hominis, indutum talari, et præcinctum ad mamillas zonam auream.

14 At caput ejus et capilli candidi, tanquam lana alba, tanquam nix: et oculi ejus velut flamma ignis:

15 Et pedes ejus similes chalcolibano, sicut in camino igniti: et vox illius tanquam vox aquarum multarum:

16 Et habens in dextera sua manu stellas septem: et de ore ejus gladius anceps acutus exiens: et facies ejus sicut sol lucet in virtute sua.

17 Et cum vidissem eum, cecidi ad pedes ejus tanquam mortuus: Et imposuit dexteram suam manum super me, dicens mihi: Ne time: ego sum primus et novissimus;

18 Καὶ ὁ ζῶν· καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· καὶ ἔχω τὰς κλεῖς τοῦ ᾅδου καὶ τοῦ θανάτου.

19 Γράψον ἃ εἶδες, καὶ ἃ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα.

20 Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων οὓς εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς, οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσὶ· καὶ αἱ ἑπτὰ λυχνίαι ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσί.

Κεφ. β'. 2.

1 Τῷ ἀγγέλῳ τῆς Ἐφεσίνης ἐκκλησίας γράψον· Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν·

2 Οἶδα τὰ ἔργα σου, καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς· καὶ ἐπειράσω τοὺς φάσκοντας εἶναι ἀποστόλους, καὶ οὐκ εἰσί· καὶ εὗρες αὐτοὺς ψευδεῖς,

3 Καὶ ἐβάστασας, καὶ ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας, καὶ οὐ κέκμηκας·

4 Ἀλλ' ἔχω κατά σου, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας.

5 Μνημόνευε οὖν πόθεν ἐκπέπτωκας, καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μή, ἔρχομαί σοι τάχει, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς·

6 Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ.

7 Ὁ ἔχων οὖς, ἀκουσάτω τί το πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ

18 Et vivens, et factus sum mortuus, et ecce vivens sum in secula seculorum, amen. et habeo claves inferni et mortis.

19 Scribe quæ vidisti, et quæ sunt, et quæ futura sunt fieri post hæc :

20 Mysterium septem stellarum quas vidisti in dextera mea, et septem candelabra aurea : septem stellæ, angeli septem ecclesiarum sunt : et septem candelabra quæ vidisti, septem ecclesiæ sunt.

CAPUT II.

1 ANGELO Ephesinæ Ecclesiæ scribe : Hæc dicit tenens septem stellas in dextera sua, ambulans in medio septem candelabrorum aureorum :

2 Scio opera tua, et laborem tuum, et tolerantiam tuam : et quia non potes sustinere malos : et tentasti dicentes se esse Apostolos, et non sunt : et invenisti eos mendaces :

3 Et portasti, et tolerantiam habes, et propter nomen meum laborasti, et non defecisti.

4 Sed habeo adversum te, quod charitatem tuam primam reliquisti.

5 Memor esto itaque unde excideris, et age pœnitentiam, et prima opera fac : Si autem non, venio tibi cito, et movebo candelabrum tuum de loco suo, si non pœnitentiam egeris.

6 Sed hoc habes, quia odisti opera Nicolaitarum, quæ et ego odi.

7 Habens aurem, audiat quid Spiritus dicit ecclesiis : Vincenti dabo illi edere de ligno

ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ Θεοῦ.

8 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Σμυρναίων γράψον· Τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς, καὶ ἔζησεν·

9 Οἶδά σου τὰ ἔργα καὶ τὴν θλῖψιν καὶ τὴν πτωχείαν, πλούσιος δὲ εἶ, καὶ τὴν βλασφημίαν τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς, καὶ οὐκ εἰσίν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ.

10 Μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν· ἰδοὺ, μέλλει βαλεῖν ἐξ ὑμῶν ὁ διάβολος εἰς φυλακὴν, ἵνα πειρασθῆτε· καὶ ἕξετε θλῖψιν ἡμερῶν δέκα· γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς.

11 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν·

13 Οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ· καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου, καὶ ἐν ταῖς ἡμέραις ἐν αἷς Ἀντίπας ὁ μάρτυς μου ὁ πιστὸς, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς·

14 Ἀλλ' ἔχω κατά σου ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαὰμ, ὃς ἐδίδασκεν ἐν τῷ Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, φαγεῖν εἰδωλόθυτα, καὶ πορνεῦσαι.

15 Οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν, ὃ μισῶ.

16 Μετανόησον· εἰ δὲ μὴ, ἔρχομαί σοι ταχὺ, καὶ πολεμήσω

vitæ, quod est in medio Paradisi Dei.

8 Et angelo ecclesiæ Smyrnæorum scribe: Hæc dicit primus et novissimus, qui fuit mortuus, et vixit:

9 Scio tua opera, et tribulationem, et paupertatem, sed dives es, et blasphemiam dicentium Judæos esse seipsos, et non sunt, sed synagoga satanæ.

10 Nihil timeas quæ futurus es pati: Ecce jam futurus est jacere ex vobis diabolus in custodiam, ut tentemini· et habebitis tribulationem diebus decem: esto fidelis usque ad mortem, et dabo tibi coronam vitæ.

11 Habens aurem, audiat quid Spiritus dicat ecclesiis: Vincens non lædetur à morte secunda.

12 Et angelo in Pergamo ecclesiæ scribe: Hæc dicit habens romphæam ancipitem acutam:

13 Scio opera tua, et ubi habitas, ubi thronus Satanæ: et tenes nomen meum, et non negasti fidem meam, et in diebus in quibus Antipas testis meus fidelis, qui occisus est apud vos, ubi habitat Satanas.

14 Sed habeo adversus te pauca, quia habes illic tenentes doctrinam Balaam, qui docebat Balac mittere scandalum coram filiis Israël, edere idolothyta, et fornicari.

15 Ita habes et tu tenentes doctrinam Nicolaitarum: Quod odi.

16 Pœnitentiam age: Si vero non, veniam tibi cito, et pug-

μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.

17 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκὴν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς ἔγνω εἰ μὴ ὁ λαμβάνων.

18 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας γράψον· Τάδε λέγει ὁ υἱὸς τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρὸς, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ·

19 Οἶδά σου τὰ ἔργα, καὶ τὴν ἀγάπην, καὶ τὴν διακονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου, καὶ τὰ ἔσχατα πλείονα τῶν πρώτων·

20 Ἀλλ' ἔχω κατά σε ὀλίγα, ὅτι ἐᾷς τὴν γυναῖκα Ἰεζαβὴλ, τὴν λέγουσαν ἑαυτὴν προφῆτιν, διδάσκειν καὶ πλανᾶσθαι ἐμοὺς δούλους, πορνεῦσαι καὶ εἰδωλόθυτα φαγεῖν.

21 Καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ ἐκ τῆς πορνείας αὐτῆς, καὶ οὐ μετενόησεν.

22 Ἰδοὺ, ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ' αὐτῆς, εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν·

23 Καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ, καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

24 Ὑμῖν δὲ λέγω, καὶ λοιποῖς τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, καὶ οἵτινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ σατανᾶ,

nabo cum illis in gladio oris mei.

27 Habens autem aurem, audiat quid Spiritus dicat ecclesiis: Vincenti dabo ei edere de manna abscondito, et dabo illi calculum candidum, et in calculo nomen novum scriptum, quod nemo scit, si non accipiens.

18 Et angelo in Thyatiris ecclesiæ scribe: Hæc dicit Filius Dei, habens oculos suos tanquam flammam ignis, et pedes ejus similes chalcolibano:

19 Novi tua opera, et charitatem, et ministerium, et fidem, et patientiam tuam, et opera tua, et novissima plura prioribus.

20 Sed habeo adversus te pauca, quia permittis mulierem Jezabel, quæ dicit seipsam propheten, docere et seducere meos servos, fornicari, et idolothyta manducare.

21 Et dedi illi tempus ut pœnitentiam ageret à fornicatione sua, et non pœnituit.

22 Ecce, ego mitto eam in lectum, et mœchantes cum ea, in afflictionem magnam, si non pœnitentiam egerint ab operibus suis.

23 Et filios ejus interficiam in mortem: et scient omnes ecclesiæ, quia ego sum scrutans renes et corda: et dabo vobis unicuique secundum opera vestra.

24 Vobis autem dico, et cæteris in Thyatiris, quicunque non habent doctrinam hanc, et qui non cognoverunt profunda

ὡς λέγουσιν· Οὐ βαλῶ ἐφ' ὑμᾶς ἄλλο βάρος·

25 Πλὴν ὃ ἔχετε, κρατήσατε ἄχρις οὗ ἂν ἥξω.

26 Καὶ ὁ νικῶν, καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν,

27 Καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται, ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου·

28 Καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.

29 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Κεφ. γ'. 3.

1 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὰ πνεύματα τοῦ Θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· Οἶδά σου τὰ ἔργα, ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ.

2 Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπὰ ἃ μέλλει ἀποθανεῖν· οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ.

3 Μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον· ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπί σε ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς ποίαν ὥραν ἥξω ἐπί σε.

4 Ἔχεις ὀλίγα ὀνόματα καὶ ἐν Σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσί μετ' ἐμοῦ ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν.

5 Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς· καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ βίβλου τῆς ζωῆς, καὶ ἐξομολογήσομαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ.

6 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Satanæ, quemadmodum dicunt: non mittam super vos aliud pondus.

25 Tamen quod habetis, tenete donec veniam.

26 Et vincens, et custodiens usque in finem opera mea, dabo illi potestatem super Gentes:

27 Et pascet eas in virga ferrea, tanquam vasa fictilia confringuntur: Sicut et ego accepi à Patre meo:

28 Et dabo illi stellam matutinam.

29 Habens aurem, audiat quid Spiritus dicat ecclesiis.

CAPUT III.

1 Et angelo in Sardis ecclesiæ scribe: Hæc dicit habens septem spiritus Dei, et septem stellas: Scio tua opera, quia nomen habes quod vivas, et mortuus es.

2 Esto vigilans, et confirma cætera quæ moritura erant: non enim inveni tua opera plena coram Deo.

3 Memento ergo quomodo acceperis, et audieris, et serva, et pœnitentiam age. Si ergo non vigilaveris, veniam ad te tanquam fur, et nescies qua hora veniam ad te.

4 Habes pauca nomina et in Sardis, quæ non inquinaverunt vestimenta sua, et ambulabunt mecum in albis; quia digni sunt.

5 Vincens, hic vestietur in vestimentis albis, et non delebo nomen ejus de libro vitæ, et confitebor nomen ejus coram Patre meo, et coram angelis ejus.

6 Habens aurem, audiat quid Spiritus dicat ecclesiis.

7 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινὸς, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαβίδ· ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει· καὶ κλείει, καὶ οὐδεὶς ἀνοίγει·

8 Οἶδά σου τὰ ἔργα. Ἰδοὺ, δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου.

9 Ἰδοὺ, δίδωμι ἐκ τῆς συναγωγῆς τῶν σατανᾶ τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι, καὶ οὐκ εἰσὶν, ἀλλὰ ψεύδονται· ἰδοὺ ποιήσω αὐτοὺς, ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε,

10 Ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

11 Ἰδοὺ, ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου.

12 Ὁ νικῶν, ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι· καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ Θεοῦ μου, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ μου τῆς καινῆς Ἱερουσαλὴμ, ἡ καταβαίνουσα ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ μου, καὶ τὸ ὄνομά μου τὸ καινόν.

13 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

14 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Λαοδικέων γράψον· Τάδε λέγει ὁ Ἀμὴν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ·

15 Οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός· ὄφελον ψυχρὸς εἴης, ἢ ζεστός·

7 Et angelo in Philadelphia ecclesiæ scribe : Hæc dicit Sanctus, verus, habens clavem David ; aperiens, et nemo claudit ; et claudens, et nemo aperit.

8 Scio tua opera : ecce, dedi coram te ostium apertum, et nemo potest claudere illud : quia parvam habes virtutem, et servasti meum verbum, et non negasti nomen meum.

9 Ecce do ex synagoga Satanæ, dicentium seipsos Judæos esse, et non sunt, sed mentiuntur : ecce faciam illos ut veniant, et adorent ante pedes tuos, et sciant quia dilexi te.

10 Quoniam servasti verbum patientiæ meæ, et ego te servabo ab hora tentationis futuræ venire in habitatam universam, tentare habitantes in terra.

11 Ecce venio cito : tene quod habes, ut nemo accipiat coronam tuam.

12 Vincens, faciam illum columnam in templo Dei mei, et foras non egredietur amplius : et scribam super eum nomen Dei mei, et nomen civitatis Dei mei novæ Hierusalem, quæ descendit de cælo à Deo meo, et nomen novum.

13 Habens autem, audiat quid Spiritus dicat ecclesiis.

14 Et angelo Laodicensium ecclesiæ scribe : Hæc dicit Amen, testis fidelis et verus, principium creaturæ Dei :

15 Scio tua opera, quia neque frigidus es, neque calidus : utinam frigidus esses aut calidus!

16 Οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ψυχρὸς, οὔτε ζεστὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου,

17 Ὅτι λέγεις· Ὅτι πλούσιός εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω· καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος, καὶ ἐλεεινὸς, καὶ πτωχὸς, καὶ τυφλὸς, καὶ γυμνός.

18 Συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρὸς, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκὰ, ἵνα περιβάλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλούριον ἔγχρισον τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς.

19 Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλωσον οὖν, καὶ μετανόησον.

20 Ἰδοὺ, ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω· ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

21 Ὁ νικῶν, δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ.

22 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

16 Sic, quia tepidus es, et nec calidus nec frigidus, futurus sum te evomere ex ore meo:

17 Quia dicis: quod dives sum, et locupletatus sum, et nullius opus habeo. Et nescis quia tu es ærumnosus, et miserabilis, et pauper, et cæcus, et nudus.

18 Suadeo tibi emere à me aurum ignitum ex igni, ut locuples fias: et vestimenta alba ut induaris: ne appareat confusio nuditatis tuæ: et collyrio inunge oculos tuos, ut videas.

19 Ego quoscunque amo, arguo et castigo: æmulare ergo, et pœnitentiam age.

20 Ecce sto ad ostium, et pulso: si quis audierit vocem meam, et aperuerit januam, intrabo ad illum, et cænabo cum illo, et ipse mecum.

21 Vincens, dabo ei sedere mecum in throno meo, sicut et ego vici, et sedi cum Patre meo in throno ejus.

22 Habens aurem, audiat quid Spiritus dicat ecclesiis.

Κεφ. δ'. 4.

1 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγουσα· Ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα.

2 Καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ ἰδοὺ, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος.

3 Καὶ ὁ καθήμενος ἦν ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι, καὶ σαρδίνῳ·

CAPUT IV.

1 POST hæc vidi, et ecce ostium apertum in cælo: et vox prima quam audivi tanquam tubæ loquentis cum me, dicens: Ascende huc, et ostendam tibi quæ oportet fieri post hæc.

2 Et statim factus sum in spiritu: et ecce thronus erat positus in cælo, et supra thronum sedens.

3 Et sedens erat similis aspectu lapidi jaspidi, et sardio

καὶ ἶρις κυκλόθεν τοῦ θρόνου ὅμοιος ὁράσει σμαραγδίνῳ.

4 Καὶ κυκλόθεν τῶ θρόνῳ θρόνοι εἴκοσι καὶ τέσσαρες· καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἴκοσι καὶ τέσσαρας πρεσβυτέρους καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς· καὶ ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς.

5 Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί· καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεου.

6 Καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν·

7 Καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος, καὶ τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ πετωμένῳ·

8 Καὶ τέσσαρα ζῶα, ἓν καθ' ἑαυτὸ, εἶχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν· καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντα, Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος.

9 Καὶ ὅταν δώσουσι τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

10 Πεσοῦνται οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνοῦσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βάλλουσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου, λέγοντες,

et iris in circuitu throni similis aspectui smaragdino.

4 Et in circuitu throni throni viginti et quatuor: et super thronos vidi viginti et quatuor seniores sedentes, circumamictos in vestimentis albis: et habebant in capitibus suis coronas aureas.

5 Et de throno procedunt fulgura, et voces, et tonitrua; et septem lampades ignis ardentes ante thronum, quæ sunt septem spiritus Dei.

6 Et in conspectu throni mare vitreum, simile crystallo: et in medio throni, et circuitu throni quatuor animalia plena oculis ante et retro.

7 Et animal primum simile leoni, et secundum animal simile vitulo, et tertium animal habens faciem quasi homo, et quartum animal simile aquilæ volanti.

8 Et quatuor animalia, singula eorum habebant alas sex in circuitu, et intus plena sunt oculis: et requiem non habent die ac nocte, dicentia: Sanctus, sanctus, sanctus, Dominus Deus omnipotens, qui erat, et existens, et qui venturus.

9 Et cum dederint animalia gloriam et honorem et gratiarum actionem sedenti super thronum, viventi in secula seculorum.

10 Procident viginti et quatuor seniores ante sedentem in throno, et adorabunt viventem in secula seculorum, et mittent coronas suas ante thronum, dicentes:

11 Ἄξιος εἶ, Κύριε, λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν· ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἰσὶ, καὶ ἐκτίσθησαν.

Κεφ. ε. 5.

1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσωθεν, καὶ ὄπισθεν, κατεσφραγισμένον σφραγῖσιν ἑπτά.

2 Καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ μεγάλῃ· Τίς ἐστὶν ἄξιος ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ ;

3 Καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ, οὐδὲ ἐπὶ τῆς γῆς, οὐδὲ ὑποκάτω τῆς γῆς, ἀνοῖξαι τὸ βιβλίον, οὐδὲ βλέπειν αὐτό.

4 Καὶ ἐγὼ ἔκλαιον πολλὰ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ ἀναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

5 Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· Μὴ κλαῖε· ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαβίδ, ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ.

6 Καὶ εἶδον, καὶ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ, καὶ ὀφθαλμοὺς ἑπτὰ, οἵ εἰσι τὰ ἑπτὰ τοῦ Θεοῦ πνεύματα τὰ ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν·

7 Καὶ ἦλθε, καὶ εἴληφε τὸ βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου·

8 Καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων·

11 Dignus es Domine accipere gloriam et honorem, et virtutem : quia tu creasti omnia, et propter voluntatem tuam sunt, et creata sunt.

CAPUT V.

1 ET vidi in dextra sedentis supra thronum librum scriptum intus et à tergo, obsignatum sigillis septem.

2 Et vidi angelum fortem prædicantem voce magna : Quis est dignus aperire librum, et solvere signacula ejus ?

3 Et nemo poterat in cælo, neque in terra, neque subtus terram, aperire librum, neque respicere illum.

4 Et ego flebam multum, quoniam nemo dignus inventus est aperire et legere librum, neque respicere eum.

5 Et unus de senioribus dicit mihi : Ne fleveris : ecce vicit leo, qui est de tribu Juda, radix David, aperire librum, et solvere septem signacula ejus.

6 Et vidi, et ecce in medio throni et quatuor animalium, et in medio seniorum, agnum stantem tanquam occisum, habentem cornua septem, et oculos septem, qui sunt septem Dei spiritus missi in omnem terram.

7 Et venit et accepit librum de dextera sedentis in throno.

8 Et cum accepisset librum, quatuor animalia et viginti quatuor seniores ceciderunt coram Agno, habentes unusquisque citharas et phialas aureas, plenas odoramentorum, quæ sunt orationes sanctorum

9 Καὶ ᾄδουσιν ᾠδὴν καινὴν, λέγοντες· Ἄξιος εἶ λαβεῖν τὸ βιβλίον, καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ· ὅτι ἐσφάγης, καὶ ἠγόρασας τῷ Θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου, ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους,

10 Καὶ ἐποίησας ἡμᾶς τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς· καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς.

11 Καὶ εἶδον, καὶ ἤκουσα φωνὴν ἀγγέλων πολλῶν κυκλόθεν τοῦ θρόνου, καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων καὶ χιλιάδες χιλιάδων,

12 Λέγοντες φωνῇ μεγάλῃ· Ἄξιόν ἐστιν ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ δόξαν καὶ εὐλογίαν.

13 Καὶ πᾶν κτίσμα, ὃ ἐστιν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἅ ἐστι, καὶ τὰ ἐν αὐτοῖς πάντα, ἤκουσα λέγοντας· Τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

14 Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον, Ἀμήν· καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν, καὶ προσεκύνησαν ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Κεφ. ϛ'. 6.

1 ΚΑὶ εἶδον ὅτε ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν σφραγίδων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνῆς βροντῆς· Ἔρχου καὶ βλέπε.

2 Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτῷ ἔχων τόξον· καὶ ἐδόθη αὐτῷ στέφα-

9 Et canunt canticum novum, dicentes: Dignus es accipere librum, et aperire signacula ejus: quoniam occisus es, et redemisti Deo nos in sanguine tuo, ex omni tribu, et lingua, et populo, et gente:

10 Et fecisti nos Deo nostro reges et sacerdotes, et regnabimus super terram.

11 Et vidi, et audivi vocem angelorum multorum in circuitu throni, et animalium, et seniorum: et erat numerus eorum, myriades myriadum, et chiliades chiliadum:

12 Dicentes voce magna: Dignus est agnus occisus accipere virtutem, et divitias, et sapientiam, et fortitudinem, et honorem, et gloriam, et benedictionem.

13 Et omnem creaturam quæ est in cælo, et super terram, et sub terra, et in mari quæ sunt, et ea quæ in eis omnia, audivi dicentes: Sedenti in throno, et Agno, benedictio, et honor, et gloria, et robur in secula seculorum.

14 Et quatuor animalia dicebant: Amen: et vigintiquatuor seniores ceciderunt, et adoraverunt viventem in secula seculorum.

CAPUT VI.

1 ET vidi quum aperuisset Agnus unum de septem sigillis, et audivi unum de quatuor animalibus dicens, tanquam vox tonitrui: Veni et vide.

2 Et vidi, et ecce equus albus; et sedens super illum habens arcum: et data est ei co

νος, καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

3 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα, τὴν δευτέραν ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος· Ἔρχου καὶ βλέπε.

4 Καὶ ἐξῆλθεν ἄλλος ἵππος πυρρός· καὶ τῷ καθημένῳ ἐπ' αὐτῷ ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς, καὶ ἵνα ἀλλήλους σφάξωσι· καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

5 Καὶ ὅτε ἤνοιξε τὴν τρίτην σφραγῖδα, ἤκουσα τοῦ τρίτου ζώου λέγοντος· Ἔρχου καὶ βλέπε. Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος μέλας, καὶ ὁ καθήμενος ἐπ' αὐτῷ, ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.

6 Καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν· Χοίνιξ σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.

7 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγουσαν· Ἔρχου καὶ βλέπε.

8 Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος χλωρὸς, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ Θάνατος· καὶ ὁ Ἅιδης ἀκολουθεῖ μετ' αὐτοῦ· καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖναι ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον·

10 Καὶ ἔκραζον φωνῇ μεγάλῃ, λέγοντες· Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ ἀληθινὸς, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν, ἀπὸ τῶν κατοικούντων ἐπὶ τῆς γῆς ;

11 Καὶ ἐδόθησαν ἑκάσταις στολαῖς λευκαῖς, καὶ ἐρρέθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως πληρωθῶσι καὶ οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ μέλλοντες ἀποκτέννεσθαι ὡς καὶ αὐτοί.

rona, et exivit vincens, et ut vinceret.

3 Et cum aperuisset secundum sigillum, audivi secundum animal dicens : Veni et vide.

4 Et exivit alius equus rufus, et sedenti super illum datum est ei sumere pacem de terra, et ut alii alios interficiant : et datus est ei gladius magnus.

5 Et cum aperuisset tertium sigillum, audivi tertium animal dicens : Veni et vide. Et vidi, et ecce, equus niger, et sedens super illum habens stateram in manu sua.

6 Et audivi vocem in medio quatuor animalium, dicentem : Chœnix tritici denario, et tres chœnices hordei denario : et oleum et vinum ne læseris.

7 Et cum aperuisset sigillum quartum, audivi vocem quarti animalis dicentis : Veni et vide.

8 Et vidi, et ecce equus pallidus, et sedens super eum, nomen illi Mors : et Infernus sequebatur cum ea : et data est illis potestas interficere super quartam partem terræ, in gladio et in fame, et in morte, et a bestiis terræ.

9 Et cum aperuisset quintum sigillum, vidi subtus altare animas interfectorum propter verbum Dei, et propter testimonium quod habebant.

10 Et clamabant voce magna, dicentes : Usquequo Domine sanctus et verus non judicas et vindicas sanguinem nostrum de habitantibus in terra ?

11 Et datæ sunt singulis sto-

λαὶ λευκαὶ, καὶ ἐῤῥέθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως οὗ πληρώσονται καὶ οἱ σύνδουλοι αὐτῶν ϗ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί.

12 Καὶ εἶδον ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην· καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο, ϗ ὁ ἥλιος ἐγένετο μέλας ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα,

13 Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ μεγάλου ἀνέμου σειομένη·

14 Καὶ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱλισσόμενον, καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν,

15 Καὶ οἱ βασιλεῖς τῆς γῆς, ϗ οἱ μεγιστᾶνες, καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ δυνατοὶ, καὶ πᾶς δοῦλος, ϗ πᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων,

16 Καὶ λέγουσι τοῖς ὄρεσι καὶ ταῖς πέτραις· Πέσετε ἐφ' ἡμᾶς, ϗ κρύψατε ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου,

17 Ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ· καὶ τίς δύναται σταθῆναι ;

Κεφ. ζ'. 7.

1 ΚΑὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν δένδρον.

2 Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος καὶ ἔκραξε

læ albæ, et dictum est illis, ut requiescerent adhuc tempus parvum, donec complerentur et conservi eorum, et fratres eorum, futuri trucidari sicut et illi.

12 Et vidi, cum aperuisset sigillum sextum, et ecce terræmotus magnus factus est, et sol niger factus est tanquam saccus cilicinus, et luna facta est sicut sanguis :

13 Et stellæ cæli ceciderunt in terram, sicut sicus emittit grossos suos, à magno vento mota.

14 Et cælum recessit sicut liber involutus, et omnis mons et insula de locis suis mota sunt :

15 Et reges terræ, et magnates, et divites, et tribuni, et fortes, et omnis servus, et omnis liber absconderunt seipsos in spelæa et in petras montium :

16 Et dicunt montibus et petris : Cadite super nos, et ab scondite nos à facie sedentis super thronum, et ab ira Agni.

17 Quoniam venit dies magnus iræ ejus : et quis potest stare ?

CAPUT VII.

1 ET post hæc vidi quatuor angelos stantes super quatuor angulos terræ, tenentes quatuor ventos terræ, ne flaret ventus super terram, neque super mare, neque super omnem arborem.

2 Et vidi alterum angelum ascendentem ab ortu solis, habentem signum Dei vivi : et cla-

φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν,

3 Λέγων· Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.

4 Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων· ρμδ' χιλιάδες ἐσφραγισμένοι ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ·

5 Ἐκ φυλῆς Ἰούδα, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ῥουβήν, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Γὰδ, ιβ' χιλιάδες ἐσφραγισμένοι·

6 Ἐκ φυλῆς Ἀσὴρ, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Νεφθαλεὶμ, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Μανασσῆ, ιβ' χιλιάδες ἐσφραγισμένοι·

7 Ἐκ φυλῆς Συμεὼν, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Λευΐ, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἰσαχὰρ, ιβ' χιλιάδες ἐσφραγισμένοι·

8 Ἐκ φυλῆς Ζαβουλὼν, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἰωσὴφ, ιβ' χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Βενιαμὶν, ιβ' χιλιάδες ἐσφραγισμένοι.

9 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολὺς, ὃν ἀριθμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τοῦ ἀρνίου, περιβεβλημένοι στολὰς λευκὰς, καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν,

10 Καὶ κράζοντες φωνῇ μεγάλῃ, λέγοντες· Ἡ σωτηρία τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου τοῦ Θεοῦ ἡμῶν, καὶ τῷ ἀρνίῳ.

11 Καὶ πάντες οἱ ἄγγελοι ἑστή-

mavit voce magna quatuor angelis, quibus datum est eis nocere terræ et mari,

3 Dicens: Ne nocete terræ, neque mari, neque arboribus, quoadusque signemus servos Dei nostri in frontibus eorum.

4 Et audivi numerum signatorum, centum quadraginta quatuor millia signati, ex omni tribu filiorum Israël.

5 Ex tribu Juda, duodecim millia signati: ex tribu Ruben, duodecim millia signati: ex tribu Gad, duodecim millia signati:

6 Ex tribu Aser, duodecim millia signati: ex tribu Nephtalim, duodecim millia signati: ex tribu Manasse, duodecim millia signati:

7 Ex tribu Symeon, duodecim millia signati: ex tribu Levi, duodecim millia signati: ex tribu Isachar, duodecim millia signati:

8 Et tribu Zabulon, duodecim millia signati: ex tribu Joseph, duodecim millia signati: ex tribu Benjamin, duodecim millia signati.

9 Post hæc vidi, et ecce turba multa, quam dinumerare illam nemo poterat, ex omni gente et tribubus et populis et linguis, stantes ante thronum et in conspectu Agni, circumamicti stolis albis: et palmæ in manibus eorum:

10 Et clamantes voce magna, dicentes: Salus Deo nostro sedenti super thronum, et Agno.

11 Et omnes angeli stabant

στήκεσαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν τεσσάρων ζώων, καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσωπον αὐτῶν, καὶ προσεκύνησαν τῷ Θεῷ,

12 Λέγοντες· Ἀμήν· ἡ εὐλογία, καὶ ἡ δόξα, καὶ ἡ σοφία, καὶ ἡ εὐχαριστία, καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις, καὶ ἡ ἰσχὺς τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13 Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων μοι· Οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς λευκὰς, τίνες εἰσὶ, καὶ πόθεν ἦλθον ;

14 Καὶ εἴρηκα αὐτῷ· Κύριε, σὺ οἶδας. Καὶ εἶπέ μοι· Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης· καὶ ἐπλάτυναν τὰς στολὰς αὐτῶν, καὶ ἐλεύκαναν στολὰς αὐτῶν ἐν τῷ αἵματι τοῦ ἀρνίου.

15 Διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ, καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ· καὶ ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ, σκηνώσει ἐπ' αὐτούς.

16 Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδὲ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα·

17 Ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων· καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Κεφ. ή. 8.

1 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον·

2 Καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἳ ἐνώπιον τοῦ Θεοῦ ἑστήκασι· καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.

3 Καὶ ἄλλος ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ τὸ θυσιαστήριον, ἔχων λιβανωτὸν χρυσοῦν, καὶ ἐδόθη αὐτῷ

in circuitu throni, et seniorum et quatuor animalium, et ceciderunt in conspectu throni in facies suas, et adoraverunt Deum,

12 Dicentes : Amen ; Benedictio, et gloria, et sapientia, et gratiarum actio, et honor, et virtus, et fortitudo Deo nostro in secula seculorum. Amen.

13 Et respondit unus ex senioribus, dicens mihi . Hi circumamicti stolis albis, qui sunt, et unde venerunt ?

14 Et dixi illi : Domine, tu scis. Et dixit mihi : Hi sunt venientes de tribulatione magna, et laverunt stolas suas, et dealbaverunt stolas suas in sanguine Agni.

15 Propter hoc sunt ante thronum Dei, et serviunt ei die ac nocte in templo ejus : et sedens in throno habitabit super illos.

16 Non esurient amplius, neque sitient amplius, neque cadet super illos sol, neque omnis æstus.

17 Quoniam Agnus qui per medium throni, pascet illos, et deducet eos ad vivos fontes aquarum: et absterget Deus omnem lacrymam ab oculis eorum.

CAPUT VIII.

1 ET cum aperuisset sigillum septimum, factum est silentium in cælo, quasi media hora.

2 Et vidi septem angelos qui in conspectu Dei steterunt : et datæ sunt illis septem tubæ

3 Et alius angelus venit, et stetit ad altare, habens thuribulum aureum ; et data sunt illi

θυμιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων πάντων, ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου.

4 Καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων, ἐκ χειρὸς τοῦ ἀγγέλου, ἐνώπιον τοῦ Θεοῦ.

5 Καὶ εἴληφεν ὁ ἄγγελος τὸ λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸ ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν γῆν· καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ σεισμός.

6 Καὶ οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς ἵνα σαλπίσωσι.

7 Καὶ ὁ πρῶτος ἄγγελος ἐσάλπισε, καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα αἵματι, καὶ ἐβλήθη εἰς τὴν γῆν· καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη, καὶ πᾶς χόρτος χλωρὸς κατεκάη.

8 Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισε, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν, καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης, αἷμα,

9 Καὶ ἀπέθανε τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχὰς· καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη.

10 Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπὰς, καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς πηγὰς ὑδάτων·

11 Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται Ἄψινθος· καὶ γίνεται τὸ τρίτον εἰς ἄψινθον, καὶ πολλοὶ ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν,

12 Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελή-

incensa multa, ut daret oratio nibus sanctorum omnium super altare aureum quod ante thro num.

4 Et ascendit fumus incensorum orationibus sanctorum, de manu angeli, coram Deo.

5 Et accepit angelus thuribulum, et implevit illud de igne altaris, et misit in terram : et factæ sunt voces, et tonitrua, et fulgura, et terræmotus.

6 Et septem angeli habentes septem tubas, præparaverunt seipsos ut clangerent.

7 Et primus angelus clanxit, et facta est grando, et ignis, mixta sanguine, et missa sunt in terram : et tertia pars arborum combusta est, et omne fœnum viride combustum est.

8 Et secundus angelus clanxit, et tanquam mons magnus incensus missus est in mare : et facta est tertia pars maris, sanguis.

9 Et mortua est tertia pars creaturarum in mari, habentia animas, et tertia pars navium perierunt.

10 Et tertius angelus clanxit, et cecidit de cælo stella magna incensa tanquam lampas, et cecidit in tertiam partem fluminum, et in fontes aquarum.

11 Et nomen stellæ dicitur Absinthium : et facta est tertia pars aquarum in Absinthium, et multi hominum mortui sunt de aquis, quia amaræ factæ sunt.

12 Et quartus angelus clanx it, et percussa est tertia pars solis, et tertiæ pars lunæ, et ter

νης, καὶ τὸ τρίτον τῶν ἀστέρων· ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς, καὶ ἡ νὺξ ὁμοίως.

13 Καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀγγέλου πετωμένου ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ· Οὐαὶ, οὐαὶ, οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

Κεφ. θ'. 9.

1 Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεῖς τοῦ φρέατος τῆς ἀβύσσου.

2 Καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου· καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης· καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος.

3 Καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία, ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς·

4 Καὶ ἐῤῥέθη αὐταῖς ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δένδρον· εἰ μὴ τοὺς ἀνθρώπους μόνους, οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖδα τοῦ Θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν·

5 Καὶ ἐδόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν παίσῃ ἄνθρωπον.

6 Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐχ εὑρήσουσιν αὐτόν· καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται ὁ θάνατος ἀπ' αὐτῶν.

7 Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς κεφαλὰς αὐ-

tia pars stellarum, ita ut obscuraretur tertia pars eorum, et dies non luceret tertiam partem ipsius, et nox similiter.

13 Et vidi, et audivi unum angelum volantem in medio cæli, dicentem voce magna: Væ, væ, væ habitantibus in terra, de cæteris vocibus tubæ trium angelorum futurorum clangere

CAPUT IX.

1 ET quintus angelus clanxit, et vidi stellam de cælo delapsam in terram, et data est ei clavis putei abyssi

2 Et aperuit puteum abyssi; et ascendit fumus ex puteo sicut fumus fornacis magnæ, et obscuratus est sol et aër de sumo putei.

3 Et de fumo exierunt locustæ in terram, et data est illis potestas, sicut habent potestatem scorpiones terræ.

4 Et dictum est illis, ne læderent fœnum terræ, neque omne viride, neque omnem arborem, nisi homines solos, qui non habent signum Dei in frontibus suis.

5 Et datum est illis ne occiderent eos, sed ut cruciarent mensibus quinque: et cruciatus eorum, ut cruciatus scorpii, cum percutit hominem.

6 Et in diebus illis quærent homines mortem, et non invenient eam: et desiderabunt mori, et fugiet mors ab eis.

7 Et similitudines locustarum, similes equis paratis in prælium: et super capita eo

τῶν ὡς στέφανοι ὅμοιοι χρυσῷ, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων,

8 Καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν,

9 Καὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς· καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον,

10 Καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα ἦν ἐν ταῖς οὐραῖς αὐτῶν· καὶ ἡ ἐξουσία αὐτῶν ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε·

11 Καὶ ἔχουσιν ἐφ' αὐτῶν βασιλέα τὸν ἄγγελον τῆς ἀβύσσου· ὄνομα αὐτῷ Ἑβραϊστὶ Ἀβαδδών, καὶ ἐν τῇ Ἑλληνικῇ ὄνομα ἔχει Ἀπολλύων.

12 Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν, ἰδοὺ ἔρχονται ἔτι δύο οὐαὶ μετὰ ταῦτα.

13 Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ,

14 Λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγγα· Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ.

15 Καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτὸν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν ἀνθρώπων.

16 Καὶ ὁ ἀριθμὸς στρατευμάτων τοῦ ἱππικοῦ, δύο μυριάδες μυριάδων· καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν.

17 Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις·

rum tanquam coronæ similes auro, et facies earum velut facies hominum.

8 Et habebant capillos sicut capillos mulierum : et dentes earum sicut leonum erant.

9 Et habebant thoraces sicut thoraces ferreos: et vox alarum earum sicut vox curruum, equorum multorum currentium in bellum.

10 Et habebant caudas similes scorpiis, et aculei erant in caudis earum : et potestas earum lædere homines mensibus quinque.

11 Et habent super se regem angelum abyssi, nomen ei Hebraice Abaddon, et in Græca nomen habet Apollyon.

12 Væ unum abiit, ecce veniunt adhuc duo væ post hæc.

13 Et sextus angelus clanxit, et audivi vocem unam ex quatuor cornibus altaris aurei quod coram Deo,

14 Dicentem sexto angelo, qui habebat tubam : Solve quatuor angelos alligatos in flumine magno Euphrate.

15 Et soluti sunt quatuor angeli parati in horam, et diem et mensem, et annum, ut occiderent tertiam partem hominum.

16 Et numerus exercituum equestris, duo myriades myriadum : et audivi numerum eorum.

17 Et ita vidi equos in visione, et sedentes super eos habentes loricas igneas, et hyacinthinas, et sulphureas : et ca-

καὶ αἱ κεφαλαι τῶν ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον.

18 Ὑπὸ τῶν τριῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ πυρὸς καὶ ἐκ τοῦ καπνοῦ καὶ ἐκ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν·

19 Αἱ γὰρ ἐξουσίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσιν· αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλὰς, καὶ ἐν αὐταῖς ἀδικοῦσι·

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἱ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια, καὶ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε ἀκούειν, οὔτε περιπατεῖν,

21 Καὶ οὐ μετενόησαν ἐκ τῶν φονῶν αὐτῶν, οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

pita equorum tanquam capita leonum: et de oribus eorum procedit ignis, et fumus, et sulphur.

18 A tribus plagis in occisa est tertia pars hominum, de igne, et de fumo, et de sulphure procedente ex oribus ipsorum.

19 Nam potestas eorum in ore eorum est: nam caudæ eorum similes serpentibus, habentes capita; et in his nocent.

20 Et cæteri hominum qui non occisi sunt in plagis his, neque pœnitentiam egerunt de operibus manuum suarum, ut non adorarent dæmonia, et simulacra aurea, et argentea, et ærea, et lapidea, et lignea, quæ neque videre possunt, neque audire, neque ambulare.

21 Et non egerunt pœnitentiam ab homicidiis suis, neque à veneficiis suis, neque à fornicatione sua, neque à furtis suis.

Κεφ. ι'. 10.

1 Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην· καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς· καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στύλοι πυρός·

2 Καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἀνεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τὴν θάλασσαν, τὸν δὲ εὐώνυμον ἐπὶ τὴν γῆν·

3 Καὶ ἔκραξε φωνῇ μεγάλῃ ὥσπερ λέων μυκᾶται· καὶ ὅτε ἔκραξεν, ἐλάλησαν ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς.

4 Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ

CAPUT X.

1 ET vidi alium angelum fortem descendentem de cælo, amictum nube: et iris in capite; et facies ejus ut sol, et pedes ejus tanquam columnæ ignis.

2 Et habebat in manu sua libellum apertum: et posuit pedem suum dextrum super mare, at sinistrum super terram.

3 Et clamavit voce magna, quemadmodum leo rugit: et cum clamasset, locuta sunt septem tonitrua suas ipsorum voces.

4 Et cum locuta fuissent sep-

βρονταὶ τὰς φωνὰς ἑαυτῶν, ἔμελλον γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγουσάν μοι· Σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, καὶ μὴ ταῦτα γράψῃς.

5 Καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανόν·

6 Καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ· ὅτι χρόνος οὐκ ἔσται ἔτι,

7 Ἀλλὰ ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, καὶ τελεσθῇ τὸ μυστήριον τοῦ Θεοῦ, ὡς εὐηγγέλισε τοῖς ἑαυτοῦ δούλοις τοῖς προφήταις.

8 Καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν λαλοῦσα μετ' ἐμοῦ, καὶ λέγουσα· Ὕπαγε, λάβε τὸ βιβλαρίδιον τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.

9 Καὶ ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ· Δός μοι τὸ βιβλαρίδιον. Καὶ λέγει μοι· Λάβε καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.

10 Καὶ ἔλαβον τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐτό· καὶ ἦν τῷ στόματί μου ὡς μέλι, γλυκύ· καὶ ὅτε ἔφαγον αὐτὸ, ἐπικράνθη ἡ κοιλία μου.

11 Καὶ λέγει μοι· Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἔθνεσι καὶ γλώσσαις καὶ βασιλεῦσι πολλοῖς.

tem tonitrua voces suas, futurus eram scribere : et audivi vocem de cælo, dicentem mihi : Signa quæ locuta sunt septem tonitrua, et non hæc scribas.

5 Et angelus, quem vidi stantem supermare et super terram, levavit manum suam dexteram ad cælum,

6 Et juravit in vivente in secula seculorum, qui creavit cælum et quæ in eo, et terram et quæ in ea, et mare et quæ in eo, quia tempus non erit amplius :

7 Sed in diebus vocis septimi angeli, cum futurus erit clangere, et consummabitur mysterium Dei, sicut evangelizavit suis servis Prophetis.

8 Et vox quam audivi de cælo, iterum locuta cum me, et dicens : Vade, accipe libellum apertum in manu angeli stantis super mare et super terram.

9 Et abii ad angelum, dicens ei : Da mihi libellum. Et dixit mihi : Accipe et devora illum : et faciet amaricari tuum ventrem, sed in ore tuo erit dulce tanquam mel.

10 Et accepi libellum de manu angeli, et devoravi illum : et erat in ore meo tanquam mel dulce : et cum devorassem eum, amaricatus est venter meus.

11 Et dixit mihi : Oportet te iterum prophetizare in populis et gentibus et linguis et regibus multis

Κεφ. ια'. 11.

1 Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων· Ἔγει-

CAPUT XI.

1 Et datus est mihi calamus similis virgæ, et angelus

ραι, καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ, καὶ τὸ θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ·

2 Καὶ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα δύο·

3 Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους·

4 Οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι, καὶ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ Θεοῦ τῆς γῆς ἑστῶσαι·

5 Καὶ εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι.

6 Οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανὸν, ἵνα μὴ βρέχῃ ὑετὸς ἐν ταις ἡμέραις αὐτῶν τῆς προφητείας· καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσι.

7 Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει πόλεμον μετ' αὐτῶν, καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ αὐτούς·

8 Καὶ τὰ πτώματα αὐτῶν ἐπὶ τῆς πλατείας πόλεως τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος, ὅπου καὶ ὁ Κύριος ἡμῶν ἐσταυρώθη·

9 Καὶ βλέψουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὰ πτώματα αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμισυ, καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνήματα·

10 Καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς

astitit, dicens · Surge, et metire templum Dei, et altare, et adorantes in eo.

2 Et atrium quod foris templum ejice foras, et ne illud metiaris, quoniam datum est Gentibus : et civitatem sanctam calcabunt mensibus quadraginta duobus.

3 Et dabo duobus testibus meis, et prophetabunt diebus mille ducentis sexaginta, amicti faccis.

4 Hi sunt duæ olivæ, et duo candelabra quæ in conspectu Dei terræ stant.

5 Et si quis eis voluerit nocere, ignis egreditur de ore eorum, et devorat inimicos eorum ; et si quis eos voluerit lædere, sic oportet eum occidi.

6 Hi habent potestatem claudere cælum, ne pluat pluvia in diebus illorum prophetiæ, et potestatem habent super aquas convertere eas in sanguinem, et per cutere terram omni plaga, quotiescunque voluerint.

7 Et cum finierint testimonium suum, bestia ascendens de abysso, faciet bellum cum eis, et vincet illos, et occidet eos.

8 Et cadavera eorum in platea civitatis magnæ, quæ vocatur spiritualiter Sodoma et Ægyptus, ubi et Dominus noster crucifixus est.

9 Et videbunt de populis et tribubus et linguis et Gentibus cadavera eorum dies tres et dimidium, et cadavera eorum non sinent poni in monumenta.

10 Et habitantes in terra

γῆς χαροῦσιν ἐπ' αὐτοῖς, καὶ εὐφρανθήσονται· καὶ δῶρα πέμψουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

11 Καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ τοῦ Θεοῦ εἰσῆλθεν ἐπ' αὐτούς· καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν· καὶ φόβος μέγας ἔπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς.

12 Καὶ ἤκουσαν φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ, λέγουσαν αὐτοῖς· Ἀνάβητε ὧδε. Καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ· καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.

13 Καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά· καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο, καὶ ἔδωκαν δόξαν τῷ Θεῷ τοῦ οὐρανοῦ.

14 Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν, ἰδοὺ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ.

15 Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισε, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγουσαι· Ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου, τοῦ Κυρίου ἡμῶν, καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

16 Καὶ οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι οἱ ἐνώπιον τοῦ Θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔπεσαν ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν τῷ Θεῷ,

17 Λέγοντες· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην, καὶ ἐβασίλευσας·

18 Καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου· καὶ ὁ καιρὸς τῶν νεκρῶν, κριθῆναι, καὶ δοῦναι τὸν

gaudebunt super illis, et jucundabuntur, et munera mittent invicem, quoniam isti duo prophetæ cruciaverunt habitantes super terram.

11 Et post illos tres dies et dimidium, spiritus vitæ à Deo intravit in eos: et steterunt super pedes suos, et timor magnus cecidit super spectantes eos.

12 Et audivi vocem magnam de cælo dicentem eis: Ascendite huc: et ascenderunt in cælum in nube: et viderunt illos inimici eorum.

13 Et in illa hora factus est terræmotus magnus, et decima pars civitatis cecidit, et occisa sunt in terræmotu nomina hominum millia septem; et reliqui territi facti sunt, et dederunt gloriam Deo cæli.

14 Væ secundum abiit, ecce væ tertium venit cito.

15 Et septimus angelus clanxit, et factæ sunt voces magnæ in cælo, dicentes: Factum est regnum hujus mundi, Domini nostri, et Christi ejus, et regnabit in secula seculorum.

16 Et viginti et quatuor seniores in conspectu Dei sedentes in thronis suis, ceciderunt in facies suas, et adoraverunt Deum,

17 Dicentes: Gratias agimus tibi Domine Deus omnipotens, qui existens, et qui erat, et qui venturus; quia accepisti virtutem tuam magnam, et regnasti:

18 Et Gentes iratæ sunt, et advenit ira tua: et tempus mortuorum, judicari, et reddere

μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις· καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν.

19 Καὶ ἠνοίγη ὁ ναὸς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ· καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ καὶ σεισμὸς καὶ χάλαζα μεγάλη.

Κεφ. ιβ'. 12.

1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ· γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα,

2 Καὶ ἐν γαστρὶ ἔχουσα, κράζει ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν.

3 Καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων μέγας πυρρός, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ διαδήματα ἑπτὰ,

4 Καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ.

5 Καὶ ἔτεκεν υἱὸν ἄρρενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Θεὸν καὶ τὸν θρόνον αὐτοῦ,

6 Καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει τόπον ἡτοιμασμένον ἀπὸ τοῦ Θεοῦ. ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλιας διακοσίας ἑξήκοντα.

7 Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι

mercedem servis tuis prophetis, et sanctis, et timentibus nomen tuum, parvis et magnis, et perdere corrumpentes terram.

19 Et apertum est templum Dei in cælo, et visa est arca testamenti ejus in templo ejus, et facta sunt fulgura, et voces et tonitrua et terræ motus et grando magna.

CAPUT XII.

1 ET signum magnum visum est in cælo : Mulier circumamicta sole, et luna sub pedibus ejus, et in capite ejus corona stellarum duodecim :

2 Et in utero habens, clamabat parturiens, et cruciata parere.

3 Et visum est aliud signum in cælo, et ecce draco magnus rufus, habens capita septem, et cornua decem : et in capitibus suis diademata septem.

4 Et cauda ejus trahebat tertiam partem stellarum cæli, et misit eas in terram : et draco stetit ante mulierem futuram parere, ut cum peperisset, filium ejus devoraret.

5 Et peperit filium masculum, qui futurus erat pascere omnes Gentes in virga ferrea : et raptus est filius ejus ad Deum et thronum ejus.

6 Et mulier fugit in solitudinem, ubi habet ibi locum paratum à Deo, ut ubi pascant eam diebus mille ducentis sexaginta

7 Et factum est prælium in cælo : Michaël et angeli ejus,

αὐτοῦ ἐπολέμησαν μετὰ τοῦ δράκοντος, καὶ ὁ δράκων ἐπολέμησε, καὶ οἱ ἄγγελοι αὐτοῦ·

8 Καὶ οὐκ ἴσχυσαν, οὔτε τόπος εὑρέθη αὐτῶν, ἔτι ἐν τῷ οὐρανῷ·

9 Καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος, καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν· καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν.

10 Καὶ ἤκουσα φωνὴν μεγάλην λέγουσαν ἐν τῷ οὐρανῷ· Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ· ὅτι κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός·

11 Καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν· καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου.

12 Διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. Οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.

13 Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξε τὴν γυναῖκα, ἥτις ἔτεκε τὸν ἄῤῥενα·

14 Καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπου τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως.

15 Καὶ ἔβαλεν ὁ ὄφις ὀπίσω τῆς γυναικὸς, ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ ὡς ποταμὸν, ἵνα ταύτην ποταμοφόρητον ποιήσῃ·

prælibantur cum dracone, et draco pugnabat, et angeli ejus

8 Et non valuerunt, neque locus inventus est eorum amplius in cælo.

9 Et projectus est draco ille magnus, serpens antiquus, vocatus diabolus et satanas, decipiens habitatam universam, projectus est in terram : et angeli ejus cum illo projecti sunt.

10 Et audivi vocem magnam dicentem in cælo : Nunc facta est salus, et virtus et regnum Dei nostri, et potestas Christi ejus : quia projectus est accusator fratrum nostrorum, accusans illos ante conspectum Dei nostri die ac nocte.

11 Et ipsi vicerunt eum propter sanguinem Agni, et propter verbum testimonii sui : et non dilexerunt animam suam usque ad mortem.

12 Propter hoc lætamini cæli, et in eis habitantes : Væ habitatoribus terræ et maris, quia descendit diabolus ad vos habens animum magnum, sciens quod modicum tempus habet.

13 Et cum vidit draco quod projectus esset in terram, persecutus est mulierem, quæ peperit masculum.

14 Et datæ sunt mulieri duæ alæ aquilæ magnæ, ut volaret in desertum in locum suum, ubi alitur illic tempus, et tempora, et dimidium temporis, à facie serpentis.

15 Et emisit serpens post mulierem ex ore suo aquam tanquam flumen, ut eam flumine latam faceret.

16 Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικὶ, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.

17 Καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τῶ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ.

18 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης.

Κεφ. ιγ'. 13.

1 Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὄνομα βλασφημίας·

2 Καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος· καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν μεγάλην.

3 Καὶ εἶδον μίαν τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη, καὶ ἐθαυμάσθη ἐν ὅλῃ τῇ γῇ ὀπίσω τοῦ θηρίου,

4 Καὶ προσεκύνησαν τὸν δράκοντα ὃς ἔδωκεν ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τὸ θηρίον, λέγοντες· Τίς ὅμοιος τῷ θηρίῳ; Τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ;

5 Καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας, καὶ ἐδόθη αὐτῷ ἐξουσία ποιῆσαι μῆνας τεσσαράκοντα δύο.

6 Καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν Θεὸν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας·

16 Et adjuvit terra mulierem, et aperuit terra os suum, et ab sorbuit flumen quod ejecit draco de ore suo.

17 Et iratus est draco in mulierem, et abiit facere prælium cum reliquis seminis ejus, custodientibus mandata Dei, et habentibus testimonium Jesu Christi.

18 Et steti supra arenam maris.

CAPUT XIII.

1 ET vidi de mari bestiam ascendentem, habentem capita septem, et cornua decem, et super cornua ejus decem diademata, et super capita ejus nomen blasphemiæ.

2 Et bestia quam vidi erat similis pardo, et pedes ejus sicut ursi, et os ejus sicut os leonis, et dedit illi draco virtutem suam, et thronum suum, et potestatem magnam.

3 Et vidi unum de capitibus suis quasi cæsum in mortem: et plaga mortis ejus curata est: et admirata est universa terra post bestiam:

4 Et adoraverunt draconem, qui dedit potestatem bestiæ, et adoraverunt bestiam, dicentes: Quis similis bestiæ? quis potest pugnare cum ea?

5 Et datum est ei os loquens magna et blasphemias, et data est ei potestas bellum facere menses quadraginta duos.

6 Et aperuit os suum in blasphemiam ad Deum, blasphemare nomen ejus, et tabernaculum ejus, et in cælo habitantes.

7 Καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς· καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος,

8 Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐν τῷ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου ἐσφαγμένου, ἀπὸ καταβολῆς κόσμου.

9 Εἴ τις ἔχει οὖς, ἀκουσάτω.

10 Εἴ τις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν ὑπάγει· εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι. Ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ· καὶ ἐλάλει ὡς δράκων,

12 Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.

13 Καὶ ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ πῦρ ποιῇ καταβαίνειν ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν, ἐνώπιον τῶν ἀνθρώπων,

14 Καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου· λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ θηρίῳ ὃ ἔχει τὴν πληγὴν τῆς μαχαίρας, καὶ ἔζησε.

15 Καὶ ἐδόθη αὐτῷ δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ, ὅσοι ἂν μὴ προσκυνήσωσι τὴν εἰκόνα τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι·

16 Καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς

7 Et datum est illi bellum facere cum sanctis, et vincere eos : et data est illi potestas in omnem tribum, et linguam, et gentem.

8 Et adorabunt eum omnes habitantes super terram, quorum non scripta sunt nomina in libro vitæ Agni mactati à fundatione mundi.

9 Si quis habet aurem, audiat.

10 Si quis in captivitatem ducit, in captivitatem vadit : si quis in gladio occiderit, oportet eum in gladio occidi. Hic est patientia et fides sanctorum.

11 Et vidi aliam bestiam ascendentem de terra, et habebat cornua duo similia agno : et loquebatur sicut draco.

12 Et potestatem prioris bestiæ omnem facit in conspectu ejus, et facit terram et habitantes in ea, ut adorent bestiam primam, cujus curata est plaga mortis ejus.

13 Et facit signa magna, ut et ignem faciat descendere de cælo in terram, in conspectu hominum.

14 Et decipit habitantes in terra, propter signa quæ data sunt illi facere in conspectu bestiæ, dicens habitantibus in terra, facere imaginem bestiæ, quæ habet plagam gladii, et vixit.

15 Et datum est illi dare spiritum imagini bestiæ, ut et loquatur imago bestiæ, et faciat, quicunque non adorant imaginem bestiæ, ut occidantur :

16 Et facit omnes parvos et magnos, et divites, et pauperes,

πλουσίους καὶ τοὺς πτωχούς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσῃ αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν μετώπων αὐτῶν.

17 Καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ.

18 Ὧδε ἡ σοφία ἐστίν· ὁ ἔχων τὸν νοῦν, ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου ἐστί, καὶ ὁ ἀριθμὸς αὐτοῦ χξϛ'.

et liberos et servos, ut det illis characterem in manu eorum dextera, aut in frontibus eorum.

17 Et ut ne quis possit emere aut vendere, si non habens characterem, aut nomen bestiæ, aut numerum nominis ejus.

18 Hic sapientia est. Habens mentem, computet numerum bestiæ : numerus enim hominis est, et numerus ejus sexcenti sexaginta sex.

Κεφ. ιδ'. 14.

1 Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον ἑστὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν.

2 Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ φωνὴν ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν,

3 Καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς.

4 Οὗτοί εἰσιν οἱ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ· οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ,

5 Καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δόλος· ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ.

6 Καὶ εἶδον ἄλλον ἄγγελον πετώμενον ἐν μεσουρανήματι, ἔχον-

CAPUT XIV.

1 ET vidi, et ecce Agnus stans supra montem Sion, et cum eo centum quadraginta quatuor millia, habentes nomen Patris ejus scriptum in frontibus suis.

2 Et audivi vocem de cælo, tanquam vocem aquarum multarum, et tanquam vocem tonitrui magni : et vocem audivi citharœdorum citharizantium in citharis suis :

3 Et cantant quasi canticum novum ante thronum, et ante quatuor animalia, et seniores : et nemo poterat discere canticum, nisi illa centum quadraginta quatuor millia, empti de terra :

4 Hi sunt qui cum mulieribus non sunt coinquinati : virgines enim sunt. Hi sunt sequentes Agnum quocumque ierit : hi empti sunt ex hominibus, primitiæ Deo et Agno :

5 Et in ore eorum non est inventus dolus : sine macula enim sunt coram throno Dei.

6 Et vidi alterum angelum volantem in medio cæli, haben-

εὐαγγέλιον αἰώνιον, εὐαγγελίσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, καὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαὸν,

7 Λέγοντα ἐν φωνῇ μεγάλῃ· Φοβήθητε τὸν Θεὸν, καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ θάλασσαν καὶ πηγὰς ὑδάτων.

8 Καὶ ἄλλος ἄγγελος ἠκολούθησε, λέγων· Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη, ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα ἔθνη.

9 Καὶ τρίτος ἄγγελος ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ· Εἴ τις τὸ θηρίον προσκυνεῖ καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ,

10 Καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ· καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον ἀγγέλων τῶν ἁγίων καὶ ἐνώπιον τοῦ ἀρνίου,

11 Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν ἀναβαίνει εἰς αἰῶνας αἰώνων· καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.

12 Ὧδε ὑπομονὴ τῶν ἁγίων ἐστίν· ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ τὴν πίστιν Ἰησοῦ.

13 Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι· Γράψον· Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι. Ναὶ, λέγει τὸ πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.

tem evangelium æternum, evangelizare habitantibus super terram, et omni genti, et tribui, et linguæ et populo :

7 Dicentem in voce magna : Timete Deum, et date illi gloriam, quia venit hora judicii ejus ; et adorate eum qui fecit cælum et terram et mare et fontes aquarum.

8 Et alius angelus secutus est, dicens : Cecidit cecidit Babylon civitas illa magna, quia ex vino iræ fornicationis suæ potavit omnes gentes.

9 Et tertius angelus secutus est illos, dicens in voce magna : Si quis bestiam adoraverit et imaginem ejus, et acceperit characterem in fronte sua aut in manu sua :

10 Et hic bibet de vino iræ Dei, mixto mero in poculo iræ ipsius, et cruciabitur in igne et sulphure in conspectu sanctorum angelorum et ante conspectum Agni.

11 Et fumus cruciatus eorum ascendit in secula seculorum ; et non habent requiem die ac nocte adorantes bestiam et imaginem ejus, et si quis acceperit characterem nominis ejus.

12 Hic patientia sanctorum est : hic custodientes mandata Dei, et fidem Jesu.

13 Et audivi vocem de cælo, dicentem mihi, Scribe : Beati mortui in Domino morientes à modo. Etiam, dicit Spiritus, ut requiescant à laboribus suis at opera illorum sequuntur cum ipsis.

14 Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκὴ, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ.

15 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων ἐν μεγάλῃ φωνῇ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης· Πέμψον τὸ δρέπανόν σε, καὶ θέρισον. ὅτι ἦλθέ σοι ἡ ὥρα τοῦ θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.

16 Καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐθερίσθη ἡ γῆ.

17 Καὶ ἄλλος, ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἄγγελος, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ.

18 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός· καὶ ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξύ, λέγων· Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ, καὶ τρύγησον τοὺς βότρυας τῆς γῆς, ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.

19 Καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ τὴν μεγάλην,

20 Καὶ ἐπατήθη ἡ ληνὸς ἔξω τῆς πόλεως· καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Κεφ. ιε'. 15.

1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστὸν, ἀγγέλους ἑπτὰ, ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ.

2 Καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί· καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ καὶ ἐκ τοῦ χαράγ-

14 Et vidi, et ecce nubes alba, et super nubem sedens similis Filio hominis, habens in capite suo coronam auream, et in manu sua falcem acutam.

15 Et alius angelus exivit de templo, clamans in voce magna sedenti super nubem : Mitte falcem tuam, et mete, quia venit tibi hora metendi : quoniam aruit messis terræ.

16 Et misit sedens super nubem falcem suam in terram : et demessa est terra.

17 Et alius angelus exivit de templo quod in cælo, habens et ipse falcem acutam.

18 Et alius angelus exivit de altari, habens potestatem supra ignem; et clamavit clamore magno habenti falcem acutam, dicens : Mitte tuam falcem acutam, et vindemia botros vineæ terræ ; quoniam maturæ sunt uvæ ejus.

19 Et misit angelus falcem suam in terram, et vindemiavit vineam terræ, et misit in lacum iræ Dei magnum.

20 Et calcatus est lacus extra civitatem, et exivit sanguis de lacu usque ad frenos equorum, à stadiis mille sexcentis.

CAPUT XV.

1 ET vidi aliud signum in cælo magnum et mirabile, angelos septem, habentes plagas septem novissimas, quoniam in illis consummata est ira Dei.

2 Et vidi tanquam mare vitreum mistum igne : et vincentes ex bestia et ex imagine ejus, et ex charactere ejus, ex nu-

ματος αὐτοῦ, ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ Θεοῦ,

3 Καὶ ᾄδουσι τὴν ᾠδὴν Μωσέως δούλου τοῦ Θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντες· Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν ἁγίων.

4 Τίς οὐ μὴ φοβηθῇ σε, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος· ὅτι πάντα τὰ ἔθνη ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σε· ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ,

6 Καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ τοῦ ναοῦ, ἐνδεδυμένοι λίνον καθαρὸν καὶ λαμπρὸν, καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς·

7 Καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τῆς θυμῆς τοῦ Θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

8 Καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ Θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ, καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

Κεφ. ις'. 16.

1 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις· Ὑπάγετε, καὶ ἐκχέετε τὰς φιάλας τοῦ θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν.

2 Καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐγένετο ἕλκος κακὸν καὶ

mero nominis ejus, stantes super mare vitreum, habentes citharas Dei:

3 Et cantant canticum Mosis servi Dei, et canticum Agni, dicentes: Magna et mirabilia opera tua, Domine Deus omnipotens: justæ et veræ viæ tuæ, Rex sanctorum.

4 Quis non timebit te, Domine, et glorificabit nomen tuum? quia solus sanctus: quoniam omnes gentes venient et adorabunt in conspectu tuo: quoniam judicia tua manifestata sunt.

5 Et post hæc vidi, et ecce apertum est templum tabernaculi testimonii in cælo.

6 Et exierunt septem angeli, habentes septem plagas, de templo, vestiti linum purum, et splendidum, et præcincti circa pectora zonas aureas.

7 Et unum de quatuor animalibus dedit septem angelis septem phialas aureas, plenas iracundiæ Dei viventis in secula seculorum.

8 Et impletum est templum fumo ex gloria Dei, et de virtute ejus: et nemo poterat introire in templum, donec consummarentur septem plagæ septem angelorum.

CAPUT XVI.

1 ET audivi vocem magnam de templo, dicentem septem angelis: Ite et effundite phialas iræ Dei in terram.

2 Et abiit primus, et effudit phialam suam in terram: et factum est vulnus malum et ma-

πονηρὸν εἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς τῇ εἰκόνι αὐτοῦ προσκυνοῦντας.

3 Καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νεκροῦ· καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ.

4 Καὶ ὁ τρίτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων· καὶ ἐγένετο αἷμα.

5 Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων, λέγοντος· Δίκαιος, Κύριε, εἶ, ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ὅσιος, ὅτι ταῦτα ἔκρινας·

6 Ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεον, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοί γάρ εἰσι.

7 Καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου, λέγοντος· Ναὶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

8 Καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον· καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους ἐν πυρί.

9 Καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν τὸ ὄνομα τοῦ Θεοῦ τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας· καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

10 Καὶ ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου· καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη· καὶ ἐμασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου,

11 Καὶ ἐβλασφήμησαν τὸν Θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν· καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

12 Καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν

lignum in homines habentes characterem bestiæ, et imaginem ejus adorantes.

3 Et secundus angelus effudit phialam suam in mare : et factus est sanguis tanquam mortui : et omnis anima vivens mortua est in mari.

4 Et tertius angelus effudit phialam suam in flumina et fontes aquarum : et factus est sanguis.

5 Et audivi angelum aquarum dicentem, Justus, Domine, es, qui existens, et qui erat, et sanctus quia hæc judicasti.

6 Quia sanguinem sanctorum et prophetarum effuderunt, et sanguinem eis dedisti bibere digni enim sunt.

7 Et audivi alterum de altari dicentem : Etiam Domine Deus omnipotens, vera et justa judicia tua.

8 Et quartus angelus effudit phialam suam in solem : et datum est ei æstu affligere homines in igne.

9 Et æstuaverunt homines æstu magno, et blasphemaverunt nomen Dei habentis potestatem super plagas has : et non egerunt pœnitentiam dare illi gloriam.

10 Et quintus angelus effudit phialam suam super thronum bestiæ : et factum est regnum ejus tenebrosum : et mandebant linguas suas ex labore :

11 Et blasphemaverunt Deum cæli ex laboribus suis et ex vulneribus suis ; et non egerunt pœnitentiam ex operibus suis.

12 Et sextus angelus effudit phialam suam in flumen mag-

τὸν μέγαν τὸν Εὐφράτην· καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡλίου.

13 Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου, πνεύματα τρία ἀκάθαρτα ὅμοια βατράχοις·

14 Εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα σημεῖα, ἐκπορεύεσθαι ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ Θεοῦ τοῦ παντοκράτορος.

15 Ἰδοὺ, ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ.

16 Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἀρμαγεδδών.

17 Καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου, λέγουσα· Γέγονε.

18 Καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ, καὶ σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας.

19 Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον· καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ, δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ.

20 Καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν,

21 Καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ

num Euphraten: et exsiccata est aqua ejus, ut præpararetur via regum ab ortu solis.

13 Et vidi de ore draconis, et de ore bestiæ, et de ore pseudoprophetæ spiritus tres immundos similes ranis.

14 Sunt enim spiritus dæmoniorum facientes signa, qui procedunt ad reges terræ et habitatæ totius, congregare illos in prælium diei illius magnæ Dei omnipotentis.

15 Ecce venio sicut fur. Beatus vigilans, et custodiens vestimenta sua, ne nudus ambulet, et videant turpitudinem ejus.

16 Et congregavit illos in locum vocatum Hebraïce Armageddon.

17 Et septimus angelus effudit phialam suam in aërem: et exivit vox magna de templo cœli, à throno, dicens: Factum est.

18 Et factæ sunt voces, et fulgura, et tonitrua; et terræmotus factus est magnus, qualis non factus est ex quo homines facti sunt super terram, talis terræmotus sic magnus.

19 Et facta est civitas magna in tres partes, et civitates Gentium ceciderunt: et Babylon magna venit in memoriam ante Deum, dare illi poculum vini indignationis iræ ejus.

20 Et omnis insula fugit, et montes non sunt inventi.

21 Et grando magna sicut talentaria descendit de cælo in

ἐπὶ τοὺς ἀνθρώπους· καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν, ἐκ τῆς πληγῆς τῆς χαλάζης· ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

homines ; et blasphemaverunt homines Deum ex plaga grandinis : quoniam magna est plaga ejus vehementer.

Κεφ. ιζ'. 17.

1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων μοι· Δεῦρο, δείξω σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν πολλῶν,

CAPUT XVII.

1 ET venit unus de septem angelis habentibus septem phialas, et locutus est mecum, dicens : Veni, ostendam tibi damnationem meretricis magnæ, sedentis super aquas multas :

2 Μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς οἱ κατοικοῦντες τὴν γῆν.

2 Cum qua fornicati sunt reges terræ, et inebriati sunt de vino fornicationis ejus habitantes terram.

3 Καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι· καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα.

3 Et abstulit me in defertum in spiritu : et vidi mulierem sedentem super bestiam coccineam, plenam nominibus blasphemiæ, habentem capita septem et cornua decem.

4 Καὶ ἡ γυνὴ ἡ περιβεβλημένη πορφύρᾳ, καὶ κοκκίνῳ, καὶ κεχρυσωμένη χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων καὶ ἀκαθάρτητος πορνείας αὐτῆς,

4 Et mulier circumdata purpura et coccino, et inaurata auro et lapide pretioso et margaritis, habens aureum poculum in manu sua, plenum abominationibus et immunditia fornicationis suæ :

5 Καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον· Μυστήριον· Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς.

5 Et in fronte ejus nomen scriptum : Mysterium : Babylon magna, mater fornicationum et abominationum terræ.

6 Καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ· καὶ ἐθαύμασα, ἰδὼν αὐτὴν, θαῦμα μέγα.

6 Et vidi mulierem ebriam de sanguine sanctorum, et de sanguine martyrum Jesu : et miratus sum, videns illam, admirationem magnam.

7 Καὶ εἶπέ μοι ὁ ἄγγελος· Διατί ἐθαύμασας ; ἐγώ σοι ἐρῶ τὸ μυστήριον τῆς γυναικὸς, καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτὴν, τὸ ἔχον τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα.

7 Et dixit mihi angelus: Quare miraris ? ego tibi dicam mysterium mulieris, et bestiæ portantis eam, habentis septem capita, et decem cornua

8 Θηρίον ὃ εἶδες, ἦν, καὶ οὐκ ἔστι· καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ εἰς ἀπώλειαν ὑπάγειν· καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλέποντες τὸ θηρίον, ὅτι ἦν καὶ οὐκ ἔστι, καίπερ ἐστίν.

8 Bestia quam vidisti, erat, et non est: et futura est ascendere de abysso, et in interitum abire: et mirabuntur habitantes super terram, quorum non scripta sunt nomina in libro vitæ à constitutione mundi, videntes bestiam, quæ erat, et non est, quamvis est.

9 Ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. Αἱ ἑπτὰ κεφαλαὶ, ὄρη εἰσὶν ἑπτὰ, ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν,

9 Hic sensus habens sapientiam. Septem capita, septem sunt montes, ubi mulier sedet super eos.

10 Καὶ βασιλεῖς ἑπτά εἰσιν· οἱ πέντε ἔπεσαν, καὶ ὁ εἷς ἐστιν, ὁ ἄλλος οὔπω ἦλθε· καὶ ὅταν ἔλθῃ, ὀλίγον αὐτὸν δεῖ μεῖναι.

10 Et reges septem sunt: quinque ceciderunt, et unus est, alius nondum venit: et cum venerit, paululum illum oportet manere.

11 Καὶ τὸ θηρίον ὃ ἦν, καὶ οὐκ ἔστι, καὶ αὐτὸς ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς ἀπώλειαν ὑπάγει.

11 Et bestia quæ erat, et non est, et ipse octavus est, et de septem est, et in interitum vadit.

12 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου.

12 Et decem cornua quæ vidisti, decem reges sunt, qui regnum nondum acceperunt, sed potestatem tanquam reges unam horam accipiunt cum bestia.

13 Οὗτοι μίαν γνώμην ἔχουσι, καὶ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν ἑαυτῶν τῷ θηρίῳ διαδιδώσουσιν.

13 Hi unum consilium habent, et virtutem et potestatem suam bestiæ tradent.

14 Οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτοὺς, ὅτι Κύριος κυρίων ἐστὶ, καὶ Βασιλεὺς βασιλέων· καὶ οἱ μετ' αὐτοῦ, κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί.

14 Hi cum Agno pugnabunt, et Agnus vincet illos: quoniam Dominus dominorum est, et rex regum: et qui cum illo, vocati et electi et fideles.

15 Καὶ λέγει μοι· Τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ, καὶ ἔθνη καὶ γλῶσσαι.

15 Et dicit mihi, aquæ quas vidisti, ubi meretrix sedet, populi et turbæ sunt, et gentes, et linguæ.

16 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες ἐπὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην, καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνὴν, καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί.

16 Et decem cornua quæ vidisti in bestia, hi odient fornicariam, et desolatam facient illam et nudam, et carnes ejus manducabunt, et ipsam concremabunt in igni.

17 Ὁ γὰρ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι μίαν γνώμην, καὶ δοῦναι τὴν βασιλείαν . . τῶν τῷ θηρίῳ, ἄχρι τελεσθῇ τὰ ῥήματα τοῦ Θεοῦ.

18 Καὶ ἡ γυνὴ ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γης.

17 Nam Deus dedit in corda eorum facere sententiam ejus, et facere unam sententiam, et dare regnum suum bestiæ, donec consummentur verba Dei.

18 Et mulier quam vidisti, est civitas magna, habens regnum super reges terræ.

Κεφ. ιή. 18.

1 Καὶ μετὰ ταῦτα εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ,

2 Καὶ ἔκραξεν ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ, λέγων· Ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου,

3 Ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πέπωκε πάντα τὰ ἔθνη· καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.

4 Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγουσαν· Ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἵνα μὴ λάβητε ἐκ τῶν πληγῶν αὐτῆς,

5 Ὅτι ἠκολούθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσεν ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς.

6 Ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν, καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν·

7 Ὅσα ἐδόξασαν ἑαυτὴν, καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ

1 ET post hæc vidi angelum descendentem de cælo, habentem potestatem magnam: et terra illuminata est à gloria ejus.

2 Et exclamavit in fortitudine, voce magna dicens: Cecidit, cecidit Babylon magna, et facta est habitatio dæmoniorum, et custodia omnis spiritus immundi, et custodia omnis volucris immundæ et odibilis.

3 Quia de vino iræ fornicationis ejus biberunt omnes gentes: et reges terræ cum illa fornicati sunt, et mercatores terræ de virtute deliciarum ejus divites facti sunt.

4 Et audivi aliam vocem de cælo, dicentem: Exite de illa populus meus, ne communicetis peccatis ejus, et ut non accipiatis de plagis ejus.

5 Quoniam pervenerunt ejus peccata usque ad cælum, et recordatus est Deus injustitias ejus.

6 Reddite illi sicut et ipsa reddidit vobis, et duplicate eiduplicia secundum opera ejus: in poculo quo miscuit, miscete illi duplum.

7 Quanta glorificavit se ipsam, et in deliciis fuit, tantum

βασανισμὸν καὶ πένθος, ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει· Κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμὶ, καὶ πένθος οὐ μὴ ἴδω,

8 Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός· καὶ ἐν πυρὶ κατακαυθήσεται, ὅτι ἰσχυρὸς Κύριος ὁ Θεὸς ὁ κρίνων αὐτήν.

9 Καὶ κλαύσονται αὐτὴν, καὶ κόψονται ἐπ' αὐτῇ οἱ βασιλεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς,

10 Ἀπὸ μακρόθεν ἑστηκότες, διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· Οὐαὶ, οὐαὶ ἡ πόλις ἡ μεγάλη Βαβυλὼν, ἡ πόλις ἡ ἰσχυρὰ, ὅτι ἐν μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου.

11 Καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν ἐπ' αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκ ἔτι,

12 Γόμον χρυσοῦ, καὶ ἀργύρου, καὶ λίθου τιμίου, καὶ μαργαρίτου, καὶ βύσσου, καὶ πορφύρας, καὶ σηρικοῦ, καὶ κοκκίνου· καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μαρμάρου,

13 Καὶ κινάμωμον, καὶ θυμιάματα, καὶ μύρον, καὶ λίβανον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ σεμίδαλιν, καὶ σῖτον, καὶ κτήνη, καὶ πρόβατα· καὶ ἵππων, καὶ ῥεδῶν, καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώπων.

14 Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου ἀπῆλθεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπῆλθεν ἀπὸ σοῦ, καὶ οὐκ ἔτι οὐ μὴ εὑρήσῃς αὐτά·

15 Οἱ ἔμποροι τούτων οἱ πλουσιοι illi cruciatum et luctum, quia in corde suo dicit: Sedeo regina, et vidua non sum, et luctum non videbo.

8 Propter hoc in una die venient plagæ ejus, mors et luctus et fames: et in igne comburetur, quia fortis Dominus Deus judicans illam.

9 Et flebunt eam, et plangent super illam reges terræ, cum illa fornicantes et luxuriantes, cum viderint fumum incendii ejus:

10 A longe stantes propter timorem cruciatus ejus, dicentes: Væ, væ civitas illa magna, Babylon, civitas illa fortis: quoniam in una hora venit judicium tuum.

11 Et mercatores terræ plorant et lugent super illam: quoniam merces eorum nemo emit amplius:

12 Merces auri et argenti et lapidis pretiosi, et margaritæ, et byssi, et purpuræ, et serici, et coccini, et omne lignum thyinum, et omne vas eburneum, et omne vas ex ligno pretioso, et ære, et ferro, et marmore,

13 Et cinamomum, et suffitus, et unguentum, et thus, et vinum, et oleum, et similam, et triticum, et jumenta, et oves: et equorum, et rhedarum, et mancipiorum, et animas hominum.

14 Et poma desiderii animæ tuæ discesserunt à te, et omnia pinguia et præclara perierunt à te, et amplius non invenies illa.

15 Mercatores horum divi

στήσαντες ἀπ' αὐτῆς, ἀπὸ μακρόθεν στήσονται, διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, κλαίοντες καὶ πενθοῦντες,

16 Καὶ λέγοντες· Οὐαὶ, οὐαὶ ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος.

17 Καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ἐπὶ τῶν πλοίων ὁ ὄμιλος, καὶ ναῦται, καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν,

18 Καὶ ἔκραζον, ὁρῶντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες· Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;

19 Καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες, λέγοντες· Οὐαὶ, οὐαὶ ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ, ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.

20 Εὐφραίνου ἐπ' αὐτὴν, οὐρανὲ, καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρῖμα ὑμῶν ἐξ αὐτῆς.

21 Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων· Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι·

22 Καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι·

23 Καὶ φῶς λύχνου οὐ μὴ φανῇ

tes facti ab ea, à longe stabunt propter timorem cruciatus ejus, flentes ac lugentes :

16 Et dicentes : Væ, væ, civitas illa magna, circumamicta bysso et purpura et coccino, et deaurata in auro et lapide pretioso, et margaritis : quoniam una hora desertæ sunt tantæ divitiæ.

17 Et omnis gubernator, et omnis in navibus turba, et nautæ, et quotquot mare operantur, à longe steterunt,

18 Et clamaverunt, videntes fumum incendii ejus, dicentes : Quæ similis civitati huic magnæ ?

19 Et miserunt pulverem super capita sua, et clamaverunt flentes et lugentes, dicentes : Væ, væ civitas illa magna, in qua divites facti sunt omnes habentes naves in mari de pretio ejus, quoniam una hora desolata est.

20 Exulta super eam cælum, et sancti Apostoli et Prophetæ, quoniam judicavit Deus judicium vestrum de illa.

21 Et sustulit unus angelus fortis lapidem quasi molarem magnum, et misit in mare, dicens : Sic impetu mittetur Babylon illa magna civitas, et non invenietur amplius :

22 Et vox citharædorum, et musicorum et tibia canentium, et clangentium, non audietur in te amplius : et omnis artifex omnis artis non invenietur in te amplius : et vox molænon audietur in te amplius.

23 Et lux lucernæ non luce-

ἐν σοὶ ἔτι καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη,

24 Καὶ ἐν αὐτῇ αἷμα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Κεφ. ιθ'. 19.

1 Καὶ μετὰ ταῦτα ἤκουσα φωνὴν ὄχλου πολλοῦ μεγάλην ἐν τῷ οὐρανῷ, λέγοντος· Ἀλληλούϊα· ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ δύναμις Κυρίῳ τῷ Θεῷ ἡμῶν,

2 Ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ· ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις ἔφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτῆς.

3 Καὶ δεύτερον εἴρηκαν· Ἀλληλούϊα. Καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

4 Καὶ ἔπεσαν οἱ πρεσβύτεροι οἱ εἴκοσι καὶ τέσσαρες, καὶ τὰ τέσσαρα ζῶα, καὶ προσεκύνησαν τῷ Θεῷ τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, λέγοντες, Ἀμήν· Ἀλληλούϊα.

5 Καὶ φωνὴ ἐκ τοῦ θρόνου ἐξῆλθε, λέγουσα· Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φοβούμενοι αὐτὸν καὶ οἱ μικροὶ καὶ οἱ μεγάλοι.

6 Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λεγόντων· Ἀλληλούϊα· ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ.

7 Χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν τὴν δόξαν αὐτῷ· ὅτι

bit in te amplius, et vox sponsi et sponsæ non audietur in te adhuc : quia mercatores tui erant magnates terræ, quia in veneficio tuo erraverunt omnes gentes.

24 Et in ea sanguis prophetarum et sanctorum inventus est, et omnium mactatorum in terra.

CAPUT XIX.

1 Et post hæc audivi quasi vocem turbæ multæ magnam in cælo, dicentis : Alleluia : Salus, et gloria, et honor, et virtus Domino Deo nostro :

2 Quia vera et justa judicia ejus : quia judicavit meretricem magnam, quæ corrupit terram in fornicatione sua, et vindicavit sanguinem servorum suorum de manu ejus.

3 Et iterum dixerunt : Alleluia. Et fumus ejus ascendit in secula seculorum.

4 Et ceciderunt seniores viginti et quatuor, et quatuor animalia, et adoraverunt Deum sedentem super thronum, dicentes : Amen ; Alleluia.

5 Et vox de throno exivit, dicens : Laudate Deum nostrum omnes servi ejus, et timentes eum, et parvi et magni.

6 Et audivi quasi vocem turbæ multæ, et sicut vocem aquarum multarum, et sicut vocem tonitruorum fortium, dicentium: Alleluia : quoniam regnavit Dominus Deus omnipotens.

7 Gaudeamus et exultemus et demus gloriam ei : quia vene

ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν.

runt nuptiæ Agni, et uxor ejus præparavit seipsam.

8 Καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον καθαρὸν καὶ λαμπρόν· τὸ γὰρ βύσσινον, τὰ δικαιώματά ἐστι τῶν ἁγίων.

8 Et datum est illi ut amicirétur byssino mundo et splendenti : nam byssinum, justificationes sunt sanctorum.

9 Καὶ λέγει μοι· Γράψον· Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι. Καὶ λέγει μοι· Οὗτοι οἱ λόγοι ἀληθινοί εἰσι τοῦ Θεοῦ.

9 Et dicit mihi : Scribe : Beati ad cœnam nuptiarum Agni vocati. Et dicit mihi : Hæc verba vera sunt Dei.

10 Καὶ ἔπεσον ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ· καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ. τῷ Θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.

10 Et cecidi ante pedes ejus adorare eum : et dicit mihi : Vide ne : conservus tuus sum et fratrum tuorum habentium testimonium Jesu : Deum adora : nam testimonium Jesu est spiritus prophetiæ.

11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν, καλούμενος πιστὸς καὶ ἀληθινὸς, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ.

11 Et vidi cælum apertum, et ecce equus albus, et sedens super eum vocatus Fidelis et Verax, et in justitia judicat et belligerat.

12 Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρὸς, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλὰ, ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός·

12 At oculi ejus sicut flamma ignis, et in capite ejus diademata multa : habens nomen scriptum, quod nemo novit nisi ipse :

13 Καὶ περιῤῥεῤῥημένος ἱμάτιον βεβαμμένον αἵματι· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Ὁ λόγος τοῦ Θεοῦ.

13 Et circumindutus vestimentum tinctum sanguine : et vocatur nomen ejus : Verbum Dei.

14 Καὶ τὰ στρατεύματα ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καὶ καθαρόν.

14 Exercitus qui in cælo sequebantur eum in equis albis, induti byssino albo et mundo.

15 Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ καὶ τῆς ὀργῆς τοῦ Θεοῦ τοῦ παντοκράτορος·

15 Et de ore ejus procedit gladius acutus, ut in ipso percutiat gentes : et ipse pascet eas in virga ferrea et ipse calcat lacum vini furoris et iræ Dei omnipotentis.

16 Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ

16 Et habet in vestimento et

ἐπὶ τὸν μηρὸν αὐτοῦ, τὸ ὄνομα γεγραμμένον· Βασιλεὺς βασιλέων καὶ Κύριος κυρίων.

17 Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· καὶ ἔκραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετωμένοις ἐν μεσουρανήματι· Δεῦτε καὶ συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου Θεοῦ,

18 Ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας χιλιάρχων, καὶ σάρκας ἰσχυρῶν, καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτῶν, καὶ σάρκας πάντων, ἐλευθέρων καὶ δούλων, καὶ μικρῶν καὶ μεγάλων.

19 Καὶ εἶδον τὸ θηρίον, καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

20 Καὶ ἐπιάσθη τὸ θηρίον, καὶ μετὰ τούτου ὁ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τὸ πυρὸς τὴν καιομένην ἐν τῷ θείῳ.

21 Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐκπορευομένῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

in femore suo nomen scriptum: Rex regum et Dominus dominorum.

17 Et vidi unum angelum stantem in sole: et clamavit voce magna, dicens omnibus avibus volantibus in medio cæli: Venite et congregamini ad cœnam magni Dei,

18 Ut manducetis carnes regum, et carnes tribunorum, et carnes fortium, et carnes equorum et sedentium in ipsis, et carnes omnium, liberorum et servorum, parvorumque et magnorum.

19 Et vidi bestiam, et reges terræ, et exercitus eorum congregatos facere prælium cum sedente in equo, et cum exercitu ejus.

20 Et apprehensa est bestia, et cum ea pseudopropheta qui fecit signa coram ipsa, in quibus decepit accipientes characterem bestiæ, et adorantes imaginem ejus: vivi missi sunt hi duo in stagnum ignis ardens in sulphure:

21 Et cæteri occisi sunt in gladio sedentis super equum, procedente de ore ipsius: et omnes aves saturatæ sunt ex carnibus eorum.

Κεφ. κ'. 20.

1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ.

2 Καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι διάβολος καὶ σατανᾶς· καὶ ἔδησεν αὐτὸν χίλια ἔτη,

CAPUT XX.

1 ET vidi angelum descendentem de cælo, habentem clavem abyssi, et catenam magnam in manu sua.

2 Et apprehendit draconem, serpentem antiquum, qui est diabolus et satanas, et ligavit eum mille annos.

3 Καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισεν αὐτὸν, καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανήσῃ τὰ ἔθνη ἔτι, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.

3 Et misit eum in abyssum, et clausit eum, et signavit super illum, ut non decipiat gentes amplius, donec consummentur mille anni : et post hæc oportet illum solvi parvum tempus

4 Καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ' αὐτοὺς, καὶ κρῖμα ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τῷ θηρίῳ, οὔτε τῇ εἰκόνι αὐτοῦ· καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ Χριστοῦ τὰ χίλια ἔτη·

4 Et vidi thronos, et sederunt super eos, et judicium datum est illis : et animas securi percussorum propter testimonium Jesu, et propter verbum Dei, et qui non adoraverunt bestiam, neque imaginem ejus : et non acceperunt characterem in frontem suam, et in manum suam, et vixerunt, et regnaverunt cum Christo mille annis.

5 Οἱ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ ἀνέζησαν ἕως τελεσθῇ τὰ χίλια ἔτη. Αὕτη ἡ ἀνάστασις ἡ πρώτη.

5 Et cæteri mortuorum non revixerunt donec consummentur mille anni. Hæc illa resurrectio prima.

6 Μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ θάνατος ὁ δεύτερος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται ἱερεῖς τοῦ Θεοῦ, καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη.

6 Beatus et sanctus habens partem in resurrectione prima : in his secunda mors non habet potestatem, sed erunt sacerdotes Dei et Christi, et regnabunt cum illo mille annis.

7 Καὶ ὅτε ἐτελεσθῇσαν τὰ χίλια ἔτη, λυθήσεται ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ,

7 Et cum consummati fuerint mille anni, solvetur Satanas de carcere suo :

8 Καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν Μαγὼγ, συναγαγεῖν αὐτοὺς εἰς πόλεμον, ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης.

8 Et exibit decipere Gentes quæ in quatuor angulis terræ, Gog et Magog, congregare eos in prælium, quorum numerus sicut arena maris.

9 Καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων, καὶ τὴν πόλιν τὴν ἠγαπημένην· καὶ κατέβη πῦρ ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς·

9 Et ascenderunt super latitudinem terræ, et circuierunt castra sanctorum, et civitatem dilectam : et descendit ignis à Deo de cælo, et devoravit eos.

10 Καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου τὸ θηρίον καὶ

10 Et diabolus decipiens eos missus est in stagnum ignis et sulphuris, ubi et bestia et pseu

ὁ ψευδοπροφήτης· καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

11 Καὶ εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός· καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.

12 Καὶ εἶδον τοὺς νεκροὺς, μικροὺς καὶ μεγάλους ἑστῶτας ἐνώπιον τοῦ Θεοῦ, καὶ βιβλία ἠνεῴχθησαν· καὶ βιβλίον ἄλλο ἠνεῴχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ τὰ ἔργα αὐτῶν.

13 Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκροὺς, καὶ ὁ θάνατος, καὶ ὁ ᾅδης ἔδωκαν τοὺς ἐν αὐτοῖς νεκρούς· καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν.

14 Καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτός ἐστιν ὁ δεύτερος θάνατος.

15 Καὶ εἴτις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

doпropheta ; et cruciabuntur die ac nocte in secula seculorum.

11 Et vidi thronum candidum magnum, et sedentem super eum, cujus à conspectu fugit terra et cælum, et locus non est inventus eis.

12 Et vidi mortuos, parvos et magnos, stantes in conspectu Dei, et libri aperti sunt : et alius liber apertus est, qui est vitæ : et judicati sunt mortui ex scriptis in libris, secundum opera ipsorum.

13 Et dedit mare eos qui in eo mortuos, et mors et infernus dederunt in ipsis mortuos : judicati sunt unusquisque secundum opera ipsorum.

14 Et mors et infernus missi sunt in stagnum ignis : hæc est mors secunda.

15 Et si quis non inventus est in libro vitæ scriptus, missus est in stagnum ignis.

Κεφ. κά. 21.

1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθε· καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.

2 Καὶ ἐγὼ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ καινὴν, καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς.

3 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ, λεγούσης· Ἰδοὺ, ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς ἔσται μετ' αὐτῶν, Θεὸς αὐτῶν,

4 Καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν,

CAPUT XXI.

1 ET vidi cælum novum et terram novam : nam primum cælum et prima terra abiit : et mare non est jam.

2 Et ego Joannes vidi civitatem sanctam, Hierusalem novam, descendentem à Deo de cælo, paratam sicut sponsam ornatam viro suo.

3 Et audivi vocem magnam de cælo, dicentem : Ecce tabernaculum Dei cum hominibus, et habitabit cum eis, et ipsi populi ejus erunt, et ipse Deus erit cum eis, Deus eorum :

4 Et absterget Deus omnem lacrymam ab oculis eorum,

καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι· οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθον.

5 Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τοῦ θρόνου· Ἰδοὺ, καινὰ πάντα ποιῶ. Καὶ λέγει μοι· Γράψον· ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ καὶ πιστοί εἰσι.

6 Καὶ εἶπέ μοι· Γέγονε· ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος· ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν.

7 Ὁ νικῶν κληρονομήσει πάντα, καὶ ἔσομαι αὐτῷ Θεὸς, καὶ αὐτὸς ἔσται μοι ὁ υἱός.

8 Δειλοῖς δὲ καὶ ἀπίστοις καὶ ἐξδελυγμένοις καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακεῦσι καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστι δεύτερος θάνατος.

9 Καὶ ἦλθε πρός με εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας τὰς γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων· Δεῦρο, δείξω σοὶ τὴν νύμφην τοῦ ἀρνίου τὴν γυναῖκα.

10 Καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ' ὄρος μέγα καὶ ὑψηλὸν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλὴμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ,

11 Ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι·

12 Ἔχουσάν τε τεῖχος μέγα καὶ ὑψηλὸν, ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστι τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ·

et mors non erit ultra, neque luctus, neque clamor, neque dolor non erit ultra, quia prima abierunt.

5 Et dixit sedens in throno : Ecce nova facio omnia. Et dicit mihi : Scribe : quia hæc verba vera et fidelia sunt.

6 Et dixit mihi : Factum est. Ego sum α et ω, initium et finis: ego sitienti dabo de fonte aquæ vitæ gratis.

7 Vincens possidebit omnia, et ero illi Deus, et ille erit mihi filius.

8 At timidis et incredulis et abominandis et homicidis et fornicatoribus et veneficis et idolo latris, et omnibus mendacibus, pars illorum in stagno ardenti igne et sulphure, quod est mors secunda.

9 Et venit ad me unus de septem angelis habentibus septem phialas plenas septem plagis novissimis ; et locutus est mecum, dicens : Veni, ostendam tibi sponsam Agni uxorem.

10 Et sustulit me in spiritu in montem magnum et altum, et ostendit mihi civitatem magnam, sanctam Hierusalem, descendentem de cælo à Deo ;

11 Habentem gloriam Dei : lumen ejus simile lapidi pretiosissimo, tanquam lapidi jaspidi crystallizanti :

12 Habentem murum magnum et altum, habentem portas duodecim, et in portis angelos duodecim, et nomina inscripta, quæ sunt duodecim tribuum filiorum Israël.

13 Ἀπ' ἀνατολῆς, πυλῶνες τρεῖς· ἀπὸ βορρᾶ, πυλῶνες τρεῖς· ἀπὸ νότε, πυλῶνες τρεῖς· ἀπὸ δυσμῶν, πυλῶνες τρεῖς·

14 Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐν αὐτοῖς ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

15 Καὶ ὁ λαλῶν μετ' ἐμοῦ, εἶχε κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶνας αὐτῆς, καὶ τὸ τεῖχος αὐτῆς.

16 Καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς τοσοῦτόν ἐστιν ὅσον καὶ τὸ πλάτος· καὶ ἐμέτρησε τὴν πόλιν ἐν τῷ καλάμῳ ἐπὶ σταδίων δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί.

17 Καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.

18 Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς, ἴασπις· καὶ ἡ πόλις χρυσίον καθαρὸν, ὁμοία ὑάλῳ καθαρῷ.

19 Καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος, ἴασπις· ὁ δεύτερος, σάπφειρος· ὁ τρίτος, χαλκηδών· ὁ τέταρτος, σμάραγδος·

20 Ὁ πέμπτος, σαρδόνυξ· ὁ ἕκτος, σάρδιος· ὁ ἕβδομος, χρυσόλιθος· ὁ ὄγδοος, βήρυλλος· ὁ ἔνατος, τοπάζιον· ὁ δέκατος, χρυσόπρασος· ὁ ἑνδέκατος, ὑάκινθος· ὁ δωδέκατος, ἀμέθυστος.

21 Καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαργαρίται, ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου· καὶ ἡ πλατεῖα τῆς πόλεως, χρυσίον καθαρὸν, ὡς ὕαλος διαφανής.

13 Ab oriente portæ tres, ab Aquilone portæ tres: ab Austro portæ tres: ab occasu portæ tres.

14 Et murus civitatis habens fundamenta duodecim, et in ipsis nomina duodecim Apostolorum Agni.

15 Et loquens cum me habebat calamum aureum, ut metiretur civitatem, et portas ejus et murum ejus.

16 Et civitas quadrangularis sita est, est longitudo ejus tanta est quanta est latitudo, et mensus est civitatem calamo ad stadia duodecim millium: longitudo et latitudo et altitudo ejus æqualia sunt.

17 Et mensus est murum ejus centum quadraginta quatuor cubitorum, mensura hominis, quæ est angeli.

18 Et erat structura muri ejus, jaspis: et civitas aurum mundum, simile vitro mundo.

19 Et fundamenta muri civitatis omni lapide pretioso ornata: fundamentum primum, jaspis: secundum, sapphirus: tertium, chalcedonius: quartum smaragdus:

20 Quintum, sardonyx: sextum, sardius: septimum, chrysolithus: octavum, beryllus: nonum, topazius: decimum, chrysoprasus; undecimum, hyacynthus: duodecimum, amethystus.

21 Et duodecim portæ, duodecim margaritæ, unaquæque portarum erat ex una margarita: et platea civitatis aurum mundum, tanquam vitrum perlucidum.

22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον.

22 Et templum non vidi in ea : nam Dominus Deus omnipotens, templum illius est, et Agnus.

23 Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον·

23 Et civitas non opus habet sole, neque luna, ut luceant in ea · nam gloria Dei illuminavit eam, et lucerna ejus Agnus

24 Καὶ τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι· καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν·

24 Et Gentes quæ servatæ erunt in lumine ejus ambulabunt : et reges terræ afferent gloriam et honorem suum in illam.

25 Καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ.

25 Et portæ ejus non claudentur die : nox enim non erit illic.

26 Καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν·

26 Et afferent gloriam et honorem Gentium in illam :

27 Καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινοῦν, καὶ ποιοῦν βδέλυγμα, καὶ ψεῦδος· εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

27 Et non intrabit in eam omne commune, et faciens abominationem et mendacium : si non scripti in libro vitæ Agni.

Κεφ. κβ'. 22.

1 Καὶ ἔδειξέ μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς, λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ τοῦ ἀρνίου.

CAPUT XXII.

1 Et ostendit mihi purum fluvium aquæ vitæ, splendidum tanquam crystallum, procedentem de throno Dei, et Agni.

2 Ἐν μέσῳ τῆς πλατείας αὐτῆς, καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐντεῦθεν, ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ· καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν.

2 In medio plateæ ejus, et fluminis, hinc et hinc lignum vitæ faciens fructus duodecim, per mensem unumquemque reddens fructum suum : et folia ligni ad sanitatem Gentium.

3 Καὶ πᾶν κατανάθεμα οὐκ ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ,

3 Et omne maledictum non erit illic : et thronus Dei et Agni in illa erunt : et servi ejus servient illi.

4 Καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ· καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.

4 Et videbunt faciem ejus : et nomen ejus in frontibus suis

5 Καὶ νὺξ οὐκ ἔσται ἐκεῖ· καὶ

5 Et nox non erit illic · et

χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίζει αὐτούς· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

6 Καὶ εἶπέ μοι· Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί· καὶ Κύριος ὁ Θεὸς τῶν ἁγίων προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.

7 Ἰδοὺ, ἔρχομαι ταχύ· μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.

8 Καὶ ἐγὼ Ἰωάννης, ὁ βλέπων ταῦτα καὶ ἀκούων· καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα·

9 Καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σου γάρ εἰμι, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ Θεῷ προσκύνησον.

10 Καὶ λέγει μοι· Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ὅτι ὁ καιρὸς ἐγγύς ἐστιν.

11 Ὁ ἀδικῶν, ἀδικησάτω ἔτι· καὶ ὁ ῥυπῶν, ῥυπωσάτω ἔτι· καὶ ὁ δίκαιος, δικαιωθήτω ἔτι· καὶ ὁ ἅγιος, ἁγιασθήτω ἔτι.

12 Καὶ ἰδοὺ, ἔρχομαι ταχύ· καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται.

13 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος.

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν·

15 Ἔξω δὲ οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτροι, καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.

opus non habent lucerna et lumine solis : quoniam Dominus Deus illuminat illos : et regnabunt in secula seculorum.

6 Et dicit mihi : Hæc verba fidelia et vera : et Dominus Deus sanctorum prophetarum misit angelum suum ostendere servis suis quæ oportet fieri in celeritate.

7 Ecce, venio velociter : beatus custodiens verba prophetiæ libri hujus.

8 Et ego Johannes videns hæc et audiens : et postquam audissem et vidissem, cecidi adorare ante pedes angeli ostendentis mihi hæc.

9 Et dicit mihi : Vide ne : conservus tuus nam sum, et fratrum tuorum prophetarum, et servantium verba libri hujus : Deum adora.

10 Et dicit mihi : Ne signaveris verba prophetiæ libri hujus : quia tempus prope est.

11 Nocens noceat adhuc : et sordidus sordescat adhuc : et justus justitiam faciat adhuc : et sanctus sanctificetur adhuc.

12 Ecce, venio cito : et merces mea cum me, reddere unicuique ut opus erit ejus.

13 Ego sum α et ω, principium et finis, primus et novissimus.

14 Beati facientes mandata ejus, ut sit potestas eorum in ligno vitæ, et portis intrent in civitatem.

15 Foris verò canes et venefici, et fornicatores et homicidæ et idololatræ et omnis amans et faciens mendacium.

16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις· ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος τοῦ Δαβὶδ, ὁ ἀστὴρ ὁ λαμπρὸς καὶ ὀρθρινός·

16 Ego Jesus misi angelum meum, testificari vobis hæc in ecclesiis. Ego sum radix et genus David, stella splendida et matutina.

17 Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, Ἐλθέ· καὶ ὁ ἀκούων εἰπάτω, Ἐλθέ· καὶ ὁ διψῶν ἐλθέτω, καὶ ὁ θέλων λαμβανέτω τὸ ὕδωρ ζωῆς δωρεάν.

17 Et Spiritus et sponsa dicunt: Veni. Et audiens dicat: Veni. Et sitiens veniat, et volens accipiat aquam vitæ gratis.

18 Συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ἐὰν εἴ τις ἐπιτιθῇ πρὸς ταῦτα, ἐπιθήσει ὁ Θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ.

18 Contestor enim omni audienti verba prophetiæ libri hujus: Si quis apposuerit ad hæc, apponet Deus super illum plagas scriptas in libro isto:

19 Καὶ ἐὰν εἴ τις ἀφαιρῇ ἀπὸ τῶν λόγων βίβλου τῆς προφητείας ταύτης, ἀφαιρήσει ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου τῆς ζωῆς, καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, καὶ τῶν γεγραμμένων ἐν βιβλίῳ τούτῳ.

19 Et si quis abstulerit de verbis libri prophetiæ hujus, auferet Deus partem ejus de libro vitæ, et de civitate sancta, et scriptis in libro isto.

20 Λέγει ὁ μαρτυρῶν ταῦτα, ναὶ ἔρχομαι ταχύ· Ἀμήν, ναὶ ἔρχου, Κύριε Ἰησοῦ.

20 Dicit testans hæc: Etiam venio cito. Amen. Etiam veni, Domine Jesu.

21 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

21 Gratia Domini nostri Jesu Christi cum omnibus vobis. Amen.

FINIS.

Deacidified using the Bookkeeper process.
Neutralizing agent: Magnesium Oxide
Treatment Date: June 2005

PreservationTechnologies
A WORLD LEADER IN PAPER PRESERVATION

111 Thomson Park Drive
Cranberry Township, PA 16066
(724) 779-2111

LIBRARY OF CONGRESS
0 014 396 636 7